ΒΙΒΛΙΟΘΗΚΗ
ΕΛΛΗΝΩΝ
ΠΑΤΕΡΩΝ

ΙΠΠΟΛΥΤΟΣ

(ΜΕΡΟΣ Β΄)

6

Printed in Greece
Athens 1956

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΕΚΤΟΣ

ΙΠΠΟΛΥΤΟΣ
(ΜΕΡΟΣ Β')



ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 1956

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΙΠΠΟΛΥΤΟΣ

ΚΕΙΜΕΝΑ

ΑΜΦΙΒΑΛΛΟΜΕΝΑ

ΙΠΠΟΛΥΤΟΣ

Β' ΜΕΡΟΣ

ΤΟΥ ΑΓΙΟΥ ΙΠΠΟΛΥΤΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ

ΕΙΣ ΤΗΝ ΑΙΡΕΣΙΝ ΝΟΗΤΟΥ ΤΙΝΟΣ*

Ι. Ἕτεροί τινες ἑτέραν διδασκαλίαν παρεισάγουσιν, γενόμενοι τινὸς Νοήτου μαθηταί, ὃς τὸ μὲν γένος ἦν Σμυρναῖος, οὐ [πρὸ] πολλοῦ χρόνου γενόμενος. Οὗτος φυσιωθεὶς εἰς ἐπηρμένον ἤχθη, οἰήσει πνεύματος ἀλλοτρίου ἐπαχθείς. Ἔφη τὸν Χριστὸν αὐτὸν εἶναι τὸν Πατέρα, καὶ αὐτὸν τὸν Πατέρα γεγεννῆσθαι καὶ πεπονθέναι καὶ ἀποτεθνηκέναι. Ὁρᾶτε, ὅσον ἔπαρμα καρδίας καὶ φυσίωμα πνεύματος ἀλλοτρίου ὑπεισῆλθεν εἰς αὐτόν· ἤδη μὲν οὖν ἐκ τῶν ἑτέρων πράξεων εἰς τοῦτο φέρεται ὁ ἔλεγχος αὐτῶν, ὅτι μὴ καθαρῷ πνεύματι ἐφθέγγετο· ὁ γὰρ εἰς Πνεῦμα ἅγιον βλασφημῶν, ἔκβλητος γένηται κλήρου ἁγίου. Οὗτος ἔλεγεν ἑαυτὸν εἶναι Μωϋσῆν, καὶ τὸν ἀδελφὸν αὐτοῦ Ἀαρών. Ταῦτα ἀκούσαντες οἱ μακάριοι πρεσβύτεροι προσκαλεσάμενοι ἐνώπιον τῆς ἐκκλησίας ἐξήταζον. Ὁ δὲ ἠρνεῖτο, λέγων τὰς ἀρχάς, μὴ φρονεῖν. Ὕστερον δὲ ἐμφωλεύσας ἔν τισιν, καὶ συσκευάσας ἑαυτῷ συμπλανωμένους, καθαρὸν ὕστερον ἱστᾶν τὸ δόγμα ἐβούλετο. Ὃν πάλιν προσκαλεσάμενοι οἱ μακάριοι πρεσβύτεροι ἤλεγξαν. Ὁ δὲ ἀντίστατο, λέγων· Τί οὖν κακὸν ποιῶ δοξάζων τὸν Χριστόν; Πρὸς ὃν ἀνταποκρίνονται οἱ πρεσβύτεροι· Καὶ ἡμεῖς ἕνα Θεὸν οἴδαμεν ἀληθῶς· οἴδαμεν Χριστόν· οἴδαμεν τὸν Υἱὸν παθόντα, καθὼς ἔπαθεν, ἀποθανόντα, καθὼς ἀπέθανεν, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ ὄντα ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. Καὶ ταῦτα λέγομεν ἃ ἐμάθομεν. Τότε τοῦτον ἐλέγξαντες ἐξέωσαν τῆς ἐκκλησίας· ὃς εἰς τοσοῦτο φυσίωμα ἠνέχθη, ὡς διδασκαλεῖον συστῆσαι.

ΙΙ. Οἳ καὶ δεῖξαι βούλονται σύστασιν τῷ δόγματι, λέγοντες· Εἶπεν ἐν νόμῳ· «Ἐγώ εἰμι ὁ Θεὸς τῶν πατέρων ὑμῶν·[1] οὐκ ἔσονται ὑμῖν θεοὶ ἕτεροι πλὴν ἐμοῦ.[2]» Καὶ πάλιν ἐν ἑτέρῳ· «Ἐγώ, φησίν, πρῶτος, καὶ ἔσχατος, καὶ μετ' ἐμὲ οὐκ ἔστιν οὐδείς.[3]» Οὕτω φάσκουσιν συνιστᾶν ἕνα Θεόν. Οἳ ἀποκρίνονται λέγοντες· Εἰ οὖν Χριστὸν ὁμολογῶ Θεόν, αὐτὸς ἄρα ἐστὶν ὁ Πατήρ, εἰ γάρ ἐστιν ὁ Θεός· ἔπαθεν δὲ Χριστός, αὐτὸς ὢν Θεός, ἄρα οὖν ἔπαθεν Πατήρ· Πατὴρ γὰρ αὐτὸς ἦν. Ἀλλ' οὐχ οὕτως ἔχει· οὐδὲ γὰρ οὕτως αἱ Γραφαὶ διηγοῦνται. Χρῶνται

---

* Περὶ τοῦ ἔργου τούτου ἰδὲ Βιβλ. Ἑλλ. Πατ. τ. 5 σ. 195. Τὸ κείμενον εἶναι κατὰ τὴν ἔκδοσιν τῆς Πατρολογίας τοῦ J. P. Migne.

1. Πρβλ. Ἔξ. 3, 6. 2. Ἔξ. 20, 3. 3. Ἠσ. 44, 6.

δὲ καὶ ἑτέραις μαρτυρίαις, λέγοντες· Οὕτω γέγραπται· «Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρεν πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ ταῦτα ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη.[1]» Ὁρᾷς οὖν, φησίν, ὅτι οὗτός ἐστιν ὁ Θεός, ὁ μόνος ὤν, καὶ ὕστερον ὀφθείς, καὶ τοῖς ἀνθρώποις συναναστραφείς. [Ἐν] ἑτέρῳ δέ, φησίν, λέγει· «Ἐκοπίασεν Αἴγυπτος, καὶ ἐμπόρια Αἰθιόπων καὶ οἱ Σαβαείμ, ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται [καὶ σοὶ ἔσονται δοῦλοι] καὶ πορεύσονται ὀπίσω σου δεδεμένοι ἐν χειροπέδαις, καὶ ἐν σοὶ προσκυνήσουσιν· ὅτι ἐν σοὶ ὁ Θεός ἐστιν, καὶ ἐν σοὶ προσεύξονται· καὶ οὐκ ἔστιν Θεὸς πλὴν σοῦ. Σὺ γὰρ εἶ Θεός, καὶ οὐκ ᾔδειμεν· ὁ Θεὸς τοῦ Ἰσραὴλ Σωτήρ.[2]» Ὁρᾷς, φησίν, πῶς ἕνα Θεὸν κηρύσσουσιν αἱ Γραφαί; Τούτου ἐμφανοῦς δεικνυμένου, τῶν οὕτως μαρτυρουμένων, ἀνάγκην, φησίν, ἔχω ἑνὸς ὁμολογουμένου, τοῦτον ὑπὸ πάθος φέρειν. Χριστὸς γὰρ ἦν Θεός, καὶ ἔπασχεν δι' ἡμᾶς, αὐτὸς ὢν ὁ Πατήρ, ἵνα καὶ σῶσαι ἡμᾶς δυνηθῇ. Ἄλλο δέ, φησίν, οὐ δυνάμεθα λέγειν· καὶ γὰρ ὁ Ἀπόστολος ἕνα Θεὸν ὁμολογεῖ, λέγων· «Ὧν οἱ πατέρες, ἐξ ὧν Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας.[3]»

III. Καὶ ταῦτα βούλονται οὕτω διηγεῖσθαι καὶ αὐτοῖς μονόκωλα χρώμενοι, ὃν τρόπον εἶπεν Θεόδοτος ἄνθρωπον συνιστᾶν ψιλὸν βουλόμενος. Ἀλλ' οὔτε ἐκεῖνοί τε νενοήκασιν ἀληθές, οὔθ' οὗτοι, καθὼς αὐταὶ αἱ Γραφαὶ ἐλέγχουσιν αὐτῶν τὴν ἀμαθίαν, μαρτυροῦσαι τῇ ἀληθείᾳ. Ὁρᾶτε, ἀδελφοί, πῶς προπετὲς καὶ τολμηρὸν δόγμα παρεισήνεγκαν, ἀναισχύντως λέγοντες· Αὐτός ἐστι Χριστὸς ὁ Πατήρ, αὐτὸς Υἱός, αὐτὸς ἐγεννήθη, αὐτὸς ἔπαθεν, αὐτὸς ἑαυτὸν ἤγειρεν. Ἀλλ' οὐχ οὕτως ἔχει· αἱ μὲν Γραφαὶ ὀρθῶς λέγουσιν, ἄλλα ἂν καὶ Νόητος νοεῖ. Οὐκ ἤδη δὲ εἰ Νόητος μὴ νοεῖ, παρὰ τοῦτο ἔκβλητοι αἱ Γραφαί. Τίς γὰρ οὐκ ἐρεῖ ἕνα Θεὸν εἶναι; Ἀλλ' οὐ τὴν οἰκονομίαν ἀναιρήσει. Ὄντως μὲν οὖν τὰ κεφάλαια διὰ ταῦτα πρότερον δεῖ ἀνατραπῆναι κατὰ τὸν ἐκείνων νοῦν, κατὰ δὲ τὴν ἀλήθειαν δειχθῆναι. Πρότερον γὰρ ὄντως ἐστὶν διηγήσασθαι, ὅτι εἷς Θεὸς ὁ Πατήρ, «ἐξ οὗ πᾶσα πατριά[4], δι' οὗ τὰ πάντα, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς ἐν αὐτῷ.[5]»

IV. Ἴδωμεν, ὡς εἶπον, τὴν αὐτοῦ ἀνατροπήν, εἶθ' οὕτως τὴν ἀλήθειαν διηγησώμεθα. Φησὶ γάρ· «Ἐκοπίασεν Αἴγυπτος, καὶ ἐμπόρια Αἰθιόπων, καὶ οἱ Σαβαείμ[6]», καὶ τὰ λοιπά· ἵνα εἴπῃ· «Σὺ γὰρ ὁ Θεὸς τοῦ Ἰσραὴλ Σωτήρ·[7]» οὐ νοῶν τὸ προειρημένον. Ὁπόταν γὰρ θελήσωσιν πανουργεύεσθαι, περικόπτουσι τὰς Γραφάς. Ὁλοκλήρως δὲ εἰπάτω, καὶ εὑρήσει τὴν αἰτίαν πρὸς τίνα λέγεται. Ἀνωτέρω γὰρ μικρὸν ἀρχὴ τοῦ κεφαλαίου τυγχάνει· ὅθεν δεῖ ἀρξάμενον δεῖξαι,

1. Βαρούχ 3, 35-37. 2. Ἡσ. 45, 14. 3. Ῥωμ. 9, 5. 4. Ἐφεσ. 3, 15. 5. Α' Κορ. 8, 6. 6. Ἡσ. 45, 14. 7. Ἡσ. 45, 14.

πρὸς τίνα λέγει καὶ περὶ τίνος. Ἄνωθεν γὰρ ἡ ἀρχὴ τοῦ κεφαλαίου τοῦτ' ἔχει· «Ἐρωτήσατέ με περὶ τῶν υἱῶν μου, καὶ τῶν θυγατέρων μου, καὶ τῶν ἔργων τῶν χειρῶν μου ἐντείλασθέ μοι. Ἐγὼ ἐποίησα γῆν καὶ ἄνθρωπον ἐπ' αὐτῆς. Ἐγὼ τῇ χειρί μου ἐστερέωσα τὸν οὐρανόν. Ἐγὼ πᾶσιν τοῖς ἄστροις ἐνετειλάμην. Ἐγὼ ἤγειρα αὐτόν, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι. Οὗτος οἰκοδομήσει τὴν πόλιν μου, καὶ τὴν αἰχμαλωσίαν ἐπιστρέψει· οὐ μετὰ λύτρων, οὐδὲ μετὰ δώρων, εἶπεν Κύριος Σαβαώθ. Οὕτως εἶπεν Κύριος Σαβαώθ· Ἐκοπίασεν Αἴγυπτος, καὶ ἐμπόρια Αἰθιόπων καὶ οἱ Σαβαείμ, ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ σοὶ ἔσονται δοῦλοι, καὶ ὀπίσω σου ἀκολουθήσουσιν δεδεμένοι χειροπέδαις, καὶ ἐν σοὶ προσκυνήσουσι, καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ Θεός ἐστι, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ. Σὺ γὰρ εἶ Θεός, καὶ οὐκ ᾔδειμεν· ὁ Θεὸς τοῦ Ἰσραὴλ Σωτήρ. Ἐν σοὶ οὖν, φησίν, ὁ Θεός ἐστιν.[1]» Ἐν τίνι δὲ ὁ Θεός, ἀλλ' ἢ ἐν Χριστῷ Ἰησοῦ τῷ Πατρῴῳ Λόγῳ, καὶ τῷ μυστηρίῳ τῆς οἰκονομίας; Περὶ οὗ πάλιν δεικνύων τὸ κατὰ σάρκα αὐτοῦ σημαίνει· «Ἐγὼ ἤγειρα αὐτὸν μετὰ δικαιοσύνης, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι.» Τί οὖν; περὶ τίνος μαρτυρεῖ Πατήρ; περὶ τοῦ Υἱοῦ Πατὴρ λέγει· «Ἐγὼ ἤγειρα αὐτὸν μετὰ δικαιοσύνης.» Ὅτι δὲ Πατὴρ ἤγειρεν αὐτοῦ τὸν Υἱὸν ἐν δικαιοσύνῃ, μαρτυρεῖ ὁ ἀπόστολος Παῦλος λέγων· «Εἰ δὲ τὸ Πνεῦμα τοῦ ἐγείραντος Χριστὸν Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν· ὁ ἐγείρας τὸν Χριστὸν Ἰησοῦν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν.[2]» Ἰδοὺ συνέστηκε τὸ διὰ τοῦ προφήτου εἰρημένον· «Ἐγὼ ἤγειρα μετὰ δικαιοσύνης.[3]» Τὸ δὲ εἰπεῖν, ὅτι «ἐν σοὶ Θεός ἐστιν[4]», ἐδείκνυε μυστήριον οἰκονομίας, ὅτι σεσαρκωμένου τοῦ Λόγου, καὶ ἐνανθρωπήσαντος, ὁ Πατὴρ ἦν ἐν τῷ Υἱῷ, καὶ ὁ Υἱὸς ἐν τῷ Πατρί, ἐμπολιτευομένου τοῦ Υἱοῦ ἐν ἀνθρώποις. Τοῦτο οὖν ἐσημαίνετο, ἀδελφοί, ὅτι ὄντως μυστήριον οἰκονομίας ἐκ Πνεύματος ἁγίου ἦν οὗτος ὁ Λόγος καὶ Παρθένου, ἕνα Υἱὸν Θεῷ ἀπεργασάμενος. Τοῦτο δὲ οὐκ ἐγὼ λέγω, ἀλλ' αὐτὸς μαρτυρεῖ ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ· οὕτω γὰρ λέγει· «Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ.[5]» Τί οὖν ζητεῖ παρὰ τὸ εἰρημένον; Μήτι ἐρεῖ, ὅτι ἐν οὐρανῷ σὰρξ ἦν; Ἔστι μὲν οὖν σὰρξ ἡ ὑπὸ τοῦ Λόγου τοῦ Πατρῴου προσενεχθεῖσα δῶρον, ἡ ἐκ Πνεύματος καὶ Παρθένου, τέλειος Υἱὸς Θεοῦ ἀποδεδειγμένος. Πρόδηλον οὖν, ὅτι αὐτὸς ἑαυτὸν προσέφερε τῷ Πατρί. Πρὸ δὲ τούτου ἐν οὐρανῷ σὰρξ οὐκ ἦν. Τίς οὖν ἦν ἐν οὐρανῷ ἀλλ' ἢ Λόγος ἄσαρκος, ἀποσταλεὶς ἵνα δείξῃ αὐτὸν ἐπὶ γῆς ὄντα, εἶναι καὶ ἐν οὐρανῷ; Λόγος γὰρ ἦν, πνεῦμα ἦν, δύναμις ἦν. Εἰς τὸ κοινὸν ὄνομα καὶ παρὰ ἀνθρώποις χωρητόν,

1. Ἡσ. 45, 11-15. 2. Ῥωμ. 8, 11. 3. Ἡσ. 45, 13. 4. Ἡσ. 45, 14. 5. Ἰω. 3, 13.

ἀνελάμβανεν εἰς ἑαυτὸν τοῦτο, καλούμενος ἀπ' ἀρχῆς Υἱὸς ἀνθρώπου διὰ τὸ μέλλον, καίτοι μήπω ὢν ἄνθρωπος, καθὼς ὁ Δανιὴλ μαρτυρεῖ, λέγων· «Εἶδον, καὶ ἰδοὺ ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ ἐρχόμενον ὡς Υἱὸν ἀνθρώπου.[1]» Δικαίως οὖν ἐν τῷ οὐρανῷ ὄντα ἔλεγεν τούτῳ ὀνόματι, τοῦτο ἀπ' ἀρχῆς ὄντα, καλεῖσθαι ἀπ' ἀρχῆς Λόγον Θεοῦ.

V. Ἀλλὰ τί μοι, φησίν, λέγει ἐν ἑτέρῳ· «Οὗτος ὁ Θεός· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν;[2]» Καλῶς εἶπεν. Πρὸς γὰρ τὸν Πατέρα τίς λογισθήσεται; Ὁ δὲ λέγει· «Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρεν πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ.[3]» Καλῶς λέγει. Τίς γάρ ἐστιν Ἰακὼβ ὁ παῖς αὐτοῦ, Ἰσραὴλ ὁ ἠγαπημένος ὑπ' αὐτοῦ, ἀλλ' ἢ οὗτος περὶ οὗ βοᾷ λέγων· «Οὗτός ἐστιν ὁ Υἱός μου ἀγαπητός, εἰς ὃν ηὐδόκησα· τούτου ἀκούετε;[4]» Πᾶσαν οὖν τὴν ἐπιστήμην παρὰ τοῦ Πατρὸς λαβὼν ὁ τέλειος Ἰσραήλ, ὁ ἀληθινὸς Ἰακώβ, «μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη.[5]» Ἰσραὴλ δὲ τίς ἐστιν ἀλλ' ἢ ἄνθρωπος ὁρῶν τὸν Θεόν, ὁρῶν δὲ τὸν Θεὸν οὐδ' εἷς εἰ μὴ μόνος ὁ παῖς καὶ τέλειος ἄνθρωπος καὶ μόνος διηγησάμενος τὴν βουλὴν τοῦ Πατρός. Λέγει γὰρ καὶ Ἰωάννης· «Θεὸν οὐδεὶς ἑώρακεν πώποτε· μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, αὐτὸς διηγήσατο.[6]» Καὶ πάλιν· «Ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὃ ἤκουσεν καὶ ἑώρακεν, μαρτυρεῖ.[7]» Οὗτος οὖν ἐστιν ᾧ πᾶσαν ἐπιστήμην Πατὴρ ἔδωκεν, ὃς ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη.

VI. Ὃ δὲ λέγει ὁ Ἀπόστολος· «Ὧν οἱ πατέρες, ἐξ ὧν ὁ Χριστὸς ὁ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας[8]», καλῶς διηγεῖται καὶ λαμπρὸν τὸ τῆς ἀληθείας μυστήριον. Οὗτος ὁ ὢν ἐπὶ πάντων Θεός ἐστιν, λέγει γὰρ οὕτω μετὰ παρρησίας· «Πάντα μοι παραδέδοται ὑπὸ τοῦ Πατρός.[9]» Ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς γεγένηται, καὶ ἄνθρωπος γενόμενος Θεός ἐστιν εἰς τοὺς αἰῶνας. Οὕτως γὰρ καὶ Ἰωάννης εἶπεν· «Ὁ ὢν καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, ὁ Θεὸς ὁ παντοκράτωρ.[10]» Καλῶς εἶπεν παντοκράτορα Χριστόν. Τοῦτο γὰρ εἶπεν ὅπερ καὶ αὐτῷ μαρτυρήσει ὁ Χριστός. Μαρτυρῶν γὰρ Χριστὸς ἔφη· «Πάντα μοι παραδέδοται παρὰ τοῦ Πατρός·[11]» καὶ πάντων κρατεῖ, παντοκράτωρ παρὰ Πατρὸς κατεστάθη Χριστός. Ἤδη δὲ καὶ Παῦλος δεικνύς, ὅτι πάντα αὐτῷ παραδέδοται, οὕτως ἔφη· «Ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ· εἶτα τὸ τέλος ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί· ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν. Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος. Πάντα γὰρ ὑποτέτακται

---

1. Δαν. 7, 13. 2. Βαρούχ 3, 35. 3. Βαρούχ 3, 35-36. 4. Ματθ. 17, 5. 3, 17. 5. Βαρούχ 3, 37. 6. Ἰω. 1, 18. 7. Ἰω. 3, 11, 13. 8. Ῥωμ. 9, 5. 9. Ματθ. 11, 27. 10. Ἀποκ. 1, 8. 11. Ματθ. 11, 27.

αὐτῷ. Ὅταν δὲ εἴπῃ· Πάντα ὑποτέτακται αὐτῷ, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. Τότε καὶ αὐτὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς πάντα ἐν πᾶσιν.[1]» Εἰ οὖν τὰ πάντα ὑποτέτακται αὐτῷ ἐκτὸς τοῦ ὑποτάξαντος, πάντων κρατεῖ, αὐτοῦ δὲ ὁ Πατήρ· ἵνα ἐν πᾶσιν εἷς Θεὸς φανῇ, ᾧ τὰ πάντα ὑποτάσσεται ἅμα Χριστῷ, ᾧ τὰ πάντα Πατὴρ ὑπέταξεν παρὲξ ἑαυτοῦ. Τοῦτο γὰρ Χριστὸς ἔφη, ὡς ἐν τῷ Εὐαγγελίῳ καὶ Πατέρα ἴδιον καὶ Θεὸν ὡμολόγησεν. Λέγει γὰρ οὕτως· «Ὑπάγω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν.[2]» Εἰ οὖν Νόητος τολμᾷ λέγειν αὐτὸν εἶναι τὸν Πατέρα, πρὸς ποῖον Πατέρα ἐρεῖ πορεύεσθαι Χριστὸν κατὰ τὴν εὐαγγελικὴν φωνήν; Εἰ δὲ ἀξιοῖ καταλείψαντας ἡμᾶς τὸ Εὐαγγέλιον, τῇ αὐτοῦ ἀφροσύνῃ πιστεύειν, μάτην κάμνει· «πειθαρχεῖν γὰρ δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις.[3]»

VII. Ἐὰν δὲ λέγῃ· Αὐτὸς εἶπεν· «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν·[4]» ἐπιστανέτω τὸν νοῦν καὶ μανθανέτω, ὅτι οὐκ εἶπεν, ὅτι «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν εἰμι», ἀλλὰ «ἕν ἐσμεν.» Τὸ γὰρ «ἐσμὲν» οὐκ ἐφ' ἑνὸς λέγεται, ἀλλ' ἐπὶ δύο πρόσωπα ἔδειξεν, δύναμιν δὲ μίαν. Αὐτὸς δὲ αὐτὸ ἀπέλυσεν εἰπὼν περὶ μαθητῶν πρὸς τὸν Πατέρα· «Τὴν δόξαν ἣν ἔδωκάς μοι, ἔδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθὼς ἡμεῖς ἕν. Ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσιν τετελειωμένοι εἰς ἕν, ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας.[5]» Τί πρὸς ταῦτα ἔχουσι λέγειν οἱ Νοητιανοί; Μὴ πάντες ἓν σῶμά ἐστιν κατὰ τὴν οὐσίαν, ἢ τῇ δυνάμει καὶ τῇ διαθέσει τῆς ὁμοφρονίας ἓν γινόμεθα; Τὸν αὐτὸν δὴ τρόπον ὁ παῖς ὁ πεμφθεὶς καὶ ὑπ' αὐτῶν μὴ γινωσκόμενος ὄντων ἐν κόσμῳ[6], ὡμολόγησεν εἶναι ἐν τῷ Πατρὶ δυνάμει [καὶ] διαθέσει. Εἷς γὰρ νοῦς Πατρὸς ὁ παῖς. Οἱ νοῦν Πατρὸς ἔχοντες οὕτω πιστεύομεν· οἱ δὲ τὸν νοῦν μὴ ἔχοντες τὸν Υἱὸν ἤρνηνται. Εἰ δὲ καὶ Φίλιππον ἐπερωτᾶν περὶ Πατρός, βούλοιντο λέγειν· «Δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν·» πρὸς ὃν ἀπεκρίθη ὁ Κύριος, λέγων· «Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, Φίλιππε, καὶ οὐκ ἔγνωκάς με· ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα. Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν;[7]» καὶ θέλουσι λέγειν, διὰ τούτου κρατύνεσθαι τὸ δόγμα αὐτῶν, ὁμολογοῦντος αὐτοῦ ἑαυτὸν Πατέρα· γνώτωσαν ὅτι μέγιστον ἑαυτοῖς ἐναντίωμα ἐπιφέρουσιν, ὑπ' αὐτοῦ τοῦ ῥητοῦ ἐλεγχόμενοι. Τοῦ γὰρ Χριστοῦ ἑαυτὸν ἐν πᾶσιν Υἱὸν εἰπόντος καὶ δείξαντος, οὐκ ἐπέγνωσαν οὐδὲ καταλαβέσθαι ἢ ἀτενίσαι τὴν δύναμιν ἐδυνήθησαν. Καὶ τοῦτο μὴ χωρήσας Φίλιππος, καθ' ὃ ἦν ἰδεῖν, τὸν Πατέρα ἠξίου βλέπειν. Πρὸς ὃν ὁ Κύριος ἔφη· «Φίλιππε, τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με; ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα.» Τουτέστιν, εἰ ἐμὲ ἑώρακας, δι' ἐμοῦ τὸν Πατέρα γνῶναι δύνῃ. Διὰ γὰρ τῆς εἰκόνος

---

1. Α' Κορ. 15, 23-28. 2. Ἰω. 20, 17. 3. Πράξ. 5, 29 Πρβλ. καὶ 4, 19. 4. Ἰω. 10, 30. 5. Ἰω. 17, 22, 23. 6. Πρβλ. Ἰω. 1, 10. 7. Ἰω. 14, 8, 9.

ὁμοίας τυγχανούσης εὔγνωστος ὁ Πατὴρ γίνεται. Εἰ δὲ τὴν εἰκόνα, ἥτις ἐστὶν ὁ Υἱός, οὐκ ἔγνως, πῶς ἰδεῖν θέλεις τὸν Πατέρα; Ὅτι ταῦθ' οὕτως ἔχει, τὰ ἐπικείμενα τῷ κεφαλαίῳ καὶ ὑποκείμενα ἀπολύει, «τὸν προκείμενον[1]» Υἱὸν «ἀπεσταλμένον παρὰ Πατρὸς[2] καὶ πρὸς Πατέρα, πορευόμενον[3]» σημαίνονται.

VIII. Πολλὰ δὲ καὶ ἕτερα, μᾶλλον δὲ πάντα ἐστὶν μαρτυροῦντα τῇ ἀληθείᾳ. Ἀνάγκην οὖν ἔχει καὶ μὴ θέλων ὁμολογεῖν Πατέρα Θεὸν παντοκράτορα, καὶ Χριστὸν Ἰησοῦν Υἱὸν Θεοῦ, Θεὸν ἄνθρωπον γενόμενον, ᾧ πάντα Πατὴρ ὑπέταξε παρεκτὸς ἑαυτοῦ, καὶ Πνεύματος ἁγίου, καὶ τούτους εἶναι οὕτως τρία. Εἰ δὲ βούλεται μαθεῖν, πῶς εἷς Θεὸς ἀποδείκνυται, γινωσκέτω ὅτι μία δύναμις τούτου. Καὶ ὅσον μὲν κατὰ τὴν δύναμιν, εἷς ἐστι Θεός· ὅσον δὲ κατὰ τὴν οἰκονομίαν, τριχὴς ἡ ἐπίδειξις, ὡς ὕστερον ἀποδειχθήσεται, ἀποδιδόντων ἡμῶν περὶ ἀληθείας λόγον. Ταῦτα μὲν οὖν, ἀδελφοί, δείκνυται ἡμῖν συμφώνως εἰρημένα. Εἷς γὰρ Θεός ἐστιν ᾧ δεῖ πιστεύειν, ἀλλ' ἀγένητος, ἀπαθής, ἀθάνατος, πάντα ποιῶν ὡς θέλει, καθὼς θέλει, ὅτε θέλει. Τί οὖν πρὸς ταῦτα τολμήσει Νόητος, μὴ νοῶν τὴν ἀλήθειαν; Ἐπειδὴ οὖν ἤδη καὶ ὁ Νόητος ἀνατέτραπται, ἔλθωμεν ἐπὶ τὴν τῆς ἀληθείας ἀπόδειξιν, ἵνα συστήσωμεν τὴν ἀλήθειαν· καθ' ἧς πᾶσαι τοσαῦται αἱρέσεις γεγένηνται, μηδὲν δυνάμεναι εἰπεῖν.

IX. Εἷς Θεός, ὃν οὐκ ἄλλοθεν ἐπιγινώσκομεν, ἀδελφοί, ἢ [ἐκ] τῶν ἁγίων Γραφῶν. Ὃν γὰρ τρόπον ἐάν τις βουληθῇ τὴν σοφίαν τοῦ αἰῶνος τούτου ἀσκεῖν, οὐκ ἄλλως δυνήσεται τούτου τυχεῖν, ἐὰν μὴ δόγμασι φιλοσόφων ἐντύχῃ· τὸν αὐτὸν δὴ τρόπον ὅσοι θεοσέβειαν ἀσκεῖν βουλόμεθα, οὐκ ἄλλοθεν ἀσκήσομεν ἢ ἐκ τῶν λογίων τοῦ Θεοῦ. Ὅσα τοίνυν κηρύσσουσιν αἱ θεῖαι Γραφαί, ἴδωμεν, καὶ ὅσα διδάσκουσιν, ἐπιγνῶμεν, καὶ ὡς θέλει Πατὴρ πιστεύεσθαι, πιστεύσωμεν, καὶ ὡς θέλει Υἱὸν δοξάζεσθαι, δοξάσωμεν, καὶ ὡς θέλει Πνεῦμα ἅγιον δωρεῖσθαι, λάβωμεν. Μὴ κατ' ἰδίαν προαίρεσιν, μηδὲ κατ' ἴδιον νοῦν, μηδὲ βιαζόμενοι τὰ ὑπὸ τοῦ Θεοῦ δεδομένα· ἀλλ' ὃν τρόπον αὐτὸς ἐβουλήθη διὰ τῶν ἁγίων Γραφῶν δεῖξαι, οὕτως ἴδωμεν.

X. Θεὸς μόνος ὑπάρχων, καὶ μηδὲν ἔχων ἑαυτῷ σύγχρονον, ἐβουλήθη κόσμον κτίσαι. Ὁ κόσμον ἐννοηθείς, θελήσας τε καὶ φθεγξάμενος ἐποίησεν, ᾧ παραυτίκα παρέστη τὸ γενόμενον ὡς ἠθέλησεν. Αὔταρκες οὖν ἡμῖν ἐστιν μόνον εἰδέναι ὅτι [οὐδὲν] σύγχρονον Θεοῦ. Οὐδὲν πλὴν αὐτὸς ἦν· αὐτὸς δὲ μόνος ὤν, πολὺς ἦν. Οὔτε γὰρ ἄλογος, οὔτε ἄσοφος, οὔτε ἀδύνατος, οὔτε ἀβούλευτος ἦν. Πάντα δὲ ἦν ἐν αὐτῷ, αὐτὸς δὲ ἦν τὸ πᾶν. Ὅτε ἠθέλησεν, καθὼς ἠθέλησεν, ἔδειξε τὸν Λόγον αὐτοῦ καιροῖς ὡρισμένοις παρ' αὐτῷ, δι' οὗ τὰ πάντα ἐποίησεν. Ὅτε μὲν θέλει, ποιεῖ· ὅτε δὲ ἐνθυμεῖται, τελεῖ· ὅτε δὲ φθέγγεται, δεικνύει· ὅτε πλάσσει, σοφίζεται. Πάντα γὰρ τὰ γενόμενα,

1. Πρβλ. Ῥωμ. 3, 25. 2. Ἰω. 5, 30. 6, 29. 3. Ἰω. 13, 1. 14, 12.

διὰ λόγου καὶ σοφίας τεχνάζεται, λόγῳ μὲν κτίζων, σοφίᾳ δὲ κοσμῶν. Ἐποίησεν οὖν ὡς ἠθέλησεν, Θεὸς γὰρ ἦν. Τῶν δὲ γινομένων ἀρχηγὸν καὶ σύμβουλον καὶ ἐργάτην ἐγέννα Λόγον, ὃν Λόγον ἔχων ἐν ἑαυτῷ, ἀόρατόν τε ὄντα τῷ κτιζομένῳ κόσμῳ, ὁρατὸν ποιεῖ, προτέραν φωνὴν φθεγγόμενος, καὶ φῶς ἐκ φωτὸς γεννῶν, προῆκεν τῇ κτίσει Κύριον, τὸν ἴδιον νοῦν, αὐτῷ μόνῳ πρότερον ὁρατὸν ὑπάρχοντα, τῷ δὲ γινομένῳ κόσμῳ ἀόρατον ὄντα, ὁρατὸν ποιεῖ, ὅπως διὰ τοῦ φανῆναι ἰδὼν ὁ κόσμος, σωθῆναι δυνηθῇ.

XI. Καὶ οὕτως παρίστατο αὐτῷ ἕτερος. Ἕτερον δὲ λέγων οὐ δύο Θεοὺς λέγω, ἀλλ' ὡς φῶς ἐκ φωτός, ἢ ὡς ὕδωρ ἐκ πηγῆς, ἢ ὡς ἀκτῖνα ἀπὸ ἡλίου. Δύναμις γὰρ μία ἡ ἐκ τοῦ παντός· τὸ δὲ πᾶν Πατήρ, ἐξ οὗ δύναμις Λόγος. Οὗτος δὲ νοῦς, ὃς προβὰς ἐν κόσμῳ ἐδείκνυτο παῖς Θεοῦ. Πάντα τοίνυν δι' αὐτοῦ[1], αὐτὸς δὲ μόνος ἐκ Πατρός. Τίς τοίνυν ἀποφαίνεται πληθὺν θεῶν παραβαλλομένην κατὰ καιρούς; Καὶ γὰρ πάντες ἀπεκλείσθησαν εἰς τοῦτο ἄκοντες εἰπεῖν, ὅτι τὸ πᾶν εἰς ἕνα ἀνατρέχει. Εἰ οὖν τὰ πάντα εἰς ἕνα ἀνατρέχει, καὶ κατὰ Οὐαλεντῖνον καὶ κατὰ Μαρκίωνα, Κήρινθόν τε καὶ πᾶσαν τὴν ἐκείνων φλυαρίαν, καὶ ἄκοντες εἰς τοῦτο περιέπεσαν, ἵνα τὸν ἕνα ὁμολογήσωσιν αἴτιον τῶν πάντων· οὕτως οὖν συντρέχουσιν καὶ αὐτοὶ μὴ θέλοντες τῇ ἀληθείᾳ ἕνα Θεὸν λέγειν ποιήσαντα ὡς ἠθέλησεν. Οὗτος δὲ ἔδωκεν νόμον καὶ προφήτας, καὶ δοὺς διὰ Πνεύματος ἁγίου ἠνάγκασεν τούτους φθέγξασθαι, ὅπως τῆς Πατρῴας δυνάμεως τὴν ἀπόπνοιαν λαβόντες, τὴν βουλὴν καὶ τὸ θέλημα τοῦ Πατρὸς καταγγείλωσιν.

XII. Ἐν τούτοις τοίνυν πολιτευόμενος ὁ Λόγος ἐφθέγγετο περὶ ἑαυτοῦ. Ἤδη γὰρ αὐτὸς ἑαυτοῦ κῆρυξ ἐγένετο, δεικνύων μέλλοντα Λόγον φαίνεσθαι ἐν ἀνθρώποις, δι' ἣν αἰτίαν οὕτως ἐβόα· «Ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ζητοῦσιν, εὑρέθην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν.[2]» Τίς δέ ἐστιν ὁ ἐμφανὴς γενόμενος, ἀλλ' ἢ ὁ Λόγος τοῦ Πατρός; ὃν ἀποστέλλων Πατὴρ ἐδείκνυεν ἀνθρώποις τὴν παρ' ἑαυτοῦ ἐξουσίαν. Οὕτως οὖν ἐμφανὴς ἐγένετο ὁ Λόγος, καθὼς λέγει, ἀνακεφαλαιοῦται γὰρ ὁ μακάριος Ἰωάννης τὰ διὰ τῶν προφητῶν εἰρημένα, δεικνὺς τοῦτον εἶναι τὸν Λόγον, δι' οὗ τὰ πάντα ἐγένετο. Φησὶν γὰρ οὕτως· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν.[3]» Ὑπο[βὰς] δὲ ἔφη· «Ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Εἰς τὰ ἴδια ἦλθεν, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον.[4]» Εἰ οὖν, ἔφη, ὁ κόσμος δι' αὐτοῦ γεγένηται, καθὼς λέγει ὁ Προφήτης· «Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν·[5]» ἄρα οὗτός ἐστιν ὁ Λόγος ὁ καὶ ἐμφανὴς δεικνύμενος. Οὐκοῦν ἔνσαρκον Λόγον θεωροῦμεν, Πατέρα δι' αὐτοῦ νοοῦμεν, Υἱῷ δὲ πιστεύομεν, Πνεύματι ἁγίῳ

1. Πρβλ. Ἰω. 1, 3. 2. Ἠσ. 55, 1. 3. Ἰω. 1, 1, 3. 4. Ἰω. 1, 10-11. 5. Ψαλμ. 32, 6.

προσκυνοῦμεν. Ἴδωμεν οὖν τὰ γεγραμμένα, ὅτι μὲν ἐμφανὴς ὁ Λόγος ἐσόμενος ἐκηρύσσετο.

XIII. Καὶ Ἱερεμίας λέγει· «Τίς ἔστη ἐν ὑποστήματι Κυρίου, καὶ ἴδεν τὸν Λόγον αὐτοῦ; [1]» Λόγος δὲ Θεοῦ μόνος ὁρατός, ἀνθρώπου δὲ ἀκουστός. Ὅπου ὁρᾶν τὸν Λόγον λέγει, ἀνάγκην ἔχω πιστεύειν ὁρατὸν τοῦτον ἀπεσταλμένον. Οὐκ ἄλλος ἦν ἀλλ' ἢ ὁ Λόγος. Ὅτι δὲ ἀπεστάλθη, μαρτυρεῖ Πέτρος, πρὸς τὸν ἑκατόνταρχον Κορνήλιον λέγων· «Ἐξαπέστειλεν ὁ Θεὸς τὸν Λόγον αὐτοῦ τοῖς υἱοῖς Ἰσραὴλ διὰ κηρύγματος Ἰησοῦ Χριστοῦ. Οὗτός ἐστιν ὁ Θεὸς ὁ πάντων Κύριος.[2]» Εἰ δὲ οὖν Λόγος ἀποστέλλεται διὰ Ἰησοῦ Χριστοῦ, τὸ θέλημα τοῦ Πατρός ἐστιν Ἰησοῦς Χριστός.

XIV. Ταῦτα μὲν οὖν, ἀδελφοί, σημαίνουσιν αἱ Γραφαί. Ταύτην τὴν οἰκονομίαν παραδίδωσιν ἡμῖν καὶ ὁ μακάριος Ἰωάννης ἐν Εὐαγγελίῳ μαρτυρῶν, καὶ τοῦτον τὸν Λόγον Θεὸν ὁμολογεῖ οὕτως λέγων· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος.[3]» Εἰ δὲ οὖν ὁ Λόγος πρὸς τὸν Θεόν, Θεὸς ὤν, τί οὖν; φήσειεν ἄν τις δύο λέγειν Θεούς; Δύο μὲν οὐκ ἐρῶ Θεούς, ἀλλ' ἢ ἕνα. Πρόσωπα δὲ δύο, οἰκονομίαν δὲ τρίτην, τὴν χάριν τοῦ ἁγίου Πνεύματος. Πατὴρ μὲν γὰρ εἷς, Πρόσωπα δὲ δύο, ὅτι καὶ ὁ Υἱός, τὸ δὲ τρίτον τὸ ἅγιον Πνεῦμα. Πατὴρ ἐντέλλεται, Λόγος ἀποτελεῖ, Υἱὸς δὲ δείκνυται δι' οὗ Πατὴρ πιστεύεται. Οἰκονομία συμφωνίας συνάγεται εἰς ἕνα Θεόν· εἷς γάρ ἐστιν ὁ Θεός· ὁ γὰρ κελεύων Πατήρ, ὁ δὲ ὑπακούων Υἱός, τὸ δὲ συνετίζον ἅγιον Πνεῦμα. Ὁ ὢν Πατὴρ «ἐπὶ πάντων», ὁ δὲ Υἱὸς «διὰ πάντων», τὸ δὲ ἅγιον Πνεῦμα «ἐν πᾶσιν.[4]» Ἄλλως τε ἕνα Θεὸν νομίσαι μὴ δυνάμεθα, ἐὰν μὴ ὄντως Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι πιστεύσωμεν. Ἰουδαῖοι μὲν γὰρ ἐδόξασαν Πατέρα, ἀλλ' οὐκ ηὐχαρίστησαν, Υἱὸν γὰρ οὐκ ἐπέγνωσαν. Μαθηταὶ ἐπέγνωσαν Υἱόν, ἀλλ' οὐκ ἐν Πνεύματι ἁγίῳ, δι' ὃ καὶ ἠρνήσαντο. Γινώσκων οὖν ὁ πατρῷος Λόγος τὴν οἰκονομίαν καὶ τὸ θέλημα τοῦ Πατρός, ὅτι οὐκ ἄλλως βούλεται δοξάζεσθαι ὁ Πατὴρ ἢ οὕτως, ἀναστὰς παρέδωκεν τοῖς μαθηταῖς λέγων· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος[5]», δεικνύων ὅτι πᾶς ὃς ἂν ἕν τι τούτων ἐκλίπῃ, τελείως Θεὸν οὐκ ἐδόξασεν. Διὰ γὰρ τῆς Τριάδος ταύτης Πατὴρ δοξάζεται. Πατὴρ γὰρ ἠθέλησεν, Υἱὸς ἐποίησεν, Πνεῦμα ἐφανέρωσεν. Πᾶσαι τοίνυν αἱ Γραφαὶ περὶ τούτου κηρύσσουσι.

XV. Ἀλλ' ἐρεῖ μοί τις· Ξένον μοι φέρεις, Λόγον λέγων Υἱόν. Ἰωάννης μὲν γὰρ λέγει Λόγον, ἀλλ' ἄλλως ἀλληγορεῖ. Οὕτως γὰρ δεικνύων τὸν Λόγον τοῦ Θεοῦ τοῦτον ὄντα ἀπ' ἀρχῆς καὶ νῦν ἀπεσταλμένον, ὑποβὰς ἐν τῇ Ἀποκαλύψει ἔφη· «Καὶ ἴδον τὸν οὐρανὸν ἠνεῳγμένον,

1. Ἱερ. 23, 18. 2. Πράξ. 10, 36. 3. Ἰω. 1, 1. 4. Ἐφεσ. 4, 6.
5. Ματθ. 28, 19.

καὶ ἰδοὺ ἵππος λευκός, καὶ ὁ καθήμενος ἐπ' αὐτοῦ πιστὸς καὶ ἀληθινός, καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ. Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ φλὸξ πυρός· καὶ διαδήματα πολλὰ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ἔχων ὄνομα γεγραμμένον ὃ οὐδεὶς οἶδεν εἰ μὴ αὐτός. Καὶ περιβεβλημένος ἱμάτιον ἐρραντισμένον αἵματι· καὶ κέκληται τὸ ὄνομα αὐτοῦ, ὁ Λόγος τοῦ Θεοῦ.[1]» Ὁρᾶτε οὖν, ἀδελφοί, πῶς ἐν συμβόλῳ τὸ ἱμάτιον τὸ ἐρραντισμένον αἵματι, τὴν σάρκα διηγήσατο, δι' ἧς καὶ ὑπὸ πάθος ἦλθεν, ὁ ἀπαθὴς τοῦ Θεοῦ Λόγος, καθὼς μαρτυροῦσίν μοι οἱ προφῆται. Λέγει γὰρ οὕτως ὁ μακάριος Μιχαίας· «Οἶκος Ἰακὼβ παρώργισε Πνεῦμα Κυρίου. Ταῦτα τὰ ἐπιτηδεύματα αὐτοῖς ἐστιν. Οὐχ οἱ λόγοι αὐτοῦ καλοὶ μετ' αὐτῶν, καὶ ὀρθοὶ πορεύονται; Καὶ αὐτοὶ ἀντέστησαν εἰς ἔχθρὰν κατὰ πρόσωπον τῆς εἰρήνης αὐτοῦ, τὴν δόξαν ἐξέδειραν αὐτοῦ.[2]» Τουτέστιν, τὸ σαρκὶ παθεῖν αὐτόν. Ὡσαύτως καὶ ὁ μακάριος Παῦλος λέγει· «Τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει, ὁ Θεὸς τὸν ἑαυτοῦ Υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας κατέκρινεν τὴν ἁμαρτίαν τῇ σαρκί, ἵνα τὸ δικαίωμα τοῦ νόμου φανερωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ Πνεῦμα.[3]» Ποῖον οὖν Υἱὸν ἑαυτοῦ ὁ Θεὸς διὰ τῆς σαρκὸς κατέπεμψεν, ἀλλ' ἢ τὸν Λόγον, ὃν Υἱὸν προσηγόρευε διὰ τὸ μέλλειν αὐτὸν γενέσθαι; Καὶ τὸ κοινὸν ὄνομα τῆς εἰς ἀνθρώπους φιλοστοργίας ἀναλαμβάνει ὁ Υἱὸς καλούμενος. Οὔτε γὰρ ἄσαρκος καὶ καθ' ἑαυτὸν ὁ Λόγος, τέλειος ἦν Υἱός, καίτοι τέλειος Λόγος ὤν, Μονογενής. Οὔθ' ἡ σὰρξ καθ' ἑαυτὴν δίχα τοῦ Λόγου ὑποστῆναι ἠδύνατο, διὰ τὸ ἐν Λόγῳ τὴν σύστασιν ἔχειν. Οὕτως οὖν εἷς Υἱὸς τέλειος Θεοῦ ἐφανερώθη.

XVI. Καὶ ταῦτα μὲν περὶ σαρκώσεως τοῦ Λόγου μαρτύρια· ἔστιν δὲ καὶ ἕτερα πλεῖστα. Ἴδωμεν δὲ καὶ τὸ προκείμενον· ὅτι ὄντως, ἀδελφοί, ἡ δύναμις ἡ Πατρῴα, ὅ ἐστιν Λόγος, ἀπ' οὐρανοῦ κατῆλθεν, καὶ οὐκ αὐτὸς ὁ Πατήρ. Λέγει γὰρ οὕτως· «Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον, καὶ ἥκω.[4]» Τί δέ ἐστιν τό, ἐξῆλθον ἐκ τοῦ Πατρός, ἀλλ' ἢ ὁ Λόγος; Τί δὲ τὸ ἐξ αὐτοῦ γεννηθέν, ἀλλ' ἢ Πνεῦμα, τουτέστιν ὁ Λόγος; Ἀλλ' ἐρεῖς μοι· Πῶς γεγέννηται; Τὴν μὲν κατὰ σὲ διήγησιν, ὡς γεγέννησαι, οὐ δύνῃ ἐξειπεῖν, καίτοι τῆς ἑκάστης ἡμέρας ὁρῶν τὴν κατὰ ἄνθρωπον αἰτίαν, καὶ τὴν περὶ τοῦτον οἰκονομίαν ἀκριβῶς ἐξειπεῖν οὐ δύνασαι. Οὐ γὰρ πάρεστίν σοι γινώσκειν τὴν τοῦ δημιουργήσαντος ἔμπειρον καὶ ἀνεκδιήγητον τέχνην, ἀλλ' ἢ μόνον ὁρῶντα νοεῖν καὶ πιστεύειν ὅτι ἔργον Θεοῦ ἄνθρωπος. Περὶ δὲ Λόγου γένεσιν ζητεῖς, ὅνπερ βουληθεὶς ὁ Θεὸς Πατὴρ ἐγέννησεν ὡς ἠθέλησεν. Οὐ γὰρ αὐτάρκες σοί ἐστιν μαθεῖν ὅτι κόσμον ὁ Θεὸς ἐποίησεν, ἀλλὰ καὶ πόθεν ἐποίησεν, τολμᾷς ἐπιζητεῖν; Ἢ οὐκ αὐτάρκες σοί ἐστιν μαθεῖν, ὅτι Υἱὸς Θεοῦ σοι ἐφανερώθη εἰς σωτηρίαν, ἐὰν πιστεύσῃς, ἀλλὰ καὶ πῶς ἐγεννήθη κατὰ Πνεῦμα, πολυπραγμονεῖς; Καὶ τὴν μὲν κατὰ σάρκα

1. Ἀποκ. 19, 11-13. 2. Μιχ. 2, 7, 8. 3. Ῥωμ. 8, 3, 4. 4. Ἰω. 16, 28.

γέννησιν αὐτοῦ οὐ πλείονες ἐπιστεύθησαν διηγήσασθαι πλὴν δύο· καὶ σὺ τολμᾷς ἐπιζητεῖν τὴν κατὰ Πνεῦμα διήγησιν, ἣν παρ' ἑαυτῷ φυλάττει Πατήρ, ἀποκαλύπτειν μέλλων τότε τοῖς ἁγίοις καὶ ἀξίοις ἰδεῖν τὸ πρόσωπον αὐτοῦ; Αὐτάρκες σοι ἤτω τὸ εἰρημένον ὑπὸ τοῦ Χριστοῦ· ὅτι «τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος, πνεῦμά ἐστιν·[1]» καθὼς διὰ τοῦ Προφήτου τὴν τοῦ Λόγου γέννησιν σημαίνων ὅτι γεγέννηται, τὸ δὲ πῶς φυλάσσει καιρῷ ὡρισμένῳ παρ' αὐτῷ μέλλων ἀποκαλύπτειν. Λέγει δὲ οὕτως· «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐξεγέννησά σε.[2]»

XVII. Αὐτάρκεις αὗται αἱ μαρτυρίαι πιστοῖς ἀλήθειαν ἀσκοῦσιν· οἱ δὲ ἄπιστοι οὐδενὶ πιστεύουσιν. Καὶ γὰρ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ προσώπου τῶν ἀποστόλων διεμαρτύρατο, λέγων· «Καὶ τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν;[3]» Ὥστε μὴ γενώμεθα ἄπιστοι, μήποτε ἐφ' ἡμῖν τελεσθῇ τὸ εἰρημένον. Πιστεύσωμεν οὖν, μακάριοι ἀδελφοί, κατὰ τὴν παράδοσιν τῶν ἀποστόλων, ὅτι Θεὸς Λόγος ἀπ' οὐρανῶν κατῆλθεν εἰς τὴν ἁγίαν Παρθένον Μαρίαν, ἵνα σαρκωθεὶς ἐξ αὐτῆς, λαβὼν δὲ καὶ ψυχὴν τὴν ἀνθρωπίνην, λογικὴν δὲ λέγω, γεγονὼς πάντα ὅσα ἐστὶν ἄνθρωπος, ἐκτὸς ἁμαρτίας, σώσῃ τὸν πεπτωκότα, καὶ ἀφθαρσίαν ἀνθρώποις παράσχῃ τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. Ἐν πᾶσιν οὖν ἀποδέδεικται ἡμῖν τῆς ἀληθείας λόγος, ὅτι εἷς ἐστιν ὁ Πατήρ, οὗ πάρεστι Λόγος, δι' οὗ τὰ πάντα ἐποίησεν· ὃν ὑστέροις καιροῖς, καθὼς εἴπαμεν ἀνωτέρω, ἀπέστειλεν ὁ Πατὴρ πρὸς σωτηρίαν ἀνθρώπων. Οὗτος διὰ νόμου καὶ προφητῶν ἐκηρύχθη παρεσόμενος εἰς τὸν κόσμον. Καθ' ὃν οὖν τρόπον ἐκηρύχθη, κατὰ τοῦτον καὶ παρὼν ἐφανέρωσεν ἑαυτὸν ἐκ Παρθένου καὶ ἁγίου Πνεύματος, καινὸς ἄνθρωπος γενόμενος· τὸ μὲν οὐράνιον ἔχων τὸ Πατρῷον ὡς Λόγος, τὸ δὲ ἐπίγειον ὡς ἐκ παλαιοῦ Ἀδὰμ διὰ Παρθένου σαρκούμενος. Οὗτος προελθὼν εἰς κόσμον Θεὸς ἐν σώματι ἐφανερώθη, ἄνθρωπος τέλειος προελθών. Οὐ γὰρ κατὰ φαντασίαν ἢ τροπήν, ἀλλ' ἀληθῶς γενόμενος ἄνθρωπος.

XVIII. Οὕτως οὖν καὶ τὰ ἀνθρώπινα ἑαυτοῦ οὐκ ἀπαναίνεται ἐνδεικνύμενος Θεὸς ὤν, ὅτε πεινᾷ καὶ κοπιᾷ, καὶ κάμνων διψᾷ· καὶ δειλιῶν φεύγει, καὶ προσευχόμενος λυπεῖται, καὶ ἐπὶ προσκεφάλαιον καθεύδει, ὁ ἄϋπνον ἔχων τὴν φύσιν ὡς Θεός· καὶ ποτηρίου πάθος παραιτεῖται, ὁ διὰ τοῦτο παραγεγονὼς ἐν κόσμῳ· καὶ ἀγωνιῶν ἱδροῖ, καὶ ὑπ' ἀγγέλου ἐνδυναμοῦται, ὁ ἐνδυναμῶν τοὺς εἰς αὐτὸν πιστεύοντας, καὶ θανάτου καταφρονεῖν ἔργῳ διδάξας· καὶ ὑπὸ Ἰούδα παραδίδοται, ὁ γινώσκων τὸν Ἰούδαν τίς ἐστιν· καὶ ἀτιμάζεται ὑπὸ Καϊάφα, ὁ πρότερον ὑπ' αὐτοῦ ἱερατευόμενος ὡς Θεός· καὶ ὑπὸ Ἡρώδου ἐξουθενεῖται, ὁ μέλλων κρῖναι πᾶσαν τὴν γῆν· καὶ μαστίζεται ὑπὸ Πιλάτου, ὁ τὰς ἀσθενείας ἡμῶν ἀναδεξάμενος· καὶ ὑπὸ στρατιωτῶν παίζεται,

1. Ἰω. 3, 6. 2. Ψαλμ. 109, 3. 3. Ἡσ. 53, 1.

ᾧ παρεστήκασι χίλιαι χιλιάδες καὶ μυρίαι μυριάδες ἀγγέλων καὶ ἀρχαγγέλων· καὶ ὑπὸ Ἰουδαίων ξύλῳ προσπήγνυται, ὁ πήξας ὡς καμάραν τὸν οὐρανόν· καὶ πρὸς Πατέρα βοῶν παρατίθεται τὸ πνεῦμα, ὁ ἀχώριστος τοῦ Πατρός· καὶ κλίνων κεφαλήν, ἐκπνεῖ, ὁ εἴπας· «Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν.[1]» Ὅτι δὲ οὐκ ἐκυριεύετο ὑπὸ θανάτου, ὡς ζωή, εἶπεν· «Ἐγὼ ἀπ' ἐμαυτοῦ τίθημι αὐτήν·[2]» καὶ πλευρὰν λόγχῃ νύσσεται, ὁ τὴν ζωὴν πᾶσιν χαριζόμενος· καὶ σινδόνι ἑλισσόμενος ἐν μνημείῳ τίθεται, ὁ τοὺς νεκροὺς ἐγείρων· καὶ τριήμερος ὑπὸ Πατρὸς ἀνίσταται, αὐτὸς ὢν ἡ ἀνάστασις καὶ ἡ ζωή. Ταῦτα γὰρ πάντα ἡμῖν κατώρθωσεν, ὃς δι' ἡμᾶς γέγονεν καθ' ἡμᾶς. «Αὐτὸς γὰρ τὰς ἀσθενείας ἡμῶν ἀνεδέξατο καὶ τὰς νόσους ἐβάστασεν, καὶ περὶ ἡμῶν ὠδυνᾶτο[3]», καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης· ὁ ὑπ' ἀγγέλων ὑμνούμενος καὶ ὑπὸ ποιμένων θεωρούμενος, καὶ ὑπὸ Συμεῶνος προσδοκώμενος, καὶ ὑπὸ Ἄννα μαρτυρούμενος. Οὗτος ἦν ὁ ζητούμενος ὑπὸ μάγων, καὶ σημαινόμενος ὑπ' ἀστέρος· ὁ καὶ ἐν οἴκῳ Πατρὸς πολιτευόμενος, καὶ ὑπὸ Ἰωάννου δακτυλοδεικτούμενος· ὁ ὑπὸ Πατρὸς ἄνωθεν μαρτυρούμενος· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἀκούετε αὐτοῦ.[4]» Οὗτος στεφανοῦται κατὰ διαβόλου. Οὗτός ἐστιν Ἰησοῦς ὁ Ναζαραῖος ὁ ἐν Κανᾷ ἐν γάμοις κληθείς, καὶ τὸ ὕδωρ εἰς οἶνον μεταβαλών, καὶ θαλάσσῃ ὑπὸ βίας ἀνέμων κινουμένῃ ἐπιτιμῶν, καὶ ἐπὶ θαλάσσης περιπατῶν ὡς ἐπὶ ξηρᾶς γῆς, καὶ τυφλὸν ἐκ γενετῆς ὁρᾶν ποιῶν, καὶ νεκρὸν Λάζαρον τετραήμερον ἀνιστῶν, καὶ ποικίλας δυνάμεις ἀποτελῶν, καὶ ἁμαρτίας ἀφείς, καὶ ἐξουσίαν διδοὺς μαθηταῖς, καὶ αἷμα καὶ ὕδωρ ἐξ ἁγίας πλευρᾶς ῥεύσας, λόγχῃ νυγείς. Τούτου χάριν ἥλιος σκοτίζεται, ἡμέρα οὐ φωτίζεται, ῥήγνυνται πέτραι, σχίζεται καταπέτασμα, τὰ θεμέλια γῆς σείεται, ἀνοίγονται τάφοι καὶ ἐγείρονται νεκροί, καὶ ἄρχοντες καταισχύνονται, τὸν γὰρ κοσμήτορα τοῦ παντὸς ἐπὶ σταυροῦ βλέποντες καμμύσαντα τὸν ὀφθαλμὸν καὶ παραδώσαντα τὸ πνεῦμα· ἰδοῦσα ἡ κτίσις ἐταράσσετο, καὶ τὴν αὐτοῦ ὑπερβάλλουσαν δόξαν χωρῆσαι οὐ δυναμένη ἐσκοτίζετο. Οὗτος ἐμφυσῶν δίδωσι τὸ Πνεῦμα μαθηταῖς, καὶ θυρῶν κεκλεισμένων εἰσέρχεται· καὶ βλεπόντων μαθητῶν ὑπὸ νεφέλης ἀναλαμβάνεται εἰς οὐρανούς, καὶ ἐκ δεξιῶν Πατρὸς καθίζεται, καὶ ζώντων καὶ νεκρῶν παραγίνεται κριτής. Οὗτος ὁ Θεός, ὁ ἄνθρωπος δι' ἡμᾶς γεγονώς, ᾧ πάντα ὑπέταξεν Πατήρ. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος ἅμα Πατρὶ καὶ ἁγίῳ Πνεύματι, ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Ἰω. 10, 18. 2. Ἰω. 10, 18. 3. Ἡσ. 53, 4. 4. Ματθ. 17, 5.

ΓΑΪΟΥ ΡΩΜΑΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ

ΑΠΟΣΠΑΣΜΑΤΑ ΕΚ ΤΟΥ «ΜΙΚΡΟΥ ΛΑΒΥΡΙΝΘΟΥ» *

I.

Φασὶ γὰρ τοὺς μὲν προτέρους ἅπαντας, καὶ αὐτοὺς τοὺς Ἀποστόλους παρειληφέναι τε καὶ δεδιδαχέναι ταῦτα, ἃ νῦν οὗτοι λέγουσι· καὶ τετηρῆσθαι τὴν ἀλήθειαν τοῦ κηρύγματος μέχρι τῶν Βίκτορος χρόνων, ὃς ἦν τρισκαιδέκατος ἀπὸ Πέτρου ἐν Ῥώμῃ ἐπίσκοπος· ἀπὸ δὲ τοῦ διαδόχου αὐτοῦ Ζεφυρίνου, παρακεχαράχθαι τὴν ἀλήθειαν. Ἦν δ' ἂν τυχὸν πιθανὸν τὸ λεγόμενον, εἰ μὴ πρῶτον μὲν ἀντέπιπτον αὐτοῖς αἱ θεῖαι Γραφαί· καὶ ἀδελφῶν δέ τινων ἐστὶ γράμματα πρεσβύτερα τῶν Βίκτορος χρόνων, ἃ ἐκεῖνοι πρὸς τὰ ἔθνη ὑπὲρ τῆς ἀληθείας, καὶ πρὸς τὰς τότε αἱρέσεις ἔγραψαν· λέγω δὲ Ἰουστίνου καὶ Μιλτιάδου καὶ Τατιανοῦ καὶ Κλήμεντος καὶ ἑτέρων πλειόνων, ἐν οἷς ἅπασι θεολογεῖται ὁ Χριστός. Τὰ γὰρ Εἰρηναίου τε καὶ Μελίτωνος καὶ τῶν λοιπῶν τίς ἀγνοεῖ βιβλία, Θεὸν καὶ ἄνθρωπον καταγγέλλοντα τὸν Χριστόν; Ψαλμοὶ δὲ ὅσοι καὶ ᾠδαὶ ἀδελφῶν ἀπαρχῆς ὑπὸ πιστῶν γραφεῖσαι τὸν Λόγον τοῦ Θεοῦ τὸν Χριστὸν ὑμνοῦσι θεολογοῦντες. Πῶς οὖν ἐκ τοσούτων ἐτῶν καταγγελλομένου τοῦ ἐκκλησιαστικοῦ φρονήματος, ἐνδέχεται τοὺς μέχρι Βίκτορος οὕτως ὡς οὗτοι λέγουσι κεκηρυχέναι; Πῶς δὲ οὐκ αἰδοῦνται ταῦτα Βίκτορος καταψεύδεσθαι· ἀκριβῶς εἰδότες, ὅτι Βίκτωρ τὸν σκυτέα Θεόδοτον τὸν ἀρχηγὸν καὶ πατέρα ταύτης τῆς ἀρνησιθέου ἀποστασίας, ἀπεκήρυξε τῆς κοινωνίας, πρῶτον εἰπόντα ψιλὸν ἄνθρωπον τὸν Χριστόν; Εἰ γὰρ Βίκτωρ κατ' αὐτοὺς οὕτως ἐφρόνει, ὡς ἡ τούτων διδάσκει βλασφημία, πῶς ἂν ἀπέβαλλε Θεόδοτον τὸν τῆς αἱρέσεως ταύτης εὑρετήν;

[Παρ' Εὐσεβ. Ἐκκλησ. Ἱστορ. V, 28.]

II.

Ὑπομνήσω γοῦν πολλοὺς τῶν ἀδελφῶν πρᾶγμα ἐφ' ἡμῶν γενόμενον· ὃ νομίζω ὅτι εἰ ἐν Σοδόμοις ἐγεγόνει, τυχὸν ἂν κἀκείνους ἐνουθέτησε. Νατάλιος ἦν τις ὁμολογητὴς οὐ πάλαι, ἀλλ' ἐπὶ τῶν ἡμετέρων γενόμενος καιρῶν. Οὗτος ἠπατήθη ποτὲ ὑπὸ Ἀσκληπιοδότου καὶ ἑτέρου Θεοδότου τινὸς τραπεζίτου· ἦσαν δὲ οὗτοι ἄμφω Θεοδότου τοῦ σκυτέως μαθηταί, τοῦ πρώτου ἐπὶ ταύτῃ τῇ φρονήσει, μᾶλλον δὲ ἀφροσύνῃ, ἀφορισθέντος τῆς κοινωνίας ὑπὸ Βίκτορος, ὡς ἔφην, τοῦ τότε ἐπισκόπου. Ἀνεπείσθη δὲ ὁ Νατάλιος ὑπ' αὐτῶν ἐπὶ

* Περὶ τοῦ ἔργου τούτου ἴδὲ Βιβλ. Ἑλλ. Πατ., τόμ. Ε' σ. 195.

σαλαρίῳ ἐπίσκοπος κληρωθῆναι ταύτης τῆς αἱρέσεως, ὥστε λαμβάνειν παρ' αὐτῶν μηνιαῖα δηνάρια ἑκατὸν πεντήκοντα. Γενόμενος οὖν σὺν αὐτοῖς, δι' ὁραμάτων πολλάκις ἐνουθετεῖτο ὑπὸ τοῦ Κυρίου· ὁ γὰρ εὔσπλαγχνος Θεὸς καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, οὐκ ἐβούλετο ἔξω Ἐκκλησίας γενόμενον, ἀπολέσθαι μάρτυρα τῶν ἰδίων παθῶν. Ἐπεὶ δὲ ῥαθυμότερον τοῖς ὁράμασι προσεῖχε, δελεαζόμενος τῇ τε παρ' αὐτοῖς πρωτοκαθεδρίᾳ, καὶ τῇ πλείστους ἀπολλυούσῃ αἰσχροκερδείᾳ, τελευταῖον ὑπὸ ἁγίων ἀγγέλων ἐμαστιγώθη, δι' ὅλης τῆς νυκτὸς οὐ σμικρῶς αἰκισθείς· ὥστε ἕωθεν ἀναστῆναι, καὶ ἐνδυσάμενον σάκκον, καὶ σποδὸν καταπασάμενον, μετὰ πολλῆς σπουδῆς καὶ δακρύων προσπεσεῖν Ζεφυρίνῳ τῷ ἐπισκόπῳ, κυλιόμενον ὑπὸ τοὺς πόδας οὐ μόνον τῶν ἐν τῷ κλήρῳ, ἀλλὰ καὶ τῶν λαϊκῶν· συγχέαι τε ταῖς δάκρυσι τὴν εὔσπλαγχνον Ἐκκλησίαν τοῦ ἐλεήμονος Χριστοῦ· πολλῇ τε τῇ δεήσει χρησάμενον, δείξαντά τε τοὺς μώλωπας ὧν εἰλήφει πληγῶν, μόλις κοινωνηθῆναι.

[Παρ' Εὐσεβ. Ἐκκλησ. Ἱστορ. ἔ. ἀ.]

III.

Γραφὰς μὲν θείας ἀφόβως ῥερᾳδιουργήκασι· πίστεως δὲ ἀρχαίας κανόνα ἠθετήκασι· Χριστὸν δὲ ἠγνοήκασιν· οὐ τί αἱ θεῖαι λέγουσι Γραφαί, ζητοῦντες, ἀλλ' ὁποῖον σχῆμα συλλογισμοῦ εἰς τὴν τῆς ἀθεότητος εὑρεθῇ σύστασιν, φιλοπόνως ἀσκοῦντες· κἂν αὐτοῖς προτείνῃ τις ῥητὸν Γραφῆς θεϊκῆς, ἐξετάζουσι πότερον συνημμένον ἢ διεζευγμένον δύναται ποιῆσαι σχῆμα συλλογισμοῦ· καταλιπόντες δὲ τὰς ἁγίας τοῦ Θεοῦ Γραφάς, γεωμετρίαν ἐπιτηδεύουσιν· ὡς ἂν ἐκ τῆς γῆς ὄντες καὶ ἐκ τῆς γῆς λαλοῦντες, καὶ τὸν ἄνωθεν ἐρχόμενον ἀγνοοῦντες. Εὐκλείδης γοῦν παρά τισιν αὐτῶν φιλοπόνως γεωμετρεῖται· Ἀριστοτέλης δὲ καὶ Θεόφραστος θαυμάζονται· Γαληνὸς γὰς ἴσως ὑπό τινων καὶ προσκυνεῖται. Οἱ δὲ ταῖς τῶν ἀπίστων τέχναις εἰς τὴν τῆς αἱρέσεως αὐτῶν γνώμην ἀποχρώμενοι, καὶ τῇ τῶν ἀθέων πανουργίᾳ τὴν ἁπλῆν τῶν θείων Γραφῶν πίστιν καπηλεύοντες, ὅτι μηδὲ ἐγγὺς πίστεως ὑπάρχουσι, τί δεῖ καὶ λέγειν; Διὰ τοῦτο ταῖς θείαις Γραφαῖς ἀφόβως ἐπέβαλον τὰς χεῖρας, λέγοντες αὐτὰς διωρθωκέναι. Καὶ ὅτι τοῦτο μὴ καταψευδόμενος αὐτῶν λέγω, ὁ βουλόμενος δύναται μαθεῖν. Εἰ γάρ τις θελήσει συγκομίσας αὐτῶν ἑκάστου τὰ ἀντίγραφα ἐξετάζειν πρὸς ἄλληλα, κατὰ πολὺ ἂν εὕροι διαφωνοῦντα· ἀσύμφωνα γοῦν ἔσται τὰ Ἀσκληπιάδου τοῖς Θεοδότου. Πολλῶν δὲ ἔστιν εὐπορῆσαι, διὰ τὸ φιλοτίμως ἐγγεγράφθαι τοὺς μαθητὰς αὐτῶν τὰ ὑφ' ἑκάστου αὐτῶν, ὡς αὐτοὶ καλοῦσι, κατωρθωμένα, τουτέστιν ἠφανισμένα. Πάλιν δὲ τούτοις τὰ Ἑρμοφίλου οὐ συνᾴδει. Τὰ γὰρ Ἀπολλωνίου οὐδὲ αὐτὰ ἑαυτοῖς ἐστιν σύμφωνα. Ἔνεστι γὰρ συγκρῖναι τὰ πρότερον ὑπ' αὐτῶν κατασκευασθέντα, τοῖς ὕστερον πάλιν ἐπιδιαστραφεῖσι, καὶ εὑρεῖν κατὰ πολὺ ἀπᾴδοντα. Ὅτης δὲ

τόλμης ἐστὶ τοῦτο τὸ ἁμάρτημα, εἰκὸς μηδὲ ἐκείνους ἀγνοεῖν. Ἢ γὰρ οὐ πιστεύουσιν ἁγίῳ Πνεύματι λελέχθαι τὰς θείας Γραφάς, καὶ εἰσὶν ἄπιστοι· ἢ ἑαυτοὺς ἡγοῦνται σοφωτέρους τοῦ ἁγίου Πνεύματος ὑπάρχειν· καὶ τί ἕτερον ἢ δαιμονῶσιν; Οὐδὲ γὰρ ἀρνήσασθαι δύνανται ἑαυτῶν εἶναι τὸ τόλμημα, ὁπόταν καὶ τῇ αὐτῶν χειρὶ ᾖ γεγραμμένα· καὶ παρ' ὧν κατηχήθησαν μὴ τοιαύτας παρέλαβον τὰς Γραφάς· καὶ δεῖξαι ἀντίγραφα, ὅθεν αὐτὰ μετεγράψαντο, μὴ ἔχωσιν. Ἔνιοι δὲ αὐτῶν οὐδὲ παραχαράσσειν ἠξίωσαν αὐτάς, ἀλλ' ἁπλῶς ἀρνησάμενοι τόν τε νόμον καὶ τοὺς προφήτας, ἀνόμου καὶ ἀθέου διδασκαλίας προφάσει χάριτος, εἰς ἔσχατον ἀπωλείας ὄλεθρον κατωλίσθησαν.

[Παρ' Εὐσεβ. Ἐκκλ. Ἱστορ. ἐ. ά.]

ΤΟΥ ΑΓΙΟΥ ΙΠΠΟΛΥΤΟΥ ΕΙΣ ΤΟΝ ΔΑΝΙΗΛ*

ΛΟΓΟΣ Α'

Περὶ τῆς Σωσάννης καὶ τοῦ Δανιὴλ

I. Τὴν ἀκρίβειαν τῶν χρόνων τῆς γεγενημένης αἰχμαλωσίας τοῖς υἱοῖς Ἰσραὴλ ἐν Βαβυλῶνι ἐπιδείξασθαι βουλόμενος καὶ τὰς τοῦ μακαρίου Δανιὴλ τῶν ὁραμάτων προφητείας τήν <τε> τούτου ἐν Βαβυλῶνι ἐκ παιδὸς ἀναστροφὴν πρόσειμι, καὶ αὐτὸς μαρτυρήσων ὁσίῳ καὶ δικαίῳ ἀνδρὶ προφήτῃ καὶ μάρτυρι Χριστοῦ γεγενημένῳ, ὃς οὐ μόνον τὰ τοῦ βασιλέως Ναβουχοδονόσορ ὁράματα τοῖς τότε καιροῖς ἀπεκάλυψεν, ἀλλὰ καὶ ὁμοίους ἑαυτοῦ παῖδας ἐκδιδάξας, μάρτυρας πιστοὺς ἐν κόσμῳ προήγαγεν. οὗτος μὲν οὖν γίνεται κατὰ τοὺς χρόνους τῆς προφητείας τοῦ μακαρίου Ἱερεμίου, τῆς δὲ βασιλείας Ἰωακεὶμ <τοῦ υἱοῦ> τοῦ Ἰωακεὶμ [1], ὃς ἅμα τοῖς λοιποῖς αἰχμαλώτοις ληφθεὶς ἄγεται μετ' αὐτῶν εἰς Βαβυλῶνα. οὗτος νέος παῖς ὑπάρχων πεπαλαιωμένους πρεσβυτέρους κακῆς ὀρέξεως ἐπιθυμητὰς γενομένους ἤλεγξεν, ἐνδεικνύμενος ἐν τούτῳ τὸν ἐπουράνιον κριτήν, ὃς ἤμελλεν ἐλέγχειν ἐν ναῷ πρεσβυτέρους παραβάτας τοῦ νόμου γεγενημένους. αὕτη μὲν οὖν ἡ ἱστορία ἡ ἀνεγνωσμένη γεγένηται πάλαι ἐν Βαβυλῶνι ὑπὸ πρεσβυτέρων ἀνόμων κριτῶν, οἳ νόμον θεοῦ ἐπιλελησμένοι καὶ ἐπιθυμίᾳ σαρκικῇ δεδουλωμένοι ἐπίβουλοι ἐγένοντο γυναικὸς σώφρονος ἀδίκως δίκαιον αἷμα ἀφαιρεῖν ἐπιχειροῦντες. ἔδει τοίνυν ταῦτα οὕτως πληροῦσθαι ἐπ' αὐτοῖς, ἵνα καὶ τὸ τῶν δικαίων ἐκλεκτῶν γένος πρόδηλον πᾶσι γενηθῇ καὶ ἡ σωφροσύνη τῆς μακαρίας Σουσάννης φανερῶς ἐπιδειχθῇ καὶ ὁ δίκαιος προφήτης Δανιὴλ νέος προφήτης τῷ λαῷ ἀποδειχθῇ.

II. Δεῖ οὖν ἡμᾶς τὴν ἀπόδειξιν τῶν πραγμάτων ποιουμένους ἐκδέχεσθαι ἀκριβῶς πρὸς πεισμονὴν τῶν ἀκροατῶν· τίνες δὲ καὶ ὁποῖαι αἱ αἰχμαλωσίαι γεγένηνται τῷ λαῷ καὶ ἐπὶ τίνων βασιλέων μὴ παραλείψωμεν. πέντε γὰρ οὗτοι υἱοὶ γίνονται τοῦ μακαρίου Ἰωσίου, Ἰωάχας καὶ Ἐλιακεὶμ καὶ Ἰωάνναν, Σεδεκίας ὁ καὶ Ἰεχονίας, καὶ Σαλούμ.[2] καὶ ὁ μὲν Ἰωάχας μετὰ τὴν τελευτὴν τοῦ πατρὸς αὐτοῦ χρίεται ὑπὸ τοῦ λαοῦ εἰς βασιλέα, ὢν ἐτῶν κγ.[3] ἐπὶ τοῦτον ἀναβαίνει

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ G. Nath. Bonwetsch, Hippolyt's Kommentar zum Buche Daniel. Leipzig 1897, μετ' ἄδειαν τῆς Deutsche Akademie der Wissenschaften. Τὸ κείμενον συνεπληρώθη διὰ τεμαχίων, ἅτινα ὁ ἀοίδιμος Κ. Δυοβουνιώτης ἐξέδωκε ἐκ χειρογράφου τῶν Μετεώρων, C. Diobouniotis, Hippolyt's Danielkommentar, Leipzig, 1911.

1. Δ' Βασ. 24,8. Δαν. 1, 2. 2. Α' Παρλ. 3, 15. 3. Δ' Βασ. 23, 30.

Φαραὼ Νεχαὼ ἐν τῷ μηνὶ τῷ τρίτῳ τῆς βασιλείας αὐτοῦ καὶ λαβὼν αὐτὸν δέσμιον ἄγει εἰς Αἴγυπτον καὶ ἐπιτίθησι φόρον τῇ γῇ «ἑκατὸν τάλαντα ἀργυρίου καὶ δέκα τάλαντα χρυσίου[1]» καὶ καθιστᾷ ἀντ’ αὐτοῦ ’Ελιακεὶμ τὸν ἀδελφὸν αὐτοῦ βασιλέα ἐπὶ τῆς γῆς, ὃν καὶ μετωνόμασεν ’Ιωακείμ· οὗτος βασιλεύει ἐπὶ ἔτη ἕνδεκα. ἐπὶ τοῦτον «ἀνέβη» «Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος» καὶ λαβὼν αὐτὸν δέσμιον ἄγει εἰς Βαβυλῶνα «καὶ μέρος» τι «τῶν σκευῶν οἴκου κυρίου[2]» τῶν ἐν Ἱερουσαλήμ. οὗτος κατάκλειστος γενόμενος ὡς φίλος τοῦ Φαραὼ καὶ ὑπ’ αὐτοῦ βασιλεὺς κατασταθείς, «τῷ τριακοστῷ καὶ ἑβδόμῳ ἔτει» ἐξάγεται ὑπὸ Εὐιλὰτ Μαρωδὰχ βασιλέως Βαβυλῶνος. «καὶ ἔκειρεν» αὐτοῦ τὴν κεφαλὴν καὶ ἦν αὐτοῦ σύμβουλος «καὶ ἤσθιεν» ἐν τῇ τραπέζῃ αὐτοῦ ἕως τῆς ἡμέρας «ἧς ἀπέθανεν.[3]»

III. Τούτου οὖν μεταχθέντος βασιλεύει ὁ υἱὸς αὐτοῦ ’Ιωακεὶμ ἔτη τρία. καὶ ἐπὶ τοῦτον ὡς εἴρηται «ἀνέβη Ναβουχοδονόσορ» καὶ μετοικίζει αὐτόν τε καὶ ἐκ τοῦ λαοῦ δέκα χιλιάδας ἀνδρῶν εἰς Βαβυλῶνα καὶ καθιστᾷ ἀντ’ αὐτοῦ ’Ιεχονίαν τὸν ἀδελφὸν τοῦ πατρὸς αὐτοῦ, ὃν καὶ μετωνόμασε Σεδεκίαν[4], μεθ’ οὗ ὅρκια καὶ συνθήκας ποιησάμενος ἄπεισιν εἰς Βαβυλῶνα.[5] οὗτος βασιλεύσας ἔτη ἕνδεκα ἀπέστη ἀπ’ αὐτοῦ καὶ ἔδωκεν ἑαυτὸν πρὸς Φαραὼ βασιλέα Αἰγύπτου. ἐν δὲ τῷ δωδεκάτῳ ἔτει «ἦλθεν ἐπ’ αὐτὸν «Ναβουχοδονόσορ» «καὶ πᾶσα ἡ δύναμις τῶν Χαλδαίων καὶ περιεχαράκωσαν[6]» τὴν πόλιν καὶ περιεκάθισαν αὐτὴν κυκλόθεν καὶ συνεῖχον αὐτὴν πάντοθεν, ὅθεν οἱ πλείονες αὐτῶν ἐν λιμῷ διεφθάρησαν, οἱ δὲ ἐν ῥομφαίᾳ ἀπώλοντο, τινὲς δὲ αὐτῶν αἰχμάλωτοι ἐλήφθησαν. ἡ δὲ πόλις ἐνεπυρίσθη ἐν πυρὶ καὶ ὁ ναὸς καὶ τὸ τεῖχος καθῃρέθη. καὶ πάντας τοὺς θησαυροὺς τοὺς εὑρεθέντας ἐν οἴκῳ κυρίου ἔλαβεν ἡ δύναμις τῶν Χαλδαίων καὶ πάντα τὰ σκεύη, τά τε χρυσᾶ, καὶ ἀργυρᾶ, καὶ πάντα χαλκὸν ἐξέκοψεν Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος καὶ ἤνεγκεν αὐτὰ εἰς Βαβυλῶνα, αὐτὸν δὲ τὸν Σεδεκιαν διὰ νυκτὸς φεύγοντα μετὰ ἀνδρῶν ἑπτακοσίων «κατεδίωξαν αἱ δυνάμεις τῶν Χαλδαίων» «καὶ κατέλαβον αὐτὸν ἐν Ἱεριχῷ·» «καὶ ἤγαγον αὐτὸν πρὸς βασιλέα Βαβυλῶνος εἰς Δεβλαθά.[7]» καὶ ἐκρίθη μετ’ αὐτοῦ ὁ βασιλεὺς ἐν θυμῷ διὰ τὸ παραβεβηκέναι αὐτὸν τὸν ὅρκον κυρίου καὶ τὴν διαθήκην, ἣν διέθετο πρὸς αὐτόν. καὶ λαβὼν τοὺς υἱοὺς αὐτοῦ ἔσφαξεν ἔμπροσθεν αὐτοῦ[8] καὶ τοὺς ὀφθαλμοὺς Σεδεκίου ἐξετύφλωσεν «καὶ ἔδησεν αὐτὸν ἐν πέδαις» σιδηραῖς «καὶ ἤγαγεν αὐτὸν» «εἰς Βαβυλῶνα»· καὶ ἦν ἀλήθων ἐν τῷ μύλωνι «ἕως τῆς ἡμέρας ἧς ἀπέθανεν.[9]» καὶ ἐν τῷ ἀποθανεῖν αὐτὸν λαβόντες τὸ σῶμα αὐτοῦ ἔρριψαν ὀπίσω τοῦ τείχους Νινευί. ’Επὶ τούτου πληροῦται ἡ προφητεία Ἱερεμίου λέγοντος «ζῶ ἐγώ,

1. Δ’ Βασ. 23, 33-34. 2. Β’ Παρλ. 36, 6-7. Δαν. 1, 1-2. 3. ’Ιερ. 52, 31 ἑξ. 4. Δ’ Βασ. 24, 10, 14, 16, 17. 5. Β’ Παρλ. 36, 13. 6. ’Ιερ. 52, 4. 7. ’Ιερ. 52, 7-9. 8. ’Ιερ. 52, 10-11. 9. ’Ιερ. 52, 11.

λέγει κύριος, ἐὰν γενόμενος γένηται ’Ιεχονίας υἱὸς ’Ιωσίου βασιλεὺς ’Ιούδα ἀποσφράγισμα ἐπὶ τῆς χειρός μου τῆς δεξιᾶς, ἐκεῖθεν ἐκσπάσω σε καὶ δώσω σε εἰς χεῖρας τῶν ζητούντων τὴν ψυχήν σου, ὧν σὺ εὐλαβῇ ἀπὸ προσώπου αὐτῶν, εἰς χεῖρας τῶν Χαλδαίων. καὶ ἀπορρίψω σε καὶ τὴν μητέρα σου τὴν τεκοῦσάν σε εἰς γῆν, οὗ οὐκ ἐτέχθης ἐκεῖ, κἀκεῖ ἀποθανεῖσθε. εἰς δὲ τὴν γῆν, ἣν αὐτοὶ εὔχονται ταῖς ψυχαῖς αὐτῶν, οὐ μὴ ἐπιστρέψωσιν. ἠτιμώθη ’Ιεχονίας ὡς σκεῦος ἄχρηστον οὗ οὐκ ἔστι χρεία, διότι ἐξερρίφη καὶ ἐξεβλήθη εἰς γῆν ἣν οὐκ ᾔδει. γῆ, <γῆ>, ἄκουε λόγον κυρίου. γράψον τὸν ἄνδρα τοῦτον ἐκκήρυκτον ἄνθρωπον, ὅτι οὐ μὴ αὐξηθῇ ἐκ τοῦ σπέρματος αὐτοῦ καθήμενος ἐπὶ θρόνου Δαβὶδ ἄρχων ἔτι ἐν τῷ ’Ιούδα.[1]» [γεγένηται οὖν ἡ αἰχμαλωσία αὐτοῖς εἰς Βαβυλῶνα μετὰ τὴν ἔξοδον τὴν ἐξ Αἰγύπτου.]

IV. Τοῦ οὖν λαοῦ παντὸς μετοικισθέντος καὶ τῆς πόλεως ἐρημωθείσης τοῦ τε ἁγιάσματος καθῃρημένου εἰς τὸ πληρωθῆναι τὸν λόγον κυρίου, ὃν ἐλάλησε διὰ τοῦ στόματος Ἱερεμίου τοῦ προφήτου λέγοντος ὅτι «ἔσται» ἔρημον ἁγίασμα «ἑβδομήκοντα ἔτη[2]», εὑρίσκομεν τὸν μακάριον Δανιὴλ ἐν Βαβυλῶνι προφητεύσαντα καὶ ἔκδικον τῆς Σωσάννης γενόμενον.

V. Λέγει γὰρ ἡ γραφή· «Καὶ ἦν ἀνὴρ οἰκῶν ἐν Βαβυλῶνι καὶ ὄνομα αὐτοῦ ’Ιωακεὶμ καὶ ἔλαβε γυναῖκα, ᾗ ὄνομα Σουσάννα, θυγατέρα Χελκίου, καλὴν σφόδρα καὶ φοβουμένην τὸν κύριον, καὶ ἦσαν οἱ γονεῖς αὐτῆς δίκαιοι καὶ ἐδίδαξαν τὴν θυγατέρα αὐτῶν κατὰ τὸν νόμον Μωϋσῆ.[3]» αὕτη μὲν οὖν ἡ ἱστορία γεγένηται ὕστερον, προεγράφη δὲ <ταύτης> τῆς βίβλου πρώτη. ἔθος γὰρ ἦν τοῖς γραμματεῦσιν ὑστερόπρωτα πολλὰ ἐν ταῖς γραφαῖς τιθέναι. εὑρίσκομεν γὰρ καὶ ἐν τοῖς προφήταις ὁράσεις τινὰς πρώτας γεγενημένας καὶ ἐπ’ ἐσχάτων πεπληρωμένας καὶ αὖ πάλιν ἐπ’ ἐσχάτων εἰρημένας καὶ πρώτας γεγενημένας. τοῦτο δὲ οἰκονομίᾳ τοῦ πνεύματος ἐγίνετο, ἵνα μὴ ὁ διάβολος συνιῇ τὰ ὑπὸ τῶν προφητῶν ἐν παραβολαῖς λαλούμενα καὶ παγιδεύσας ἐκ δευτέρου πάλιν ἀποκτείνῃ τὸν ἄνθρωπον.

VI. Ἡ δὲ ἀρχὴ τῆς βίβλου ἐστὶν ἥδε.

«’Εν ἔτει τρίτῳ τῆς βασιλείας ’Ιωακεὶμ βασιλέως ’Ιούδα ἦλθεν Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος εἰς Ἱερουσαλὴμ καὶ ἐπολιόρκησεν αὐτήν. καὶ ἔδωκε κύριος ἐν χειρὶ αὐτοῦ τὸν ’Ιωακεὶμ βασιλέα ’Ιούδα καὶ ἀπὸ μέρους τῶν σκευῶν οἴκου τοῦ θεοῦ καὶ ἤνεγκεν αὐτὰ εἰς γῆν Σενααρ εἰς οἶκον τοῦ θεοῦ αὐτοῦ.[4]»

Ταῦτα μὲν οὖν ἡ γραφὴ οὕτως διηγεῖται, ἵνα τὴν γεγενημένην δευτέραν αἰχμαλωσίαν τοῦ λαοῦ σημάνῃ, ἡνίκα μετῳκίσθη ὅ τε ’Ιωακεὶμ <ὁ υἱὸς τοῦ ’Ιωακείμ> καὶ οἱ σὺν αὐτῷ τρεῖς παῖδες ἅμα τῷ Δανιὴλ εἰλημμένοι. οὗτος δὲ ’Ιωακεὶμ γίνεται ἀνὴρ Σουσάννης.

1. ’Ιερ. 22, 24-30. 2. ’Ιερ. 25, 11. 3. Δαν. (Διήγ. Σωσ.) 1-2. 4. Δαν. 1, 1-2.

VII. Λέγει δὲ ἡ γραφή· «Καὶ εἶπεν ὁ βασιλεὺς Ἀσφανὲζ τῷ ἀρχιευνούχῳ εἰσαγαγεῖν ἀπὸ τῆς αἰχμαλωσίας τῶν υἱῶν Ἰσραὴλ καὶ ἀπὸ τοῦ σπέρματος τῆς βασιλείας καὶ ἀπὸ τῶν φορθομμὶν νεανίσκους, οἷς οὐκ ἔστιν ἐν αὐτοῖς μῶμος, καλοὺς τῇ ὄψει καὶ συνιέντας ἐν πάσῃ σοφίᾳ καὶ γινώσκοντας γνῶσιν καὶ διανοουμένους φρόνησιν καὶ οἷς ἐστιν ἰσχὺς ἐν αὐτοῖς ἑστάναι ἐν οἴκῳ τοῦ βασιλέως, καὶ διδάξαι αὐτοὺς γράμματα καὶ γλῶσσαν Χαλδαίων. καὶ διέταξεν αὐτοῖς ὁ βασιλεὺς τὸ τῆς ἡμέρας καθ' ἡμέραν ἀπὸ τῆς τραπέζης τοῦ βασιλέως καὶ ἀπὸ τοῦ οἴνου τοῦ ποτοῦ αὐτοῦ καὶ θρέψαι αὐτοὺς ἔτη τρία καὶ μετὰ ταῦτα στῆναι ἐνώπιον τοῦ βασιλέως. καὶ ἐγένετο ἐν αὐτοῖς ἐκ τῶν υἱῶν Ἰούδα Δανιὴλ καὶ Ἀνανίας, Μισαὴλ καὶ Ἀζαρίας.[1]»

Ταῦτα μὲν οὐ δεῖ ἐν παραδρομῇ ἀναγινώσκειν τοὺς φιλομαθεῖς, ἐπιστῆσαι δὲ τὸν νοῦν πρὸς τὰ προκείμενα. Οὐδὲν γὰρ ἀργὸν κηρύττουσιν ἡμῖν αἱ θεῖαι γραφαί, ἀλλὰ πρὸς μὲν τὴν ἡμῶν αὐτῶν νουθεσίαν, τῶν δὲ προφητῶν μακαρισμὸν καὶ πάντων τῶν ὑπ' αὐτῶν λελαλημένων ἀπόδειξιν. ἡνίκα γὰρ Ἐζεκίας βασιλεὺς Ἰούδα ἐμαλακίσθη ἕως θανάτου, τότε «ἦλθεν πρὸς αὐτὸν Ἡσαΐας ὁ προφήτης καὶ εἶπεν αὐτῷ· τάξαι περὶ τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου καὶ τοῦ οἴκου τοῦ πατρός σου· ἀποθνήσκεις γὰρ σὺ καὶ οὐ ζήσει.» ἐφ' ᾧ ῥήματι λυπηθεὶς «Ἐζεκίας ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ πρὸς τὸν τοῖχον καὶ προσηύξατο πρὸς τὸν κύριον λέγων· κύριε, μνήσθητί μου καθὼς πεπόρευμαι ἐνώπιόν σου ἐν ἀληθείᾳ καὶ ἐν πίστει καὶ ἐν καρδίᾳ πλήρει καὶ τὸ ἀρεστὸν ἐνώπιόν σου ἐποίησα. καὶ ἔκλαυσεν Ἐζεκίας κλαυθμῷ πλείονι.[2]» τούτου τε γενομένου πέμπεται πρὸς αὐτὸν Ἡσαΐας ἐκ δευτέρου καί φησι πρὸς αὐτόν· «Τάδε λέγει κύριος, ὁ θεὸς Δαβίδ, τοῦ πατρός σου· ἤκουσα τῆς προσευχῆς σου καὶ εἶδον τὰ δάκρυά σου καὶ ἤκουσα τῆς φωνῆς σου. ἰδοὺ προστίθημι εἰς τὸν χρόνον σου ἔτη ιε' <καὶ ἐκ χειρὸς βασιλέως Ἀσσυρίων ῥύσομαί σε>. τοῦτο δέ σοι τὸ σημεῖον παρὰ κυρίου ὅτι ποιήσει ὁ θεὸς τὸ ῥῆμα τοῦτο, κύριος τὸν λόγον τοῦτον, ὃν ἐλάλησεν... ἰδοὺ στρέφω τὴν σκιὰν τῶν ἀναβαθμῶν τοῦ οἴκου τοῦ πατρός σου, οὓς κατέβη ὁ ἥλιος.., τοὺς δέκα ἀναβαθμούς, οὓς κατέβη ἡ σκιά[3]», ὥστε γενέσθαι τὴν ἡμέραν ἐκείνην ὡρῶν λβ'. τοῦ γὰρ ἡλίου <δια>δραμόντος καὶ ἐπὶ τὴν δεκάτην ὥραν φθάσαντος καὶ τῆς σκιᾶς τοὺς δέκα ἀναβαθμοὺς τοῦ οἴκου [τοῦ ναοῦ] κατελθούσης ἀνέστρεψε πάλιν ὁ ἥλιος τοὺς δέκα ἀναβαθμοὺς «εἰς τὰ ὀπίσω» κατὰ τὸ ῥῆμα κυρίου καὶ ἐγένοντο ὧραι κ'· καὶ πάλιν τὸν ἴδιον δρόμον κατὰ τὴν ἰδίαν τάξιν κυκλώσας ὁ ἥλιος ἐπορεύθη εἰς δυσμάς· ἐγένοντο οὖν ὧραι τριάκοντα δύο.·

VIII. Ἀλλ' ἴσως ἐρεῖ τις, ἀδύνατον τοῦτο γενέσθαι. ὦ ἄνθρωπε,

1. Δαν. 1, 3-6. 2. Δ' Βασ. 20, 1-3. 3. Δ' Βασ. 20, 5, 6, 9. Πρβλ. Ἠσ. 38, 1 ἑξ.

τί ἀδύνατον τῷ θεῷ; οὐκ αὐτὸς ἀπ' ἀρχῆς τὴν πᾶσαν κτίσιν ἐκ μὴ ὄντων ἐδημιούργησε καὶ τὰ στοιχεῖα ἔθετο ἐν αὐτῇ εἰς φαῦσιν τῆς ἡμέρας καὶ τῆς νυκτός, ᾧ καὶ πάντα ὑποτασσόμενα δουλεύει καὶ τῆς τούτου φωνῆς ὑπακούοντα τρέμει; «τὰ οὖν ἀδύνατα παρὰ τοῖς ἀνθρώποις ταῦτα δυνατὰ παρὰ τῷ θεῷ.[1]» ἔχομεν δὲ καὶ ἑτέραν μαρτυρίαν ἐπὶ τοῦτο ἐναπόδεικτον. ἡνίκα <γὰρ> Ἰησοῦς ὁ τοῦ Ναυὴ ἐπολέμει τοὺς Ἀμωρραίους, τοῦ ἡλίου ἤδη εἰς δυσμὰς κλίνοντος καὶ τοῦ πολέμου ἀθρόως ἐπικειμένου, εὐλαβηθεὶς <ὁ μακάριος> Ἰησοῦς μήποτε νυκτὸς ἐπιγενομένης διαφύγωσιν οἱ ἀλλόφυλοι, ἐβόησε λέγων· «στήτω ὁ ἥλιος κατὰ Γαβαὼν καὶ ἡ σελήνη κατὰ φάραγγα Αἰλῶν[2]», ἕως ἂν ἐκπολεμήσω τὸν λαὸν τοῦτον.» «καὶ ἔστη ὁ ἥλιος καὶ ἡ σελήνη ἐν τῇ στάσει αὐτῶν» <«καὶ οὐ προεπορεύετο εἰς δυσμὰς εἰς τέλος ἡμέρας μιᾶς[3]»>, ὥστε γενέσθαι τὴν ἡμέραν ἐκείνην ὡρῶν κδ'. καὶ διὰ τοῦτο ἐπεμαρτύρησεν ἡ γραφὴ λέγουσα· «οὐκ ἐγενήθη ἡμέρα τοιαύτη οὐδέποτε ὥστε ἐπακοῦσαι θεὸν ἀνθρώπου.[4]» ὁ οὖν ἀπ' ἀρχῆς τὰ στοιχεῖα ὁροθετήσας ἐν οὐρανῷ καὶ τούτοις ἀεικινήτους δρόμους κατὰ τὴν ἑαυτοῦ ἐξουσίαν προστάξας, πῶς οὐχὶ καὶ μετάγειν καὶ τρέπειν καὶ ἀλλοιοῦν, ἡνίκα ἐὰν βούληται δυνατὸς εἶναι; ἐπὶ μὲν γὰρ τοῦ Ἰησοῦ ἔστη ὁ ἥλιος κατὰ Γαβαὼν καὶ ἡ σελήνη κατὰ φάραγγας Ἐλὼμ ἕως ἡμέρας μιᾶς, καὶ ἀνέστρεψεν ἐπὶ Ἐζεκίου σὺν τῷ ἡλίῳ καὶ <ἡ> σελήνη εἰς τοὐπίσω, ἵνα μὴ ἡ σύγκρουσις τῶν δύο στοιχείων γένηται ἀτάκτως ἀλλήλοις ἐπιφερομένων. ἐπὶ δὲ τοῦ κυρίου πάσχοντος αὐτοῦ οὐ μόνον τὰ στοιχεῖα, ἀλλὰ καὶ αὐτὴ ἡ ἡμέρα καὶ ὁ πᾶς κόσμος ἐσείσθη.

IX. Καὶ <γὰρ> καταπλαγεὶς τότε Μαρωδὰχ ὁ Χαλδαῖος ὁ βασιλεὺς Βαβυλῶνος διὰ τὸ τὴν ἀστρολογικὴν τέχνην ἀσκεῖν καὶ τὸν τοῦ ἡλίου δρόμον ἀκριβῶς καταμετρεῖν μαθὼν τὴν αἰτίαν ἔπεμψεν ἐπιστολὴν καὶ δῶρα τῷ Ἐζεκίᾳ. ὃν τρόπον ἐποίησαν καὶ οἱ μάγοι ἀπὸ ἀνατολῶν ἐλθόντες. τοῦ γὰρ κυρίου «ἐν Βηθλεὲμ γεννηθέντος[5]» καὶ τοῦ ἄστρου ἐν οὐρανῷ κατὰ τὸ προφητευόμενον ἅμα φανέντος ξενισθέντες οἱ μάγοι ἐπὶ τῷ γενομένῳ σημείῳ ἦλθον εἰς Ἱεροσόλυμα λέγοντες· «ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων, ἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ.[6]» ὁμοίως οὖν καὶ οἱ Χαλδαῖοι τότε μὴ εὑρόντες τὸν συνήθη τοῦ ἡλίου δρόμον ἐτίμησαν τὸν Ἐζεκίαν δώροις καὶ ἐπιστολαῖς ὡς ἄνδρα θεοσεβῆ καὶ δίκαιον θαυμάσαντες ἐπὶ τῷ σημείῳ τῷ ὑπὸ τοῦ θεοῦ αὐτῷ δεδομένῳ.

X. Ὦ μακαρίων παίδων τὴν διαθήκην τῶν πατέρων φυλαξάντων καὶ τὸν διὰ Μωϋσέως δοθέντα νόμον μὴ παραβάντων, ἀλλὰ τὸν δι' αὐτοῦ κηρυττόμενον θεὸν φοβηθέντων. οὗτοι, αἰχμάλωτοι «ἐν γῇ ἀλλοτρίᾳ[7]» ὑπάρχοντες, οὐ βρώμασι ποικίλοις ἠπατήθησαν οὐδὲ

1. Ματθ. 19, 26. 2. Ἰησ. Ν. 10, 12. 3. Ἰησ. Ν. 10, 13. 4. Ἰησ. Ν. 10, 14. 5. Ματθ. 2, 1. 6. Ματθ. 2, 2. 7. Ψαλμ. 136, 4.

οἴνῳ ἡδονῆς ἐδουλώθησαν οὐδὲ δόξῃ βασιλικῇ ἐδελεάσθησαν ἁρπαγέντες, ἐτήρησαν δὲ τὸ ἑαυτῶν ἁγνὸν καὶ καθαρὸν στόμα, ὅπως καθαρὸς λόγος ἐκ στόματος καθαρῶν προέλθῃ καὶ ἀνυμνήσῃ <καὶ δείξῃ> δι' αὐτῶν τὸν ἐπουράνιον πατέρα.

.....[διδάσκουσιν] ὅτι μὴ βρώματα ἐπίγεια εἴη τὰ παρέχοντα ἀνθρώποις κάλλος καὶ ἰσχύν, ἀλλὰ χάρις θεοῦ διὰ λόγου δωρουμένη,......

......εἶδες πίστιν παίδων ἀμετάθετον καὶ φόβον θεοῦ ἀπαράβατον; δέκα ἡμερῶν χρόνου διάστημα ᾐτήσαντο, ἵνα ἐν τούτῳ ἐπιδείξωσι μὴ δύνασθαι ἑτέρως ἄνθρωπον παρὰ θεοῦ κτήσασθαι χάριν, εἰ μὴ τῷ διὰ τοῦ Ἰησοῦ κηρυσσομένῳ λόγῳ πιστεύουσιν.

XI. ....Οὗτοι μὲν οὖν ἄρτῳ καὶ ὕδατι μόνῳ τρεφόμενοι, τῇ <δὲ> ἐπουρανίῳ σοφίᾳ κοσμούμενοι ἔσχον χάριν παρὰ πάντα τὰ παιδάρια τὰ συνήλικα αὐτῶν..... τούτους μὲν ἐν πάσῃ σοφίᾳ ὁ λόγος προῆγε, μάρτυρας πιστοὺς ἐν Βαβυλῶνι δεικνυμένους, ἵνα δι' αὐτῶν τῶν Βαβυλωνίων τὰ σεβάσματα καταισχυνθῇ καὶ Ναβουχοδονόσορ ὑπὸ τριῶν παίδων ἡττηθῇ καὶ διὰ τῆς τούτων πίστεως τὸ ἐν καμίνῳ πῦρ φυγαδευθῇ καὶ ἡ μακαρία Σωσάννα ἐκ θανάτου ῥυσθῇ καὶ τῶν ἀνόμων πρεσβυτέρων μάταιος ἐπιθυμία ἐλεγχθῇ.....

XII. «Καὶ ἦν ἀνὴρ οἰκῶν ἐν Βαβυλῶνι καὶ ὄνομα αὐτοῦ Ἰωακείμ. καὶ ἔλαβε γυναῖκα, ᾗ ὄνομα Σουσάννα, θυγάτηρ Χελκίου, καλὴ σφόδρα καὶ φοβουμένη τὸν κύριον.[1]» περὶ οὗ ἔμπροσθεν λόγον ἐποιησάμεθα. οὗτος ὁ Ἰωακεὶμ πάροικος γενόμενος ἐν Βαβυλῶνι λαμβάνει τὴν Σωσάνναν εἰς γυναῖκα. αὕτη δὲ ἦν θυγάτηρ Χελκίου τοῦ ἱερέως τοῦ εὑρόντος τὸ βιβλίον τοῦ νόμου ἐν τῷ οἴκῳ κυρίου, ἡνίκα Ἰωσίας ὁ βασιλεὺς ἐκέλευσεν αὐτὸν καθαρίσαι τὰ ἅγια τῶν ἁγίων.[2] ταύτης ἀδελφὸς γίνεται Ἱερεμίας ὁ προφήτης, ὃς ἅμα τοῖς ἐπιλοίποις μετὰ τὴν γενομένην τοῦ λαοῦ ἐν Βαβυλῶνι αἰχμαλωσίαν ἀπήχθη εἰς Αἴγυπτον καὶ παρῴκησεν ἐν Τάφναις κἀκεῖ προφητεύων λιθοβοληθεὶς ὑπ' αὐτῶν ἀνῃρέθη. οὗτοι οὖν ἐκ τοῦ γένους τοῦ ἱερατικοῦ ὑπάρχοντες, ἐκ τῆς φυλῆς τῆς Λευΐ, ἐπεμίγησαν τῇ φυλῇ Ἰούδα, ἵνα δικαίων φυλῶν δύο σπερμάτων ἐπὶ τὸ αὐτὸ συνελθόντων τὸ δίκαιον Χριστοῦ κατὰ σάρκα σπέρμα δειχθῇ καὶ ὁ ἐξ αὐτῶν ἐν Βηθλεὲμ γεννώμενος καὶ ἱερεὺς θεοῦ ἀποδειχθῇ. καὶ γὰρ Ματθαῖος βουλόμενος τὸ κατὰ σάρκα γένος τοῦ Χριστοῦ καθαρὸν καὶ ἄσπιλον ἕως τοῦ Ἰωσὴφ καταγαγεῖν, ἐλθὼν ἐπὶ τὸν Ἰωσίαν παρῃτήσατο τοὺς πέντε τούτου υἱοὺς καὶ ὠνόμασε τὸν Ἰεχωνίαν, τὸν ἐν Βαβυλῶνι ἐκ τῆς Σουσάννης γεννηθέντα ἀπὸ δικαίου σπέρματος ἐπὶ δίκαιον σπέρμα μεθαλλόμενος. λέγει γάρ· «Ἰωσίας γεννᾷ τὸν Ἰεχωνίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος.[3]» πῶς οὖν τοῦτο ἀποδειχθήσεται; Ἰωσίας γὰρ ἐν γῇ Ἰούδα βασιλεύσας τριάκοντα ἓν ἔτος ἐκεῖ τελευτᾷ. πῶς οὖν ἠδύνατο ἐκεῖ τελευτήσας γεννᾶν ἐν Βαβυλῶνι τὸν Ἰεχωνίαν;

1. Δαν. (Διήγ. Σωσ.) 1-2. 2. Πρβλ. Δ' Βασ. 22, 10. 3. Ματθ. 1, 11.

ἐκ τούτου δεῖ νοεῖν, ὅτι ἐκ τοῦ Ἰωακεὶμ καὶ ἐκ τῆς Σουσάννης γεννηθέντα τοῦτον ἐγενεαλόγησε Ματθαῖος ὡς υἱὸν ὄντα Ἐλιακεὶμ τοῦ καὶ Ἰωακεὶμ υἱοῦ Ἰωσίου. οὐδὲ γὰρ τὸν ἐκκήρυκτον ὑπὸ τοῦ πνεύματος Ἰεχωνίαν τοῦτον ἠδύνατο γενεαλογεῖν Ματθαῖος, ὥς τινες πλανώμενοι νομίζουσιν· οὗτος γὰρ πηρὸς ἀχθεὶς εἰς Βαβυλῶνα κἀκεῖ δέσμιος ἐν μύλωνι κατακλισθεὶς ἄτεκνος τελευτᾷ. ὥστε οὐκ ἀργῶς ἡ γραφὴ διδάσκει ἡμᾶς λέγουσα· «Καὶ ἦν ἀνὴρ οἰκῶν ἐν Βαβυλῶνι καὶ ὄνομα αὐτοῦ Ἰωακεὶμ καὶ ἔλαβε γυναῖκα, ᾗ ὄνομα Σουσάννα, θυγατέρα Χελκίου, καλὴν σφόδρα καὶ φοβουμένην τὸν Κύριον.» γεννᾶται οὖν ἐξ αὐτῆς Ἰεχωνίας, καὶ Ἰεχωνίας γεννᾷ τὸν Σαλαθιήλ, καὶ Σαλαθιὴλ γεννᾷ τὸν Ζοροβάβελ. Οὗτος ἅμα Ἔσδρᾳ τῷ γραμματεῖ καὶ Ἰησοῦ τῷ τοῦ Ἰωσεδὲκ ἀνέρχεται εἰς Ἱεροσόλυμα κατὰ κέλευσιν Κύρου τοῦ Πέρσου.[1] καὶ οὕτω καθαρὸν τὸ γένος τῶν πατέρων διέμεινεν ἕως τῆς γεννήσεως Ἰησοῦ Χριστοῦ.

XIII. Ἦσαν δέ φησιν οἱ γονεῖς αὐτῆς δίκαιοι καὶ ἐδίδαξαν τὴν θυγατέρα αὐτῶν κατὰ τὸν νόμον Μωσέως. ἐκ γὰρ τοῦ καρποῦ τοῦ ἐξ αὐτῶν προβληθέντος εὐκόλως καὶ τὸ δένδρον γινώσκεται.[2] ἄνδρες γὰρ εὐλαβεῖς καὶ «ζηλωταὶ τοῦ νόμου[3]» γενόμενοι ἄξια θεοῦ τέκνα ἐν κόσμῳ προηγάγοντο, τὸν μὲν προφήτην καὶ μάρτυρα Χριστοῦ γεγενημένον, τὴν δὲ σώφρονα καὶ πιστὴν εὑρημένην ἐν Βαβυλῶνι, ἧς τὸ σεμνὸν καὶ σῶφρον τὸν μακάριον Δανιὴλ προφήτην ἀπέδειξεν. ἦν δέ φησι Ἰωακεὶμ πλούσιος σφόδρα, «καὶ ἦν αὐτῷ γειτνιῶν παράδεισος τῷ οἴκῳ αὐτοῦ καὶ πρὸς αὐτὸν συνήρχοντο οἱ Ἰουδαῖοι διὰ τὸ εἶναι αὐτὸν ἐνδοξότερον πάντων. καὶ ἀπεδείχθησαν δύο πρεσβύτεροι ἐκ τοῦ λαοῦ κριταὶ ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ, περὶ ὧν ἐλάλησεν ὁ δεσπότης, ὅτι ἐξῆλθεν ἀνομία ἐκ Βαβυλῶνος ἐκ πρεσβυτέρων κριτῶν, οἳ ἐδόκουν κυβερνᾶν τὸν λαόν. οὗτοι προσεκαρτέρουν τῇ οἰκίᾳ Ἰωακεὶμ καὶ εἰσήρχοντο πρὸς αὐτοὺς πάντες οἱ κρινόμενοι.[4]» δεῖ οὖν ἐπιζητεῖν τὸ αἴτιον, πῶς [γὰρ] <οὗτοι> αἰχμάλωτοι ὑπάρχοντες καὶ ὑπόδουλοι Βαβυλωνίοις γεγενημένοι ἠδύναντο συνέρχεσθαι ἐπὶ τὸ αὐτὸ ὡς αὐτεξούσιοι. ἐν τούτῳ δεῖ νοεῖν ὅτι μετοικίσας αὐτοὺς Ναβουχοδονόσορ φιλανθρώπως αὐτοῖς ἐχρήσατο καὶ ἐπέτρεψεν αὐτοὺς ὁμοῦ συνερχομένους πάντα τὰ κατὰ τὸν νόμον πράσσειν. οἵτινες τὴν ἐξουσίαν τούτων λαβόντες ἀπέδειξαν δύο ἄρχοντας τοῦ λαοῦ, οἳ ἐδόκουν κυβερνᾶν τὸν λαόν. οὗτοι προσεκαρτέρουν τῇ οἰκίᾳ Ἰωακεὶμ διὰ τὸ ἐνδοξότερον καὶ πλουσιώτερον ὑπὲρ πάντας εἶναι, ἅτε δὴ ἐκ γένους βασιλικοῦ ὑπάρχοντα.

XIV......ταῦτα μὲν οὖν οἱ τῶν Ἰουδαίων ἄρχοντες βούλονται νῦν περικόπτειν τῆς βίβλου, φάσκοντες μὴ γεγενῆσθαι ταῦτα ἐν Βαβυλῶνι, αἰσχυνόμενοι τὸ ὑπὸ τῶν πρεσβυτέρων κατ' ἐκεῖνον τὸν καιρὸν

1. Β' Ἔσδρ. 2, 1 ἑξ. 3, 1 ἑξ. 2. Πρβλ. Ματθ. 12, 33. 3. Πράξ. 21,20. 4. Δαν. (Διήγ. Σωσ.) 4-6.

γεγενημένον. .....ἡ Σωσάννα προετυποῦτο εἰς τὴν ἐκκλησίαν, Ἰωακεὶμ δὲ ὁ ἀνὴρ αὐτῆς εἰς τὸν Χριστόν. ὁ δὲ παράδεισος... ἡ κλῆσις τῶν ἁγίων ὡς δένδρων καρποφόρων ἐν ἐκκλησίᾳ πεφυτευμένων. Βαβυλὼν δέ ἐστιν ὁ κόσμος. οἱ δὲ δύο πρεσβύτεροι εἰς τύπον δείκνυνται τῶν δύο λαῶν τῶν ἐπιβουλευόντων τῇ ἐκκλησίᾳ, εἷς μὲν ὁ ἐκ περιτομῆς καὶ εἷς ὁ ἐξ ἐθνῶν. τὸ γὰρ λέγειν «ἀπεδείχθησαν» ἄρχοντες «τοῦ λαοῦ» καὶ «κριταί», ὅτι ἐν τῷ αἰῶνι τούτῳ ἐξουσιάζουσι καὶ ἄρχουσι κρίνοντες ἀδίκως τοὺς δικαίους.

XV. ....σημαίνει [δὲ] τοῦτο ὅτι ἕως νῦν παρατηροῦνται καὶ περιεργάζονται τὰ ἐν τῇ ἐκκλησίᾳ πραττόμενα οἵ τε ἐξ ἐθνῶν καὶ οἱ ἐκ περιτομῆς Ἰουδαῖοι, βουλόμενοι ψευδεῖς μαρτυρίας καταφέρειν καθ' ἡμῶν, ὡς ὁ ἀπόστολος λέγει «διὰ δὲ τοὺς παρεισάκτους ψευδοαδέλφους, οἵτινες εἰσῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν, ἣν ἔχομεν ἐν Χριστῷ Ἰησοῦ.[1]» .....οἱ γὰρ ἐπίβουλοι καὶ φθορεῖς τῆς ἐκκλησίας γενόμενοι πῶς δύνανται δίκαια κρίνειν ἢ καθαρᾷ καρδίᾳ ἀναβλέπειν εἰς τὸν οὐρανόν, τῷ ἄρχοντι τοῦ αἰῶνος τούτου δεδουλωμένοι; .....καὶ γὰρ ἔστιν ἀληθῶς καταλαβέσθαι τὸ εἰρημένον, ὅτι πάντοτε οἱ δύο λαοὶ κατανυσσόμενοι ὑπὸ τοῦ ἐν αὐτοῖς ἐνεργοῦντος σατανᾶ βουλεύονται διωγμοὺς καὶ θλίψεις ἐγείρειν κατὰ τῆς ἐκκλησίας, ζητοῦντες ὅπως διαφθείρωσιν αὐτήν, αὐτοὶ ἑαυτοῖς μὴ συμφωνοῦντες. .....τὸ οὖν «διεχωρίσθησαν ἀπ' ἀλλήλων τῇ ὥρᾳ τοῦ ἀρίστου[2]»... τοῦτο σημαίνει ὅτι ἐν μὲν τοῖς βρώμασι τοῖς ἐπιγείοις οἱ Ἰουδαῖοι μετὰ τῶν ἐθνῶν οὐ συμφωνοῦσιν, ἐν δὲ ταῖς θεωρίαις καὶ παντὶ πράγματι κοσμικῷ τούτοις συνερχόμενοι κοινωνοῦσιν. .....αὐτοὶ ἑαυτοῖς προφητεύοντες ὡς μελλήσουσιν ὑπ' <ἀγγέλων> ἐταζόμενοι λόγον δοῦναι τῷ θεῷ ὑπὲρ πάσης ἁμαρτίας ἧς ἔπραξαν, ὡς Σολομὼν λέγει «ἐτασμὸς δὲ ἀσεβεῖς ὀλεῖ.[3]» ἁλίσκονται γὰρ οὗτοι ὑπὸ ἐτάσεως <τῶν ἰδίων πονηρῶν>.

XVI. .....ποίαν «εὔθετον <ἡμέραν>[4]» ἀλλ' ἢ τὴν τοῦ πάσχα; ἐν ᾗ τὸ λουτρὸν ἐν παραδείσῳ τοῖς καυσομένοις ἑτοιμάζεται καὶ <ἡ ἐκκλησία ὡς> Σωσάννα ἀπολουομένη καθαρὰ νύμφη θεῷ παρίσταται; <καὶ> ὡς <αἱ δύο παιδίσκαι αἱ αὐτῇ παρακολουθοῦσαι> πίστις καὶ ἀγάπη <αἱ παρακολουθοῦσαι> τὸ ἔλαιον καὶ τὰ σμήγματα τοῖς λουομένοις ἑτοιμάζουσιν. τίνα δὲ ἦν τὰ σμήγματα ἀλλ' ἢ αἱ τοῦ λόγου ἐντολαί; τί δὲ τὸ ἔλαιον ἀλλ' ἢ τοῦ ἁγίου πνεύματος δύναμις; αἷς μετὰ τὸ λουτρὸν ὡς μύρῳ χρίονται οἱ πιστεύοντες. ταῦτα πάλαι προετυποῦτο διὰ τῆς μακαρίας Σωσάννης δι' ἡμᾶς, ἵνα νῦν ἡμεῖς οἱ τῷ θεῷ πιστεύοντες μὴ ὡς ξένα τὰ νῦν γινόμενα ἐν τῇ ἐκκλησίᾳ νοήσωμεν, ἀλλὰ πάλαι ταῦτα διὰ τῶν πατριαρχῶν προτετυπωμένα πιστεύσωμεν, καθὰ καὶ ὁ ἀπόστολος λέγει «ταῦτα δὲ τυπικῶς συνέβαινεν ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν

1. Γαλ. 2, 4. 2. Δαν. (Διήγ. Σωσ.) 13. 3. Παρμ. 1, 32. 4. Δαν. (Διήγ. Σωσ.) 15.

αἰώνων κατήντησεν.[1]» ......ἡνίκα γὰρ ἂν τὸ [κατὰ συνήθειαν] πνευματικὸν ἐπιθυμῇ λαβεῖν λουτρὸν ἡ ἐκκλησία, ἐξ ἀνάγκης ταύτῃ δύο παιδίσκας δεῖ παρακολουθεῖν. διὰ γὰρ τῆς πίστεως τῆς εἰς Χριστὸν καὶ διὰ τῆς ἀγάπης τῆς πρὸς τὸν θεὸν λαμβάνει τὸ λουτρὸν ὁμολογοῦσα ἡ ἐκκλησία.

XVII-XVIII. ......<«καὶ ἐξῆλθον κατὰ τὰς πλαγίας θύρας[2]»>, προμηνύουσαι ὅτι ὁ βουλόμενος τοῦ ἐν τῷ παραδείσῳ ὕδατος μεταλαβεῖν ἀποτάξασθαι μὲν ὀφείλει τῇ πλατείᾳ θύρᾳ, διὰ δὲ τῆς «στενῆς καὶ τεθλιμμένης[3]» εἰσελθεῖν...ὥσπερ γὰρ τότε ἐν τῷ παραδείσῳ ἐνεκρύβη ὁ διάβολος ἐν τῷ ὄφει, οὕτω καὶ νῦν ἐν τοῖς πρεσβυτέροις ἐγκρυβεὶς τὴν ἑαυτοῦ ἐνεκίσσησεν ἐπιθυμίαν, ἵνα πάλιν ἐκ δευτέρου διαφθείρῃ τὴν Εὔαν.

XIX. .....ὦ παρανόμων ἀρχόντων καὶ <ἡγουμένων> διαβολικῆς ἐνεργείας μεμεστωμένων. ταῦτα ὑμῖν παρέδωκε Μωϋσῆς; οὕτω δὲ τὸν νόμον ἀναγινώσκοντες ἑτέρους διδάσκετε; ὁ λέγων μὴ μοιχεύειν μοιχεύεις; ὁ κηρύττων μὴ φονεύειν αὐτὸς φονεύεις; ὁ λέγων μὴ ἐπιθυμεῖν αὐτὸς τὴν γυναῖκα τοῦ πλησίον διαφθεῖραι θέλεις;[4] .....τί ἀναπείθετε ἄνομοι σώφρονα καὶ ἀκέραιον ψυχὴν λόγοις ψευδέσιν, ἵνα τὴν οἰκείαν ἐπιθυμίαν στήσητε; .....ταῦτα ὑμῶν τὰ ἀπ' ἀρχῆς δεινὰ τολμήματα διὰ τὸν ἀπ' ἀρχῆς ἐν ὑμῖν ἐμφωλεύσαντα πλάνον. ἦν μὲν γὰρ ὄντως μετὰ ταύτης νεανίσκος ἀπ' οὐρανῶν [ὑμέτερος], οὐ συγγινόμενος αὐτῇ, ἀλλὰ συμμαρτυρῶν τῇ ἀληθείᾳ.

XX. Τούτων οὖν τῶν ῥημάτων ἀκούσασα ἡ μακαρία Σωσάννα κατενύγη τὴν καρδίαν καὶ ἔφραξε τὸ στόμα, μὴ βουλομένη μιανθῆναι ὑπὸ ἀνόμων πρεσβυτέρων. ἔστι δὲ καὶ καταλαβέσθαι ἀληθῶς τὸ συμβὰν ἐπὶ τῇ Σωσάννῃ. τοῦτο γὰρ νῦν καὶ ἐπὶ τῇ ἐκκλησίᾳ εὕροις πληρούμενον. ἡνίκα γὰρ οἱ δύο λαοὶ συμφωνήσουσι διαφθεῖραί τινας τῶν ἁγίων, παρατηροῦνται ἡμέραν εὐθῆ καὶ ἐπεισελθόντες εἰς τὸν οἶκον τοῦ θεοῦ, προσευχομένων ἐκεῖ πάντων καὶ τὸν θεὸν ὑμνούντων, ἐπιλαβόμενοι ἕλκουσί τινας καὶ κρατοῦσι λέγοντες· δεῦτε, συγκατάθεσθε ἡμῖν καὶ τοὺς θεοὺς θρησκεύσατε, «εἰ δὲ μή, καταμαρτυρήσομεν[5]» καθ' ὑμῶν. τούτων δὲ μὴ βουλομένων προσάγουσιν αὐτοὺς πρὸς τὸ βῆμα καὶ κατηγοροῦσιν ὡς ἐναντία τοῦ δόγματος Καίσαρος πράσσοντας καὶ θανάτῳ κατακρίνονται.

XXI. .....ἴδετε ῥήματα σωφρονούσης γυναικὸς καὶ θεῷ μεμελημένης. «στενά μοι», φησί, «πάντοθεν.[6]» ἡ γὰρ ἐκκλησία οὐ μόνον ὑπὸ Ἰουδαίων θλίβεται καὶ στενοχωρεῖται, ἀλλὰ καὶ ὑπὸ ἐθνῶν καὶ ὑπὸ τῶν λεγομένων μέν, οὐκ ὄντων δὲ χριστιανῶν, οἱονεὶ τὸ σῶφρον καὶ εὐσταθὲς ταύτης ἐνορῶντες φθείρειν ταύτην βιάζονται. <«ἐάν τε γὰρ

1. Α' Κορ. 10, 11. 2. Δαν. (Διήγ. Σωσ.) 18. 3. Ματθ. 7, 14. 4. Πρβλ. Ῥωμ. 2, 21. 5. Δαν. (Διήγ. Σωσ.) 11. 6. Δαν. (Διήγ. Σωσ.) 22.

τοῦτο πράξω, θάνατός μοί ἐστιν.[1]»> τὸ γὰρ παρακοῦσαι θεοῦ καὶ ὑπακοῦσαι ἀνθρώποις θάνατον καὶ «κόλασιν αἰώνιον[2]» ἐργάζεται. <«ἐάν τε μὴ πράξω, οὐκ ἐκφεύξομαι τὰς χεῖρας ὑμῶν.[3]»> καὶ τοῦτο ἀληθὲς εἰρήκεν. οἱ γὰρ προσαγόμενοι ἕνεκεν τοῦ ὀνόματος τοῦ Χριστοῦ, ἐὰν μὲν πράξωσι τὸ ὑπὸ ἀνθρώπων κελευόμενον, ἀπέθανον τῷ θεῷ, ζῶσι δὲ τῷ κόσμῳ, ἐὰν δὲ μὴ πράξωσιν [τὸ ὑπὸ ἀνθρώπων κελευόμενον], οὐκ ἐκφεύγουσι τὰς χεῖρας τῶν δικαστῶν, <ἀλλ'> ὑπ' αὐτῶν ἐκείνων κατακρινόμενοι <ἀποθνήσκουσιν>... τοῦτο γὰρ διαφορώτερον ἀποθανεῖν ὑπὸ ἀνθρώπων ἀδίκων, ἵνα παρὰ θεῷ ζήσωσιν, ἢ συνθεμένους αὐτοῖς καὶ ἀπολυθέντας ὑπ' αὐτῶν «ἐμπεσεῖν εἰς τὰς χεῖρας τοῦ θεοῦ.[4]»

XXII-XXIII. .....πρὸς τίνα οὖν ἐβόησεν ἡ Σωσάννα ἀλλ' ἢ πρὸς τὸν θεόν, ὡς Ἡσαΐας λέγει «τότε βοήσεις καὶ ὁ θεὸς εἰσακούσεταί σου, ἔτι λαλοῦντός σου ἐρεῖ· ἰδοὺ πάρειμι.[5]» <«ἐβόησαν δὲ οἱ δύο πρεσβῦται κατέναντι αὐτῆς.[6]»> οἱ γὰρ ἄνομοι οὐ παύονται βοῶντες καθ' ἡμῶν καὶ λέγοντες· αἶρε ἐκ τῆς γῆς τοὺς τοιούτους· οὐ γὰρ καθῆκον αὐτοὺς ζῆν. <«καὶ δραμὼν ὁ εἷς ἤνοιξε τὰς θύρας τοῦ παραδείσου[7]»>, τὴν πλατεῖαν καὶ εὐρύχωρον ὁδὸν ἐπιδεικνύων, δι' ἧς οἱ τούτοις πειθόμενοι ἀπόλλυνται.

XXIV-XXV... οὐ κάλλος περὶ σῶμα πορνικόν, ὃν τρόπον περιέκειτο τῇ Ἰεζάβελ, οὐδὲ ὄψις ποικίλοις χρώμασι πεφυκωμένη, ἀλλ' εἶχε κάλλος πίστεως καὶ σωφροσύνης καὶ ἁγιασμοῦ.

.....<«ἔθηκαν τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν αὐτῆς[8]»>, ἵνα κἂν ἐν τῷ ἅψασθαι αὐτῆς τῆς ἰδίας ἐπιθυμίας τὸν κόρον τελέσωσι... διὰ γὰρ τῶν δακρύων ἐφείλκετο τὸν ἀπ' οὐρανῶν λόγον, τὸν μέλλοντα διὰ δακρύων ἐγείρειν τὸν Λάζαρον τεθνηκότα.

XXVI. .....δεῖ οὖν ἡμᾶς ἐν παντὶ πράγματι ἑδραίους γενομένους μὴ λόγοις προσέχειν ψευδέσι μηδὲ προσώποις ἀρχόντων εὐκόλως συναρπαζομένους πείθεσθαι, γινώσκοντας ὅτι λόγον ἔχομεν δοῦναι τῷ θεῷ, ἀλλὰ τῇ ἀληθείᾳ στοιχοῦντας καὶ τὸ ἀκριβὲς τῆς πίστεως ἐπιζητοῦντας εὐαρέστους εἶναι τῷ θεῷ. .....ὅσοι γὰρ ἐπικαλοῦνται αὐτὸν ἐκ καθαρᾶς καρδίας, τούτων ὁ θεὸς ὑπακούει· ὅσοι δὲ ἐν δόλῳ καὶ ὑποκρίσει, ἀποστρέφει τὸ πρόσωπον αὐτοῦ ἀπ' αὐτῶν.

XXVII-XXVIII... δηλοῖ ὅτι ἡνίκα προσηύξατο ἡ Σωσάννα πρὸς τὸν Θεὸν καὶ εἰσηκούσθη, τότε ἐξαπεστάλη ὁ ἄγγελος βοηθήσων αὐτῇ. ὃν τρόπον ἐπὶ τοῦ Τωβία καὶ τῆς Σάρρας συνέβη. προσευξαμένων γὰρ αὐτῶν, τῇ αὐτῇ ὥρᾳ καὶ τῇ αὐτῇ ἡμέρᾳ εἰσηκούσθη ἡ δέησις ἀμφοτέρων καὶ ἀπεστάλη ὁ ἄγγελος Ῥαφαὴλ ἰάσασθαι τοὺς δύο.[9]

XXIX. Ἐπειδὴ δὲ φθάσαντες ἐν τῷ προοιμίῳ διηγησάμεθα ὅτι οἱ

---

7. Δαν. (Διήγ. Σωσ.) 22. 2. Ματθ. 25, 46. 3 Δαν. (Διήγ. Σωσ.) 22. 4. Ἑβρ. 10, 31. 5. Ἡσ. 58, 9. 6. Δαν. (Διήγ. Σωσ.) 24. 7. Δαν. (Διήγ. Σωσ.) 25. 8. Δαν. (Διήγ. Σωσ.) 34. 9. Τωβ. 3, 16 ἑξ.

δύο πρεσβύτεροι εἰς τύπον ἀναφέρονται τῶν δύο λαῶν, τοῦ τε ἐκ περιτομῆς καὶ τοῦ ἐξ ἐθνῶν, οἳ καὶ ἀεὶ ἐπίβουλοι γίνονται τῆς ἐκκλησίας, ἴδωμεν τὰ ῥήματα αὐτοῦ τοῦ Δανιὴλ καὶ μάθωμεν ὅτι ἐν μηδενὶ ἡμᾶς διαψεύδεται ἡ γραφή. τῷ γὰρ πρώτῳ πρεσβυτέρῳ διαλεγόμενος· «πεπαλαιωμένε ἡμε|ρῶν κακῶν, ν<ῦν> ἥκ<ασι>ν <αἱ> ἁμαρτίαι σου, ἃς <ἐποίεις> τὸ πρό<τε>ρον κρινῶ<ν κ>ρ<ί>σει<ς ἀδίκ>ους κα<ὶ> <τοὺς μ<ὲν> ἀθῴους κα<τακρίνων, ἀ>πολύων δὲ τοὺς αἰ>τίους, λέγον<τος τοῦ θεοῦ ἀ>θῷον καὶ δί<καιον οὐκ ἀποκ>τενεῖς[1]», ὡς νομομαθεῖ ἐλάλ<ει> καὶ <γινώσκοντι> τὸν νόμον. τῷ δὲ ἑτέρῳ [ὡς ἐθνικῷ] <οὐχ οὕτως> διαλέγεται, <ἀλλ' «εἶπεν αὐτῷ· σπέρμα Χαναὰν καὶ οὐκ Ἰούδα»>· «σπέρμα Χαναάν»... ἀποκαλῶν,... <οὕτως «ἐπιθυμία ἐξηπάτησέ σε καὶ τὸ κάλλος διέστρεψε τὴν καρδίαν σου;> οὕ<τως> ἐ<ποι>εῖτε θ<υγατράσιν Ἰσραήλ,> κἀκεῖναι φοβού<μεναι ὡ>μίλουν ὑμῖν; <ἀ>λλ' οὐ θ<υ>γάτηρ Ἰούδα ὑ<πέ>μ<εινε τὴν> ἀσχημοσύνην ὑμῶν». <«νῦν> οὖν ταύτην εἴπερ εἶδ<ες>, εἰπόν· ὑπὸ τί δένδρον εἶδες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις;» «ὁ δὲ εἶπεν· ὑπὸ πρῖνον. εἶπεν δὲ Δανιήλ· ὀρθῶς ἐψεύσω καὶ σὺ εἰς τὴν σεαυτοῦ κεφαλήν· μέλλει γὰρ ὁ ἄγγελος τοῦ θεοῦ πρίσαι σε μέσον, ὅπως ἐξολοθρεύσει ὑμᾶς.[2]»

XXX. Ἵνα οὖν ἐν πᾶσιν τὸ σεμνὸν τῶν ἁγίων γραφῶν φυλαχθῇ καὶ τὸ καθαρὸν στόμα τῶν μακαρίων προφητῶν καθαρὸν ἀποδειχθῇ, ῥήματι <ῥῆμα> συγκρίνωμεν [ον] καὶ φράσει φράσεις συμβάλλωμεν. τῶν μὲν | γὰρ πρεσ<βυτέρων>...—μένων... τὴν... αὐτῶν ὄρεξιν κ<αὶ>... εἰπόντων· ἴδομεν «<συ>γγινομένους αὐτούς[3]», ὁ μακάριος Δανιή<λ>.. -μησεν τὸ ὑπ' ἐκείνων.. λελαλημ<ένον>. ....<εἶ>χ<ο>ν ὁμιλίας κα..συνουσίας. τούτου.. τοίνυν γινομένου «ἀνεβόησεν, φησίν, πᾶσα ἡ συναγωγὴ φωνῇ μεγάλῃ καὶ ἔδωκεν αἶνον τῷ θεῷ, <τῷ σώζοντι τοὺς ἐλπίζοντας ἐπ' αὐτόν. καὶ ἀνέστησαν ἐπὶ τοὺς δύο πρεσβύτας>, ὅτι συνέστησεν αὐτοὺς Δανιὴλ ἐκ τοῦ στόματος αὐτῶν ψευδομαρτυρήσαντας.[4]»

XXXI. Τί οὖν ἐροῦμεν ἐν τῷ εἰπεῖν τὸν μὲν ἕνα «σχῖνον», τὸν δὲ ἕτερον «πρῖνον»; ἐν τούτῳ ἡ ἀπόδειξις γένηται. τί γὰρ ἐβούλοντο λέγειν; ἐν τῷ θέλειν ἡμᾶς τοῦ νεανίσκου «ἐγκρατεῖς γενέσθαι» οὐκ ἴδομεν ἀσφαλῶς ποῖον ἦν τὸ δένδρον. ἀλλ' ἐπειδὴ ἐν πᾶσιν ἡ θεία γραφὴ σοφίζει ἡμᾶς ὁδηγοῦσα πρὸς τὴν ἀλήθειαν, ἐν|......ὄντα ἀπεφήνατο. τοῦ γὰρ Δανιὴλ τὰ ἐνθύμια τῆς καρδίας αὐτῶν διὰ τῶν ῥημάτων ἐλέγξαντος καὶ τὴν δεινὴν αὐτῶν ἐπιθυμίαν ἣν ἔτι εἶχον ἐν ὀφθαλμοῖς ἐξειπόντος, τὰ τούτων κρύφια ἀπ' ἀρχῆς σφάλματα, ἃ ἐποίουν εἰς τὰς θυγατέρας Ἰσραήλ, φανερῶς αὐτοὶ ἐλεγχόμενοι ὑπὸ τοῦ ἁγίου πνεύματος «ἐσκοτισμένοι[5]», τῷ νοῒ ξένα δένδρα ὠνόμασαν, ἵνα διὰ τοῦ ῥήματος αὐτοὶ ὑφ' ἑαυτῶν συμποδισθῶσιν.

---

1. Δαν. (Διήγ. Σωσ.) 52-53. 2. Δαν. (Διήγ. Σωσ.) 56-59. 3. Δαν. (Διήγ. Σωσ.) 38. 4. Δαν. (Διήγ. Σωσ.) 60-61. 5. Ἐφ. 4, 18.

XXXII. Ὅθεν ἀκούσας πᾶς ὁ λαὸς καὶ πάντες οἱ συγγενεῖς αὐτῆς ἐβόησαν λέγοντες· ἐψεύσαντο οὗτε|... «καὶ ἀνέστη<σαν ἐπ>ὶ τοὺς δ<ύο> πρεσβυ<τέρου>ς» «καὶ ἐ<ποί>ησαν αὐτοῖ<ς>, ὃν τρόπον ἐπονηρεύσ<αν>το τῷ πλησίον ποιῆσ<αι, κ>αὶ ἀπέκτειναν <αὐτούς>», «ὅτι συνέστησεν αὐτοὺς Δανιὴλ ἐκ τοῦ στόματος αὐτῶν ψευδομαρτυρήσαντας[1]», ἵνα πληρωθῇ τὸ εἰρημένον «ὁ ὀρύσσων βόθρον τῷ πλησίον ἐμπεσεῖται εἰς αὐτὸν αὐτός[2]», «καὶ ἐσώθη αἷμα ἀναίτιον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Χελκίας δὲ καὶ ἡ γυνὴ αὐτοῦ ᾔνεσαν τὸν θεὸν περὶ τῆς θυγατρὸς αὐτῶν μετὰ Ἰωακεὶμ τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν συγγενῶν πάντων, ὅτι οὐχ εὑρέθη ἐν αὐτῇ ἄσχημον πρᾶγμα. καὶ Δανιὴλ ἐγένετο μέγας ἐνώπιον τοῦ λαοῦ ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπέκεινα.[3]»

XXXIII. Προσέχειν οὖν ὀφείλομεν ἐν πᾶσιν, | ἀγαπητοί, φοβούμενοι μή τις ἔν τινι παραπτώματι κρατηθεὶς αὐτὸς τῆς αὐτοῦ ψυχῆς ἔνοχος γένηται, γινώσκοντες ὅτι ἔκδικος ὁ θεὸς περὶ πάντων γίνεται, αὐτὸς ὢν ὅλος ὀφθαλμός, λανθάνει δὲ τοῦτον τῶν ἐν κόσμῳ πραττομένων οὐδέν, διὸ ἀεὶ ἐγρήγοροι καρδίαις καὶ σωφρόνως βιοῦντες τὴν Σωσάνναν μιμήσασθε, καὶ τὸν παρά<δει>σον ἐντρυφήσατε καὶ τοῦ ἀεννάου ὕδατος ἀπολαύσατε καὶ πάντα ῥύπον ἀποσμήξασθε καὶ ἐλαίῳ ἐπουρανίῳ ἁγιάσθητε, ἵνα σῶμα καθαρὸν θεῷ παραστήσητε καὶ τὰς λαμπάδας ἐξάψητε καὶ τὸν νυμφίον προσδοκήσητε[4], ἵνα κρούσαντα τοῦτον εἰσδέξησθε καὶ θεὸν διὰ Χριστοῦ ἀνυμνήσητε, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

ΛΟΓΟΣ Β′

Περὶ τῆς εἰκόνος ἧς ἔστησεν Ναβουχοδονόσορ ὁ βασιλεύς.

I. <«Ἐν τῷ ἔτει τῷ δευτέρῳ τῆς βασιλείας Ναβουχοδονόσορ ἐνυπνιάσθη Ναβουχοδονόσορ ἐνύπνιον καὶ ἐξέστη τὸ πνεῦμα αὐτοῦ, καὶ ὁ ὕπνος αὐτοῦ ἐγένετο ἀπ᾽ αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς καλέσαι τοὺς ἐπαοιδοὺς καὶ τοὺ>ς μάγους καὶ <τοὺς φαρμα>κο<ὺς καὶ τοὺς Χαλδαί>ους <τοῦ ἀναγγεῖλαι τῷ βα>σιλεῖ τὰ <ἐνύπνια αὐτοῦ· κ>αὶ ἦλθ<αν καὶ ἔστησ>αν <ἐνώπιον τοῦ βασι>λέως. καὶ <εἶπεν αὐτοῖς ὁ> βασιλεύς· ἐνυπνιάσθην καὶ ἐξέστη <τὸ πνεῦμά> μου τοῦ γνῶναι τὸ ἐνύπνιον· καὶ ἐλάλησαν οἱ Χαλδαῖοι τῷ βασιλεῖ Συριστί· βασιλεῦ εἰς τοὺς αἰῶνας ζῆθι· σὺ τὸ ἐνύπνιον εἰπὲ τοῖς παισίν σου, καὶ τὴν σύγκρισιν ἀναγγελοῦμεν. ἀπεκρίθη δὲ ὁ βασιλεὺς τοῖς Χαλδαίοις· ὁ λόγος ἀπ᾽ ἐμοῦ ἀπέστη· ἐὰν οὖν μὴ γνωρίσητέ μοι τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ, εἰς ἀπώλειαν ἔσεσθε καὶ οἱ οἶκοι ὑμῶν διαρπαγή-

1. Δαν. (Διήγ. Σωσ.) 61-62. 2. Παρμ. 26, 27. 3. Δαν. (Διήγ. Σωσ.) 62-64. 4. Ματθ. 25, 1 ἑξ.

σονται· ἐὰν δὲ τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ γνωρίσητέ μοι, δόματα καὶ δωρεὰς | κ<αὶ τιμὴν πολλὴ>ν λ<ή>ψεσ<θε παρ᾽ ἐμοῦ>· πλὴν τὸ ἐνύπνιον καὶ <τὴν> σύγκρισιν α<ὐτοῦ> ἀπαγγείλατέ <μοι>.[1]»

II. Τὸ μὲν οὖν ἐνύπνιον τὸ ὑπὸ τοῦ βασιλέως ἑωραμένον οὐκ ἦν ἐπίγειον, ἵνα ὑπὸ τῶν τοῦ κόσμου σοφῶν ἑρμηνευθῇ, ἀλλ᾽ ἦν ἐπουράνιον, κατὰ θεοῦ βουλὴν καὶ πρόνοιαν ἰδίοις καιροῖς πληρούμενον. καὶ διὰ τοῦτο ἀπεκρύβη μὲν ἀπὸ τῶν τὰ ἐπίγεια φρονούντων ἀνθρώπων, ἵνα τοῖς τὰ ἐπουράνια ζητοῦσι τὰ ἐπουράνια μυστήρια ἀποκαλυφθῇ. καὶ γὰρ ἐν Αἰγύπτῳ ἐπὶ τοῦ Φαραὼ ὁμοίως γέγονεν. ἰδὼν γὰρ τὰ ἐνύπνια ἐξηγήσατο ταῦτα πᾶσιν τοῖς ἐξηγηταῖς Αἰγύπτου, καὶ οὐδεὶς ὁ ἀπαγγέλλων αὐτὰ τῷ Φαραώ·[2] ἡνίκα δὲ ὁ μακάριος Ἰωσὴφ παρῆν, εὐκαίρως ἐφανεροῦντο τὰ ὑπὸ ἑτέρων μὴ νοούμενα· καὶ διὰ τοῦτο θαυμάσας ὁ βασιλεὺς ἀπεκρίθη «τοῖς παισὶν αὐτοῦ λέγων· ἆρα μὴ εὑρήσομεν ἄνδρα τοιοῦτον, ἐν ᾧ ἐστιν πνεῦμα θεοῦ ἐπ᾽ αὐ|τόν[3]»... ὅτι οὐδεὶς δ<υν>ατὸ<ς> ἔσται τ<ὰ ἐπουρά>νια μυστή<ρι>α διηγεῖσθαι...συνκρίνων, <ἂν μὴ μετέχῃ> τοῦἁγ<ίου πνεύματος>. οὕτως <οὖν καὶ ἐν Βα>βυλῶνι ἀπεκρύβη τὸ ὅραμα ἀπὸ τοῦ βασιλέως, ἵνα [ὁ] ὑπὸ θεοῦ ἐκλεγόμενος Δανιὴλ προφήτης ὢν ἀποδειχθῇ. ὅσα γὰρ ἀπὸ μὲν ἑτέρων ἀποκέκρυπται, ὑπὸ ἑτέρου δὲ φανεροῦται, ἐξ ἀνάγκης προφήτην ἀποδείκνυσιν τὸν λέγοντα.

III. Ἵνα οὖν μὴ ἔν τινι τρόπῳ μηχανησάμενοι οἱ Χαλδαῖοι ῥήμασιν πλάνης διαψεύσωνται τὸν βασιλέα, κατανυγεὶς Ναβουχοδονόσορ εἶπεν πρὸς αὐτούς· «ἐπ᾽ ἀληθείας οἶδα <ἐγὼ> ὅτι καιρὸν ὑμεῖς ἐξαγοράζετε, καθότι ἴδετε ὅτι ἀπέστη ἀπ᾽ ἐμοῦ τὸ ῥῆμα· ἐὰν οὖν τὸ ἐνύπνιον μὴ ἀπαγγείλητέ μοι, οἶδα ὅτι ῥῆμα ψευδὲς καὶ διεστραμμένον συνέθεσθε εἰπεῖν ἐνώπιόν μου, ἕως οὗ <ὁ> καιρὸς παρέλθοι.[4]» «ἀπεκρίθησαν οἱ Χαλδαῖ|οι τῷ βασιλεῖ <καὶ λέγουσιν ὅ>τι οὐκ ἔστιν <ἄνθρωπος> ἐπὶ τῆς γῆς, ὅστις δ<υ>ν<ήσετ>αι τὸ <ῥῆμα τ>οῦ βασιλέως <γ>νωρί<σαι, καθ>ότι πᾶς βασιλ<εὺς μέγας> καὶ <ἄρ>χων ῥῆ<μα τοιοῦτο> οὐκ ἐπερω<τᾷ ἐπαοιδὸν μά>γον, φ<άρμακον καὶ Χαλδαῖ>ον, ὅτι ὁ λό<γος ὃν ὁ βασι>λεὺς ἐπερωτᾷ <βαρύς>, καὶ ἕτερος οὐκ ἔ<στιν, ὃς> ἀναγγελεῖ αὐτὸν ἐ<νώ>πιον τοῦ βασιλέως, ἀλλ᾽ ἢ οἱ> θεοί, ὧν οὐκ ἔστιν ἡ κα<τοι>κία μετὰ πάσης σαρκός.[5]» τούτων εἰρημένων θυμωθεὶς «ὁ βασιλεὺς» ἐκέλευσεν ἀποκτανθῆναι «πάντας τοὺς σοφοὺς Βαβυλῶνος. καὶ τὸ δόγμα ἐξῆλθεν καὶ οἱ σοφοὶ ἀπεκτέννοντο.[6]»

IV. Ἐπεὶ οὖν ἀδύνατον ἔφησαν ὑπὸ ἀνθρώπου τοῦτο λεχθῆναι τὸ ὑπὸ τοῦ βασιλέως ζητούμενον, ἐπέδειξεν αὐτοῖς ὁ θεὸς ὅτι τὰ παρ᾽ ἀνθρώποις ἀδύνατα, ταῦτα δυνατὰ ἦν παρὰ θεῷ. μέλλοντος γὰρ

1. Δαν. 2, 1-6. 2. Γεν. 41, 1 ἑξ. 3. Γεν. 41, 38. 4. Δαν. 2, 8-9. 5. Δαν. 2, 10-11. 6. Δαν. 2, 12-13.

'Αριὼχ τοῦ ἀρχιμαγείρου ἀναιρεῖν τόν τε «Δανιὴλ καὶ τοὺς» τρεῖς «φίλους αὐτοῦ»—αὐτὸς | γὰρ <«ἐξῆλθεν ἀναιρεῖν τοὺς σοφοὺς Βαβυλῶ>νος·[1]» ἀρχι<μάγειρον>...· ὥσπερ γὰρ ὁ μάγειρος πάντα τὰ ζῶα ἀναιρεῖ καὶ μαγειρεύει, [οὕτω κἀκεῖνος] τῷ αὐτῷ τρόπῳ καὶ οἱ ἄρχοντες τοῦ κόσμου ἀναιροῦσι τοὺς ἀνθρώπους ὡς ἄλογα ζῶα μαγειρεύοντες αὐτούς—... <«περὶ τίνος ἐξῆλθεν ἡ γνώ>μη ἡ ἀναιδὴς <αὕ>τη <ἐκ προσώ>που τοῦ βασιλέως;[2]» ἐζήτησεν γὰρ τὴν αἰτίαν μαθεῖν παρ' αὐτοῦ, τίνι λόγῳ ἀναιροῦνται οἱ Βαβυλώνιοι. «ὁ» δὲ «'Αριὼχ» «ἐγνώρισεν» «τὸ ῥῆμα τῷ Δανιήλ.[3]» ὁ δὲ ἀκούσας «ἠξίωσεν αὐτόν, ὅπως χρόνον δῷ αὐτῷ» καὶ τὸ σύγκριμα «τῷ βασιλεῖ[4]» γνωρίσῃ.

V. Τότε «Δανιὴλ» «εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ καὶ τῷ 'Ανανίᾳ καὶ τῷ Μισαὴλ καὶ τῷ 'Αζαρίᾳ» «ἐγνώρισεν τὸ ῥῆμα. καὶ οἰκτιρμοὺς ἐζήτουν παρὰ τοῦ θεοῦ τοῦ οὐρανοῦ[5]», «ὅπως μὴ καὶ αὐτοὶ ἀπόλωνται» σὺν τοῖς ἐπιλοίποις σοφοῖς Βα<βυλῶ>νος. <τότε δὴ τ>ῷ Δανι<ὴλ> ἐν ὁράμ<ατι> τῆς νυ<κτὸς τὸ μυστήριον ἀπεκαλύφθη.> καὶ <εὐλ>όγησεν <τὸν θεὸν τοῦ> οὐρανοῦ, <Δανιὴλ καὶ εἶπεν·> εἴ<η τὸ> ὄνομα κυρίου <εὐλογημένον ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τ>οῦ αἰ<ῶνος>, ὅτι ἡ <σοφία καὶ ἡ> σύ<νεσις καὶ ἡ ἰσχὺς αὐτοῦ ἐστιν· καὶ αὐτὸς ἀλλοιοῖ καιροὺς καὶ χ<ρόνους, καθιστᾷ β>ασιλεῖ<ς> καὶ <μεθιστᾷ>, διδοὺς σοφίαν τοῖς <σοφοῖς> καὶ φρόνησιν τοῖς <εἰδό>σιν σύνεσιν· αὐτὸς ἀποκαλύπτει βαθέα καὶ ἀπόκρυφα, γινώσκων τὰ ἐν τῷ σκότει καὶ τὸ φῶς μετ' αὐτοῦ ἐστίν. σοί, ὁ θεὸς τῶν πατέρων μου, ἐξομολογοῦμαι καὶ αἰνῶ, ὅτι σοφίαν καὶ δύναμιν ἔδωκάς μοι καὶ ἐγνώρισάς μοι ἃ ἠξιώσαμεν παρὰ σοῦ, καὶ τὸ ῥῆμα τοῦ βασιλέως ἐγνωρισάς μοι.[6]» δεῖ οὖν νοεῖν ἡμᾶς τὴν τοῦ θεοῦ εὐσπλαγχνίαν, πῶς τοῖς ἀξίοις καὶ φοβουμένοις αὐτὸν ταχέως ἀποκαλύπτει καὶ φανεροῖ ἀποπληρῶν τὰς δεήσεις καὶ τὰ αἰτήματα | αὐτῶν, ὡς ὁ προφήτης λέγει· «τίς σοφὸς καὶ συνήσει ταῦτα; καὶ ἄνθρωπος συνετὸς καὶ γνώσεται ταῦτα;[7]»

VI. <Τούτων δὲ γενομ>έν<ων ἀνέστη Δανιὴλ «καὶ> ἦ<λ>θεν» «πρὸς <'Αριὼχ·» «κα>ὶ εἶ<πε>ν αὐ<τῷ· τοὺς σοφοὺ>ς Β<αβυλῶ>νος <μὴ ἀπο>λέσῃ<ς>», εἰσάγαγε <δέ> με ἐνώπιον τοῦ βασιλέως καὶ ἀναγγελῶ τῷ <βασιλ>εῖ τὸ ἐνύπνιον καὶ «τὴν σύγκρισιν» αὐτοῦ.[8] ὁ δὲ ἀκ<ο>ύσας ταῦτα «εἰσήγαγεν τὸν Δανιὴλ μετὰ σπουδῆς» «καὶ εἶπεν· εὗρον ἄνδρα <ἐκ> τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς <'Ιουδαίας>, ὅστις τὸ σύγκριμα τῷ βασιλεῖ ἀναγγελεῖ.[9]» ὁ δὲ καταπλαγεὶς ἔφη «τῷ Δανιήλ·» «δύνασαί μοι ἀναγγεῖλαι τὸ ἐνύπνιον ὃ εἶδον καὶ τὴν σύγκρισιν αὐτοῦ;» εἶπεν δὲ Δανιήλ· «τὸ μυστήριον, ὃ ὁ βασιλεὺς ἐπερωτᾷ, οὐκ ἔστιν μάγων ἐπαοιδῶν γαζαρηνῶν ἀναγγεῖλαι τῷ βασιλεῖ, ἀλλ' ἔστιν <ὁ> θεὸς ἐν οὐρανῷ ὁ ἀποκαλύπτων μυστήρια, καὶ ἐγνώρισεν τῷ βασιλεῖ Ναβουχοδονόσορ ἃ δεῖ γενέσθαι ἐπ' ἐσ|<χάτων τῶ>ν

1. Δαν. 2, 14. 2. Δαν. 2, 15. 3. Δαν. 2, 15. 4. Δαν. 2, 16. 5. Δαν. 2, 17-18. 6. Δαν. 2, 18-23. 7. 'Ωσ. 14, 9. 8. Δαν. 2, 24. 9. Δαν. 2, 25.

<ἡμ>ερῶν.[1]» ....τοὺς Χαλ<δαίους ἐκ τοῦ> κινδύν<ου>... διδάσκει <δὲ> τὸν βασιλέα μὴ παρὰ ἀνθρώπων ἐπιγείων τὰ ἐπουράνια μυστήρια ἐπιζητεῖν, ἅπερ ἔμελλεν ἰδίοις καιροῖς παρὰ θεοῦ ἐπιτελεῖσθαι. καὶ διὰ τοῦτο ἀναπέμπων τὸ φρόνημα τοῦ βασιλέως πρὸς τὸν θεὸν ἔλεγεν· «ἔστιν ὁ θεὸς ἐν οὐρανῷ ἀποκαλύπτων μυστήρια[2]», παρ' οὗ δεῖ τὸν ἄνθρωπον ἐν οἰκτιρμοῖς καὶ δεήσεσιν αἰτούμενον λαμβάνειν. καθ' ὃ καὶ αὐτὸς ταπεινοφρονῶν καὶ σμικρύνων ἑαυτὸν καὶ μὴ καυχώμενος παρὰ πάντας Βαβυλωνίους σοφώτερος εὑρεθεὶς ἔλεγεν· «κἀμοὶ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ παρὰ πάντας κατοικοῦντας ἐπὶ τῆς γῆς τὸ μυστήριον τοῦτο ἀπεκαλύφθη, ἀλλ' ἕνεκεν τοῦ τὴν σύγκρισιν τῷ βασιλεῖ γνωρίσαι, ἵνα τοὺς διαλογισμοὺς τῆς καρδ|<ίας σου γνῷς>.[3]» τοῦ γὰρ βασιλέως κρατήσαντος μὲν τῆς [γῆς] Αἰγύπτου, τὴν δὲ 'Ιουδαίαν χώραν παραλαβόντος καὶ τὸν λαὸν μετοικίσαντος, διελογίζετο «ἐπὶ τῆς κοίτης» ὤν, «τί» ἄρα ἔσται «μετὰ ταῦτα.[4]» ὁ δὲ τὰ κρυπτὰ πάντων ἐπιστάμενος καὶ «τοὺς διαλογισμοὺς» τῶν καρδιῶν «ἐρευνῶν[5]», ἀπεκάλυψεν αὐτῷ διὰ μὲν τῆς εἰκόνος τὰ ἐσόμενα, ἀπέκρυψεν δὲ ἀπ' αὐτοῦ τὸ ὅραμα, ἵνα μὴ ὑπὸ τῶν σοφῶν Βαβυλῶνος τὰ τοῦ θεοῦ βουλεύματα ἑρμηνευθῆναι δυνηθῇ, ἀλλ' ὑπὸ τοῦ μακαρίου Δανιὴλ ἅτε προφήτου τοῦ θεοῦ τὰ πᾶσιν ἀποκεκρυμμένα φανερωθῇ.

VII. Λέγει γοῦν· «σὺ βασιλεῦ ἐθεώρεις, καὶ ἰδοὺ εἰκὼν μία, μεγάλη ἡ εἰκὼν ἐκείνη καὶ ἡ πρόσοψις αὐτῆς φοβερά· εἰκὼν ἧς ἡ κεφαλὴ αὐτῆς χρυσίου χρηστοῦ, αἱ χεῖρες καὶ τὸ στῆθος καὶ οἱ βραχίονες αὐτῆς ἀργυροῖ, ἡ κοιλία καὶ οἱ μηροὶ χαλκοῖ, αἱ κνῆμαι σιδηραῖ, οἱ πόδες μέρος μέν τι σιδηροῦν καὶ μέ|<ρος δέ τι ὀστράκινον. ἐθεώρεις ἕως <ἀπεσ>χί<σθη> λίθος <ἄνε>υ χειρῶν καὶ ἐπάταξεν τὴν <εἰ>κόνα ἐπὶ τοὺς <πό>δας τ<οὺς σιδη>ροῦς καὶ ὀστρακίνους <καὶ ἐ>λέπ<τυ>νεν εἰς τέλος. <τότε ἐλεπτύνθησαν> εἰσάπα<ξ τ>ὸ ὄστρα<κον, ὁ σίδη>ρος, ὁ χαλκός, ὁ ἄργυρος, ὁ χρυσός, καὶ ἐγένετ<ο> <ὡ>σεὶ κονιορτὸς ἀπὸ ἅ<λω>νος θερινῆς· καὶ ἐξῆρεν <αὐτὰ> τὸ πλῆθος τοῦ πνεύματος <καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς>· καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα ἐγενήθη ὄρος μέγα καὶ ἐπλήρωσεν πᾶσαν τὴν γῆν. τοῦτό ἐστιν τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ ἐροῦμεν ἐνώπιον τοῦ βασιλέως. σὺ βασιλεῦ βασιλεὺς βασιλευόντων, ᾧ ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἰσχυρὰν καὶ κραταιὰν καὶ ἔντιμον ἔδωκεν ἐν παντὶ τόπῳ, ὅπου κατοικοῦσιν υἱοὶ τῶν ἀνθρώπων, θηρία τε ἀγροῦ καὶ πετεινὰ τοῦ οὐρανοῦ ἔδωκεν ἐν τῇ χειρί σου καὶ κατέστησέν σε κύριον πάντων· σὺ εἶ ἡ κεφαλὴ ἡ χρυσῆ. καὶ ὀπίσω σου ἀναστήσεται βασιλεία ἑτέρα ἥττων σου, <ἥτις ἐστὶν ὁ ἄργυρος>· καὶ βασιλεία τρίτη, | <ἥτις ἐσ>τὶν ὁ <χαλκός>, ἣ <κυριεύσει πάσης τῆς γῆς· καὶ> βα-

1. Δαν. 2, 26-28. 2. Δαν. 2, 28. 3. Δαν. 2, 30. 4. Δαν. 2, 29. 5. Ψαλμ. 93, 11.

σιλεία τετάρτη, <ἥτις> ἔσται <ἰσ>χυρὰ <ὡς σίδηρος>· ὃν τρό<π>ον ὁ σ<ίδηρος> λεπτύνει <καὶ> δαμά<ζει> πάντα, <οὕτως πάντα λεπτυνεῖ καὶ δαμάσει>. καὶ ὅ<τι εἶδες> τοὺς πόδας καὶ τ<οὺς δακτύλο>υς μέρος <μέ>ν τι <σιδη>ροῦν, μέρος δέ <τι ὀστρά>κινον, βασιλεία <δ>ιῃρημένη ἔσται, καὶ ἀπὸ τῆς ῥίζης τῆς σιδηρᾶς ἔσται ἐν αὐτῇ, ὃν τρόπον εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ. καὶ οἱ δάκτυλοι τῶν ποδῶν μέρος μέν τι σιδηροῦν, μέρος δέ τι ὀστράκινον, μέρος <τι> τῆς βασιλείας ἔσται ἰσχυρόν, καὶ ἀπ' αὐτῆς <ἔσται> συντριβόμενον. ὅτι εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ, συμμιγεῖς ἔσονται ἐν σπέρματι ἀνθρώπων καὶ οὐκ ἔσονται προσκολλώμενοι οὗτος μετὰ τούτου, καθὼς ὁ σίδηρος οὐκ ἀναμίγνυται μετὰ τοῦ ὀστράκου. ἐν ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων <ἀναστήσει ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν, ἥτις εἰς τοὺς αἰῶνας> οὐ διαφθαρήσεται, <καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται·> λεπτυνεῖ καὶ λικμήσει πάσας τὰς βασι|<λεία>ς καὶ αὐ<τὴ ἀναστήσε>ται εἰς τ<οὺ>ς αἰ<ῶ>νας· <ὃν τρό>πο<ν εἶδες ὅτι ἀπὸ ὄρους ἐτμήθ>η <λίθος ἄνευ χει>ρ<ῶν κ>αὶ ἐλέ<πτυνεν τὸ ὄστρακον>, τὸν σίδηρ<ον, τὸν χαλκόν>, τὸν ἄργυρ<ον, τὸν χρυσόν>. ὁ θεὸς ὁ μέγας <ἐγνώρισεν τῷ> βασιλεῖ ἃ δεῖ γε<νέσθαι> μετὰ ταῦτα· καὶ ἀλη<θινὸν> τὸ ἐνύπνιον καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ.[1]»

VIII. Τούτων ἀκούσας Ναβουχοδονόσορ ὑπομνησθεὶς τοῦ ἐνυπνίου ἐπέγνω, ὅτι καὶ τὰ λελαλημένα ὑπὸ τοῦ Δανιὴλ ἔσται ἀληθῆ, καὶ «πεσὼν ἐπὶ πρόσωπον τῷ Δανιὴλ προσεκύνησεν καὶ μαναὰ καὶ εὐωδίας εἶπεν σπεῖσαι αὐτῷ.» πόσον ἰσχύει χάρις θεοῦ, ἀγαπητοί, ἵνα τὸν πρὸ μικροῦ μέλλοντα ἀναιρεῖσθαι μετὰ τῶν ἐπιλοίπων σοφῶν Βαβυλῶνος, τοῦτον ὁ βασιλεὺς μηκέτι ὡς ἄνθρωπον ἀλλ' ὡς θεὸν πεσὼν προσκυνήσῃ· «μαναά τε καὶ εὐωδίας εἶπεν σπένδεσθαι αὐτῷ.[2]» καὶ γὰρ πάλαι τῷ Μωϋσῇ τὸ ὅμοιον ἐπηγγείλατο ὁ κύριος «λέγων· ἰδοὺ δέδωκά σε εἰς θεὸν τῷ Φαραώ[3]» | ἵνα διὰ τῶν σημείων τῶν ὑπ' αὐτοῦ ἐν Αἰγύπτῳ γινομένων μηκέτι Μωϋσῆς ἄνθρωπος ὢν νομισθῇ, ἀλλ' ὡς θεὸς ὑπὸ τῶν Αἰγυπτίων προσκυνηθῇ.

IX. <Θαυμάσας μὲν οὖν ὁ Ναβουχο>δονόσορ ἐπὶ τ<ῶν εἰρημένων ὑ>πὸ τοῦ Δανιὴλ ἔφη· «ἐπ' ἀληθ<είας> ὁ θεὸς ὑμῶν αὐτός <ἐστιν> θεὸς θεῶν καὶ κύριος τῶν κυριευόντων καὶ ἀποκαλύπτων μυστήρια, ὅτι ἠδυνήθης ἀποκαλύψαι τὸ μυστήριον τοῦτο. καὶ ἐμεγάλυνεν ὁ βασιλεὺς τὸν Δανιὴλ καὶ δόματα πολλὰ καὶ μεγάλα ἔδωκεν αὐτῷ καὶ κατέστησεν αὐτὸν ἐπὶ πάσης χώρας Βαβυλῶνος καὶ ἄρχοντα σατραπῶν, ἐπὶ πάντας σοφοὺς Βαβυλῶνος.[4]»

Ἐπειδὴ γὰρ αὐτὸς ἑαυτὸν ἐσμίκρυνεν καὶ ἐλάχιστον παρὰ πάντας ἀνθρώπους εἶναι ἀπεφήνατο, ηὔξησεν [γὰρ] αὐτὸν ὁ βασιλεὺς καὶ κατέστησεν αὐτὸν ἄρχοντα πάσης χώρας Βαβυλῶνος. ὃν τρό-

1. Δαν. 2, 31-45. 2. Δαν. 2, 46. 3. Ἔξ. 7. 1. 4. Δαν. 2, 47-48.

πον ἐποίησεν καὶ ὁ Φαραὼ τῷ Ἰωσήφ, τότε καταστήσας αὐτὸν ἄρχοντα ἐπὶ πάσης τῆς γῆς Αἰγύπτου. | <ἐν πάσῃ γὰρ τῇ γῇ Αἰγύπτου οὐδεὶς εὑρέθη ἄνθρωπος ὃς ἂν τὰ ἐνύπνι>α <ἀ>παγγεί<λειε τ>ῷ Φ<α>ραώ, εἰ μὴ μόνος <Ἰωσή>φ, ἐν δὲ Βαβυλ<ῶν>ι οὐδεὶς <τῶν> σοφῶν <ἠδυν>ήθη <ἐ>ξ<ηγεῖσθαι τὸ ὅ>ραμα <τῷ βα>σ<ιλεῖ>, εἰ μὴ μ<όνος ὁ Δανι>ήλ. κατὰ γὰρ γενεὰν καὶ γενεὰν ἀνθρώπους ἁγίους ὁ θεὸς προσάγει ἑαυτῷ, δι' ὧν εἰς πάντα τὸν κόσμον δοξασθῆναι.

X. «Καὶ Δανιὴλ ᾐτήσατο παρὰ τοῦ βασιλέως καὶ κατέστησεν ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος τὸν Σεδράχ, Μισάχ, Ἀβδεναγώ.[1]» καὶ τοῦτο δὲ πίστεως καὶ ἐπαίνου ἄξιον τὸ ὑπὸ τοῦ Δανιὴλ γεγενημένον. ἐπειδὴ γὰρ αὐτοὶ ἐν τῇ προσευχῇ συνηγόρευσαν τῷ Δανιὴλ πρὸς τὸν θεόν, ἵνα τὸ ὅραμα αὐτῷ ἀποκαλυφθῇ, καὶ αὐτὸς Δανιὴλ ἀξίαν καὶ τιμὴν λαβὼν παρὰ τοῦ βασιλέως ἐμνήσθη τούτων, ἀναθέμενος τῷ βασιλεῖ τὸ ἔργον τὸ ὑπ' αὐτῶν γεγενημένον, ἵνα καὶ αὐτοὶ τιμῆς τινος ἀξιωθῶσιν ὡς συμμύσται καὶ | θεοσεβεῖς ἄνδρες. αἰτησάμενοι γὰρ τὰ ἐπουράνια παρὰ τοῦ κυρίου, ἔτυχον καὶ τῶν ἐπιγείων παρὰ τοῦ βασιλέως...

XI. <Ἐπειδὴ οὖν τὸ ἐνύπνιον ἀνήγγειλεν τῷ βασι>λεῖ ὁ μακά<ριος Δανιὴλ> καὶ τὴν αὐτοῦ <σύγκρισ>ιν οὐκ <ἐ>σιώπησεν, ἐπιλείπει τὸ ζήτημα τοῖς εὐθὺν νοῦν κεκτημένοις, ἵνα πάλιν [τὰ] ὑφ' ἑτέρων <τὰ> ὑπὸ τοῦ Δανιὴλ λεγόμενα ἑρμηνευθῇ. ἀναγκαῖον δὲ <σπουδαίως> ἐπιζητεῖν τοὺς φιλαληθεῖς, καὶ μὴ μόνον ἐν παραδρομῇ ἀναγινώσκοντας ἐπ' ἄδηλον νομίζειν εἰρῆσθαι τὰ ὑπὸ τῶν προφητῶν εἰρημένα. εἰκόνα γὰρ μεγάλην θεωρεῖ, καὶ ταύτης τὴν κεφαλὴν «χρυσίου χρηστοῦ[2]» εἶναι ὁμολογεῖ· ἔπειτα ὤμους καὶ στῆθος ἄργυρον εἶναι διηγεῖται· εἶτα κοιλίαν καὶ μηροὺς χαλκόν· ἔπειτα κνήμας σίδηρον· <ὡσαύτως δὲ καὶ δακτύλους τῶν ποδῶν ὄστρακον καὶ σίδηρον> ἐν ταὐτῷ ἀναμεμιγμένους· εἶτα λίθον τεμνόμενον ἀπὸ ὄρους ἄνευ χειρῶν καὶ πατάσσοντα τὴν εἰκόνα καὶ λεπτύνοντα αὐτήν· καὶ αὐτὸς «ὁ λίθος» «ἐγενήθη | <ὄρος μέ>γα κα<ὶ ἐπλή>ρωσεν <πᾶσαν> τὴν <γῆν.[3]»> ταῦτα εἰπ<ὼν περὶ τῆς εἰκόνος>... <δι>αιρ<εῖ κ>αὶ εἰς βασιλείας κα... <μετά>γων κα<τὰ> μέρος... <πα>ρ<α>φράζει[ν], τὸν μὲν <χ>ρυσὸν λέγων αὐτὸν εἶναι τὸν βασιλέα Ναβουχοδονόσορ, κεφαλὴν τῆς εἰκόνος χρυσῆν τοῦτον εἶναι διηγούμενος. ἔπειτα δευτέραν βασιλείαν ὀνομάζει [αἰνιττόμενος], <ἥττονα> ταύτην εἶναι λέγων τὸν ἄργυρον. εἶτα τρίτην, «ἥτις ἐστὶν ὁ χαλκός.[4]» ἔπειτα τετάρτην ἰσχυράν, ἥτις ὁ σίδηρος. εἶτα ὄστρακον καὶ σίδηρον ἀναμεμιγμένον ὁμοῦ ἀναδέδεικται τὰ ἄκρα τῶν ποδῶν τῆς εἰκόνος. ἤρξατο μὲν γὰρ ἀπὸ κεφαλῆς, ἵνα δείξῃ τὸν χρυσόν· εἶτα τὸ στῆθος καὶ τοὺς βραχίονας καὶ ὀνομάζει ἄργυρον· ἔπειτα κοιλίαν καὶ μηρούς, καὶ σημαίνει τὸν χαλκόν· εἶτα κνήμας διηγεῖται, καὶ ἐπιδεικνύει σίδηρον· ἔπειτα πόδας καὶ δακτύλους δέκα, καὶ καταγγ|<έλλει ὄστρακον καὶ σίδηρον καὶ μετὰ ταῦτα οὐδὲν λείπεται τοῦ ὁράματος, ἀλλ' ἢ ὅτι

1. Δαν. 2, 49. 2. Δαν. 2, 32. 3. Δαν. 2, 35. 4. Δαν. 2, 39.

«ἐτμήθη λίθος> ἀπὸ ὄρο<υς καὶ ἐπάταξεν τὴν εἰκόνα» καὶ «ἐγενήθη ὄρος μέγα» πλη>ροῦν [τα] «πᾶ<σαν τὴν γῆν>.[1]»

XII. Πῶς οὖν [οὐ] μὴ νοήσωμεν τὰ πάλαι ἐν Βαβυλῶνι ὑπὸ Δανιὴλ πεπροφητευμένα καὶ νῦν ἔτι ἐν κόσμῳ πληρούμενα; ἡ γὰρ εἰκὼν ἡ κατ᾽ ἐκεῖνον τὸν καιρὸν δειχθεῖσα τῷ Ναβουχοδονόσορ τὸν τύπον περιεῖχεν τῆς βασιλείας τοῦ παντὸς κόσμου. ἐν οἷς καιροῖς ἐβασίλευσαν τότε Βαβυλώνιοι, ὡς κεφαλὴ χρυσῆ τῆς εἰκόνος ὑπάρχοντες ἔπειτα μετ᾽ αὐτοὺς ἐκράτησαν Πέρσαι ἐπὶ ἔτη σ᾽ τεσσαράκοντο πέντε, ὡς δείκνυσθαι τούτους εἶναι τὸν ἄργυρον. μετὰ τούτους ἐκράτησαν Ἕλληνες ἀρξάμενοι ἀπὸ Ἀλεξάνδρου τοῦ Μακεδόνος ἐπὶ ἔτι τριακόσια, ὡς εἶναι τούτους τὸν χαλκόν. μετὰ τούτους Ῥωμαῖοι κνῆμαι σιδηραῖ τῆς εἰκόνος ὑπάρχοντες, ἰσχυροὶ ὄντες ὡς ὁ σίδηρος. εἶτα δάκτυλοι ποδῶν, ἵνα δειχθῶσιν αἱ κατὰ τὸ | ...δημοκρατίαι αἱ μέλλουσαι γίγνεσθαι, διαιρούμεναι εἰς τοὺς δέκα δακτύλους τῆς εἰκόνος. ἐν οἷς ἔσται ὁ σίδηρος ἀναμεμιγμένος τῷ ὀστράκῳ.

XIII. <Μετὰ ταῦτα τί λέγει ὁ Δανιήλ; «ἀπεσχίσθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν καὶ ἐπάτα>ξ<εν τὴν εἰκόνα.[2]» τοῦ δὲ σιδήρου σὺν ὀ>στρά<κῳ> ἀναμε<μιγμένου> καὶ ἐπὶ τὰ ἄκρα τῶν δ<ακτύλ>ων χωρήσαντος καὶ <ἀσυμ>φώνων ἀλλήλοις τῶν ἀνθρώπων γεναμένων, τί δεῖ λοιπὸν περιμένειν, ἀλλ᾽ ἢ Χριστὸν ἀπ᾽ οὐρανῶν ἐρχόμενον, ὡς λίθον ἀπὸ ὄρους τεμνόμενον, ἵνα τὰς τοῦ κόσμου τούτου βασιλείας μεταστήσῃ, ἀναστήσῃ δὲ τὴν ἐπουράνιον τῶν ἁγίων βασιλείαν, «ἥτις εἰς τοὺς αἰῶνας οὐ διαφθαρήσεται[3]», αὐτὸς «ὄρος» καὶ πόλις τῶν ἁγίων γινόμενος πληρῶν «πᾶσαν τὴν γῆν.[4]» καὶ διὰ τοῦτο ὁ μακάριος Δανιὴλ ἔφη· καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν «ἐκείνων ἀναστήσει ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν, ἥτις εἰς τοὺς αἰῶνας οὐ διαφθαρήσεται, καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑ|τέρῳ οὐχ ὑπολειφ<θήσεται>.[5]» ἵνα οὖν μή τις δυσπιστήσῃ ἐπὶ τοῖς εἰρημένοις «εἰ ἄρα ὄντως ταῦτα ἔσται ἢ οὔ», ἐπεσφράγισεν ὁ προφήτης λέγων «καὶ ἀληθινὸν τὸ ἐνύπνιον καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ.[6]»—

XIV. «Ἔ<τους ὀ>κτωκαιδεκάτου Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐποίησεν εἰκόνα χρυσῆν, ὕ<ψ>ος αὐτῆς πήχεων ἑξήκοντα, εὖρος αὐτῆς πήχεων ἕξ, καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ Δεειρᾷ ἐν χώρᾳ Βαβυλῶνος. καὶ ἀπέστειλεν συναγαγεῖν τοὺς ὑπάτους, στρατηγοὺς καὶ τοπάρχας, ἡγουμένους καὶ τυράννους καὶ τοὺς ἐπ᾽ ἐξουσιῶν καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν, ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος, ἧς ἔστησεν Ναβουχοδονόσορ ὁ βασιλεύς. καὶ συνήχθησαν» ἅπαντες καὶ ἦλθον· «καὶ ἔστησαν ἐνώπιον τῆς εἰκόνος. καὶ ὁ κήρυξ ἐβόα ἐν ἰσχύι· ὑμῖν λέγεται, λαοὶ φυλαὶ γλῶσσαι, ᾗ ἂν ὥρᾳ ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης καὶ ψαλτηρίου | κα<ὶ

1. Δαν. 2, 35. 2. Δαν. 2, 34. 3. Δαν. 2. 44. 4. Δαν. 2, 35. 5. Δαν. 2, 44. 6. Δαν. 2, 45.

παντὸς γένους> μουσικ<ῶν, πίπτοντες προσκυνεῖ>τε τῇ εἰ<κόνι τῇ χρυσῇ· καὶ ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεται> εἰ<ς τὴν> κάμινον <τοῦ πυρὸς τὴν καιομένην>.[1]»

XV. Χρόνου μὲν οὖν ἱκανοῦ διαδραμόντος καὶ ἐπιγενομένου ὀκτωκαιδεκάτου ἔτους, ὑπομνησθεὶς ὁ βασιλεὺς τοῦ ἐνυπνίου αὐτοῦ «ἐποίησεν εἰκόνα χρυσῆν», ἧς τὸ μὲν ὕψος «πήχεων ἑξήκοντα» τὸ δὲ «εὖρος αὐτῆς πήχεων ἕξ.» ἐπειδὴ γὰρ ὁ μακάριος Δανιὴλ ἐν τῷ συγκρῖναι αὐτὸν τὸ ἐνύπνιον ἀπεκρίθη τῷ βασιλεῖ λέγων «σὺ εἶ ἡ κεφαλὴ» τῆς εἰκόνος «ἡ χρυσῆ[2]», ἐν τούτῳ τῷ λόγῳ φυσιωθεὶς ὁ βασιλεὺς Ναβουχοδονόσορ καὶ τῇ καρδίᾳ ἐπαρθεὶς ἀντίτυπον ταύτης «εἰκόνα ἐποίησεν», ἵνα ὡς θεὸς ὑπὸ πάντων προσκυνηθῇ. ταύτην μὲν οὖν μεγέθει κατασκευάσας «ἔστησεν» «ἐν πεδίῳ Δεειρᾷ ἐν χώρᾳ Βαβυλῶνος.» καὶ πέμψας μετεκαλέσατο «τοὺς ὑπάτους καὶ τοὺς στρα|τηγοὺς καὶ τοὺς τοπάρχας» «καὶ πάντας» «τοὺς ἐπ᾽ ἐξου<σιῶν» ἐλθ>εῖν «εἰς τὰ ἐγκαί<νια τῆς εἰκ>όν<ο>ς», «ἧς ἔσ<τησε>ν <Ναβουχοδονόσορ> ὁ βασι<λεύς>.» <εἶτα πάντων ἀ>νθρώπων <εἰς τὸ αὐτὸ συνα>χθ<έντ>ων καὶ τῶν ὀργ<άνων> ἐπὶ τὸ αὐτό... «πίπτοντες» «λαοὶ φυλ<αὶ γλῶσσαι> προσεκύνουν τῇ εἰκόνι», τινὲς μὲν αὐτῶν τὸν βασιλέα φοβούμενοι, οἱ δὲ πάντες εἰδωλολάτραι γινόμενοι, ὑπήκουον τῷ ῥήματι τῷ ὑπὸ τοῦ βασιλέως προστεταγμένῳ.

XVI. «Τότε» δὲ προσῆλθον τινὲς τῶν Χαλδαίων «καὶ διέβαλλον τοὺς Ἰουδαίους τῷ βασιλεῖ·» «σὺ βασιλεῦ ἔθηκας δόγμα, πάντα ἄνθρωπον ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, καὶ μὴ πεσὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθῆναι αὐτὸν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. εἰσὶν δὲ ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας | <ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγώ, οἱ οὐχ ὑ<πή>κουσαν τῷ δόγματί σου, τοῖς θεοῖς σου> οὐ <λατρεύουσιν καὶ> τῇ εἰκόνι τῇ χρ<υσῇ ᾗ ἔστησας> οὐ προσκυνοῦσιν. τότε ἀκούσας ὁ βασιλεὺς ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀχθῆναι αὐτούς, καὶ ἀποκριθεὶς ἔφη· εἰ ἀληθῶς, Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησα οὐ προσκυνεῖτε; νῦν οὖν εἰ ἔχετε ἑτοίμως, <ἵνα> ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσητε τῇ εἰκόνι τῇ χρυσῇ· εἰ δὲ μή, ἐν αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην, καὶ τίς ἐστιν θεὸς ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου;[3]»

XVII. Ἴδες ἀνθρώπου βασιλέως τυραννοῦντος ἀπειλὴν μὴ ἐγνωκότος τὸν εἰπόντα· <... «μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκ<τεννόντων τὸ σῶμα>, τὴν <δὲ ψυχὴν μὴ δυναμένω>ν ἀποκτεῖναι· φο<βήθ>ητε δ<ὲ

1. Δαν 3, 1-6. 2. Δαν. 2, 38. 3. Δαν. 3, 8-15.

μ<ᾶ>λλ<ον τὸν> δυνάμεν<ον καὶ ψυ>χὴν καὶ σῶμα <ἀπολέσαι> ἐν γεέννῃ.[1]» τούτους τοὺς λόγους μὴ καταπτήξαντες οἱ παῖδες «ἀπεκρίθησαν» «λέγοντες· οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι. ἔστιν γὰρ θεὸς <ἐν οὐρανοῖς>, ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται ἡμᾶς· καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας οὐ προσκυνοῦμεν.[2]»

XVIII. Ἰδέ, τρεῖς παῖδες ὑπόδειγμα πᾶσιν ἀνθρώποις πιστοῖς γενάμενοι, οἵτινες οὐκ ὄχλον σατραπῶν ἐφοβήθησαν οὐδὲ τὰ τοῦ βασιλέως ῥήματα ἀκούσαντες ἐδειλίασαν οὐδὲ τὸ πῦρ τῆς | καμίνου καιόμενον εἰδότες ἔπτηξαν, ἀλλὰ πάντων ἀνθρώπων καὶ ὅλου τοῦ κόσμου κατεφρόνησαν, τὸν φόβον τοῦ θεοῦ μόνον πρὸ ὀφθαλμῶν ἐσχηκότες. τούτους Δανιήλ, μακρόθεν ἑστὼς καὶ σιωπῶν, θαρρεῖν [αὐτοὺς] ἐδίδασκεν, μειδιῶν <μὲν> πρὸς αὐτούς, χαίρων δὲ καὶ αὐτὸς ἐπὶ τῇ τούτων μαρτυρίᾳ, ἐνορῶν τρεῖς παῖδας μέλλοντας κατὰ τοῦ διαβόλου στεφανοῦσθαι, μὴ τέχνῃ τούτους μουσικῇ ἀπατηθέντας, μηδὲ ἡδονῇ ὀργάνων δουλωθέντας, μηδὲ πλάνῃ Βαβυλωνίων ἀπαχθέντας, μηδὲ δόγματι βασιλέως ὑποταγέντας, μηδὲ σφυρηλάτῳ εἰκόνι χρυσῇ γόνατα κλίναντας. τρεῖς οὗτοι πιστοὶ μάρτυρες ἐν Βαβυλῶνι εὑρεθέντες, ἵνα δι' αὐτῶν ὁ θεὸς δοξασθῇ καὶ Ναβουχοδονόσορ καταισχυνθῇ καὶ Βαβυλωνίων τὰ εἴδωλα μηδὲν ὄντα φανῇ.

XIX. Τολμήσω τι εἰπεῖν καὶ οὐ κινδυνεύσω ἐν τῷ λέγειν· οὗτοι τὸ ῥητὸν ἀναγνόντες | . . . τ<ὸ διὰ τοῦ προφ>ήτου εἰρημένον . . . τι περὶ αὐτῶν <ἦν> γεγραμμένον . . . ητον . . . «<μνησθήσο>μαι Ῥαὰβ κα<ὶ Βαβυ>λῶνος <τοῖς γινώσκουσί>ν μ<ε[3]», εἰ μὴ> προ<ορῶν> τῷ πνεύματι <τὸ μυσ>τήριον τ<ὸ> οἰκονομούμ<ε>νον ἐκεῖ. οὗτοι γὰρ τό<τε> θεασάμενοι τοὺς πάντας ἀνθρώπους τῇ εἰκόνι προσκυνοῦντας καὶ τῷ προστάγματι τοῦ βασιλέως ὑπακούοντας ὑπέστησαν τὸν νοῦν λέγοντες· οὐκ ἀργῶς τοῦτο γεγραμμένον ἐστίν, ἀδελφοί· ἴσως ἐφ' ἡμῖν τοῦτο νῦν πληρωθήσεται. ἰδοὺ γὰρ ἐνέστηκεν, καὶ τὸ πᾶν γένος ἡμῶν αἰχμάλωτον εἴληπται καὶ ὑπόδουλον Βαβυλωνίοις γεγένηται· Ναβουχοδονόσορ καθ' ἡμῶν ὡς μέγας διάβολος τυραννεῖ καὶ εἰκόνα ποιήσας χρυσῆν εἰδωλολατρεῖν ἀναγκάζει. μείνωμεν πιστοὶ ἄχρι θανάτου, μὴ καταισχύνωμεν τὸν διδάσκαλον ἡμῶν Μωϋσῆν, μηδὲ ἐάσωμεν τὸ γένος ἡμῶν καταγελασθῆναι· νικήσω|μεν οἱ τρεῖς τὴν πᾶσαν δύναμιν Βαβυλωνίων· «ῥύσεται ἡμᾶς» ὁ θεὸς ἐκ <χει>ρὸς τοῦ β<ασ>ιλέως, ὡς <ἐξε>ρύσατο τὸν προ<πάτορα ἡ>μ<ῶν «ἐκ χειρὸς Φαραώ.[4]» μνη>σθῶμεν τὰ πάλ<αι ἐ>ν γ<ῇ Α>ἰγύπτου γεγενημένα· <ὡς «ἡ> θάλασσα» ῥάβδῳ παταχθ<εῖ>σα ἐφοβήθη, καὶ «Ἰορδάνης» θεασάμενος κιβωτὸν «εἰς τὰ

1. Ματθ. 10, 28. 2. Δαν. 3, 16-18. 3. Ψαλμ. 86, 4. 4. Ἔξ. 18, 4. Δευτ. 7, 8.

ὀπίσω ἀπεστράφη[1]», «Ῥαὰβ ἡ πόρνη» πιστὴ ἐν πόλει Ἱεριχὼ εὑρεθεῖσα ἐκ φόνου μαχαίρας διεσώθη.[2] καὶ νῦν «δυνατὸς ὁ θεὸς» τὸ πῦρ τῆς καμίνου εὐκόλως κατασβέσαι. εἰ μαχαίρᾳ ἀπειλεῖ τὸν θάνατον ὑπομείνωμεν· εἰ θηρσὶν ἀγρίοις παραβαλεῖν, τοὺς θῆρας μὴ καταπτήξωμεν· ὄχλος Βαβυλωνίων τὴν ἡμετέραν πίστιν μὴ νικησάτω. προτρεπόμενοι ἀλλήλοις ὡς ἔμψυχοι ἀθληταὶ προηγοῦντο ὑπὸ τοῦ πνεύματος εἰς τὸ σκάμμα, τρεῖς παῖδες νεώτεροι πρὸς μυριάδας ἀνθρώπων ἀπίστων ἀγωνιζόμενοι.

XX. Ἀλλ' ἐρεῖ τις· ταῦτα πιθανολογεῖς. διδάχθητι, ἄνθρωπε, τὰ ἐπὶ Ἀντιόχου | συμβάντα. ἡνίκα <ἑπτὰ> ἀδελφοὶ «ἅμα τῇ μητρὶ» συλληφ<θέν>τε<ς> «μάστιξιν καὶ <νευ>ρ<αῖς» ἐ>τύπτοντο, «εἷς <αὐτῶν» ἀπ>οκ<ρι>θεὶς «<ἔφη· τ>ί μέλλεις <ἐρωτ>ᾶν,... ἕτοιμοι <γὰρ ἀποθ>νήσκειν ἐσμέν, <ἢ> παραβαίνειν τοὺς πατρῴους νόμους. ἔκθυμος δὲ» ἐπὶ τούτῳ «γενόμενος ὁ βασιλεὺς ἐκέλευσεν τήγανα καὶ λέβητας ἐκπυροῦσθαι» «παραχρῆμα», καὶ «τὸν γενάμενον αὐτῶν προήγορον ἐκέλευσεν γλωσσοτομεῖσθαι καὶ περισκυθίσαντας ἀκρωτηριάζειν, τῶν δὲ λοιπῶν ἀδελφῶν» «ἐνορώντων·» καὶ «τῆς ἀτμίδος τοῦ τηγάνου ἐφ' ἱκανὸν διαδιδούσης παρεκάλουν ἀλλήλους» τῇ πατρῴᾳ φωνῇ «λέγοντες·» «κύριος ὁ θεὸς ἐφορᾷ καὶ ταῖς ἀληθείαις ἐφ' ἡμῖν παρακαλεῖται καθάπερ <διὰ> τῆς [διὰ] <κατὰ> πρόσωπον λελαλημένης ᾠδῆς διεσάφησεν πάλαι Μωϋσῆς λέγων· καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.[3]»

XXI. Ὁρᾷς πῶς τὸ πνεῦμα τοῦ πατρὸς μελετᾶν τοὺς μάρτυρας | <δι>δά<σκει . . . παραμυθούμενον κατα>φρονεῖν μὲν τοῦ <θ>αν<άτου τούτου, σπεύ>δειν δὲ ἐπ<ουράνια>. ἐὰν γάρ τις <χωρὶς ἁγίου> πνεύματος ᾖ, οὗτος <δειλιῶν ἀ>γωνιᾷ καὶ φοβούμενος κρύβεται καὶ τὸν πρόσκαιρον θάνατον εὐλαβεῖται καὶ μάχαιραν καταπτήσσει καὶ κόλασιν οὐχ ὑπομένει, τὸν κόσμον τοῦτον πρὸ ὀφθαλμῶν ἔχει, τὰ «τοῦ βίου» μεριμνᾷ, τὴν γυναῖκα προτιμᾷ καὶ ἴδια τέκνα ἀγαπᾷ καὶ πλοῦτον κτημάτων ἐπιζητεῖ· ὁ τοιοῦτος δύναμιν ἐπουράνιον μὴ κεκτημένος εὐχερῶς ἀπόλλυται. δεῖ οὖν πάντα ἄνθρωπον τῷ λόγῳ προσιόντα ἀκούειν, τί πρ<οστ>άσσει ὁ ἐπουράνιος βασιλεὺς καὶ δεσπότης· «ὃς ἂν μὴ ἄρῃ τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθήσῃ ὀπίσω μου, οὐκ ἔστιν μου ἄξιος·[4]» καὶ «ὃς μὴ ἀποτάξηται πᾶσιν τοῖς ὑπάρχουσιν αὐτῷ, οὐ δύναται εἶναί μου μαθητής.[5]»

XXII. Οὕτως οὖν καὶ <τότε> οἱ τρεῖς παῖδες ἐν Βα<βυλῶνι μαθηταὶ τοῦ λόγου ὄντες «ἀπεκρίθησαν» . . . «τῷ βασιλεῖ» «λέγοντες·» «οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι.[6]» Δανιὴλ δὲ ἀκούσας τῶν ῥη>μάτων τούτων ἐπῄνεσεν. οἱ δὲ πάλιν· «ἔστιν» «θεός», «ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης καὶ ἐκ τῶν χειρῶν σου, βασι-

1. Ψαλμ. 113, 3. 2. Ἰησ. Ν. 6, 16 ἑξ. 3. Β' Μακκ. 7, 1 ἑξ. 4. Ματθ. 10, 38. 5. Λουκ. 14, 33. 6. Δαν. 3, 16.

λεῦ, ῥύσεται ἡμᾶς.[1]» ὁ δὲ μακάριος Δανιήλ, ἅτε προφήτης ὑπάρχων καὶ προβλέπων τὸ μέλλον, ἐπένευσεν ὡς ἀληθῶς ἔσται τοῦτο τὸ ὑπ' αὐτῶν λελαλημένον, καὶ <οἱ παῖδες> ἵνα ἐνδείξωνται τῷ βασιλεῖ τὸ τῆς πίστεως ἀνυπέρβλητον προσέθηκαν λέγοντες· «καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας οὐ προσκυνοῦμεν.[2]» ὧν πάλιν ἀκούσας ὁ μακάριος Δανιὴλ τὴν τρίτην φωνήν, θαυμάσας τούτους ὡς καλοὺς ἀθλητὰς τῇ πί|στει ἐστεφάνωσεν.

XXIII. Ἴδετε ἀσφάλειαν λόγων δι' ἑνὸς στόματος λαλουμένων, ἵνα ἐν μηδενὶ ῥήματι πταίσωσιν. τοῦ γὰρ βασιλέως ἀπειλησαμένου καὶ εἰπόντος· διὰ τί «τοῖς θεοῖς μου οὐ λατρεύετε καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησα οὐ προσκυνεῖτε;» «ἀπεκρίθησαν·» «οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι», μηδὲ ἄξιον αὐτὸν περὶ τοιούτου ἀπολογίας ἡγούμενοι. ἔπειτα τοῦ βασιλέως εἰπόντος· «ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην, καὶ τίς ἐστιν θεός, ὃς «δυνήσεται ῥύσασθαι» ὑμᾶς ἐκ χειρῶν μου;[3]» ἀντέπεσαν τῷ ῥήματι τῷ ὑπὸ τοῦ βασιλέως λελαλημένῳ καὶ εἶπαν· «ἔστιν» «θεός», «ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται ἡμᾶς.» τοῦ δὲ βασιλέως πάλιν εἰπόντος· «νῦν οὖν εἰ ἑτοίμως| ἔχετε, ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσατε τῇ εἰκόνι τῇ χρυσῇ[4]», οἱ δὲ πρὸς αὐτόν· «γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας οὐ προσκυνοῦμεν.[5]»

XXIV. Τρία γὰρ αὐτοῖς δι' ἑνὸς λόγου προέθετο ὁ βασιλεὺς ῥήματα ὡς περὶ τῶν τριῶν βραβείων ἀγωνιζομένοις, ἵνα κἂν ἑνὶ ῥήματι παγιδεύσας τούτους πτερνίσῃ. οἱ δὲ πρὸς τὰ τρία γενναίως ἀπεκρίθησαν ἐν μηδενὶ ἡττηθῆναι βουλόμενοι. τὸ μὲν γὰρ πρῶτον ἐξουθένησαν τὸ ῥ[illegible] τοῦ βασιλέως, ἐνδεικνύμενοι, ὅτι μηδὲ λόγου τινὸς ἄξιον εἴη τὸ ει[illegible]ν τὸ ὑπ' αὐτοῦ προσκυνούμενον. τὸ δὲ δεύτερον ἐδίδαξαν τὸν βασιλε[illegible] τίνα δεῖ φοβεῖσθαι καὶ προσκυνεῖν, λέγοντες· «ἔστιν» «θεός», «ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσ|<θαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης.[6]» τὸ δὲ τρίτον τὴν> ἑα<υ>τῶν πίστιν <δεικνύναι ἠθέλη>σαν καὶ ε<ἶπαν· γνωστὸν ἔ>στω σοι, <βασιλεῦ>, ὅτι τοῖς <θ>εοῖς σου οὐ λατρεύομεν καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας οὐ προσκυνοῦμεν.[7]» τοῦτο γάρ ἐστιν, ὃ ἠσφαλίσαντο διὰ τοῦ ῥητοῦ, μήποτε ἐμβληθέντων αὐτῶν ἐν τῇ καμίνῳ καὶ κατακαυθέντων καυχήσωνται οἱ Χαλδαῖοι καὶ πλανήσωσιν τὸν βασιλέα λέγοντες· μὴ λυποῦ, βασιλεῦ, ἐνίκησας καὶ ἔλαβες βραβεῖον κατ' αὐ-

1. Δαν. 3, 17. 2. Δαν. 3, 18. 3. Δαν. 3, 15. 4. Δαν. 3, 15. 5. Δαν. 3, 18. 6. Δαν. 3, 17. 7. Δαν. 3, 18.

τῶν· ἔκραζον γὰρ ἐν τῷ πυρὶ καιόμενοι καὶ ἔλεγον· ἐρωτῶμεν, κύριε βασιλεῦ, ποιοῦμεν τὰ ὑπό σου κελευόμενα, προσκυνοῦμεν τὴν εἰκόνα. ἵνα οὖν καὶ μετὰ θάνατον πιστοὶ μάρτυρες κληθῶσιν, κατὰ πάντα τρόπον ἑαυτοὺς ἠσφαλίσαντο, ὅπωσ<οὖν τινα παρέχειν> ἀφορμὴν τῷ διαβόλῳ μὴ θέλοντες. πᾶσαν γὰρ τὴν ἐξουσίαν καὶ τὴν | <δόξαν ἀπέδωκαν τῷ θεῷ πιστεύοντες, ὅτι «δυνα>τός» ἐστιν «<ἐξελέσ>θαι·» «ἐὰν» δὲ «<μὴ» βούληται>, ἡμεῖς μ<ᾶλλον> ἡδέ<ως ἀπο>θνήσκομεν, <ἢ ποι>οῦμεν τὰ ὑπό σου προσ<τε>ταγμένα.

XXV. «Τότε Ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ καὶ ἡ ὄψις τοῦ προσώπου <αὐ>τοῦ ἠλλοιώθη ἐπὶ Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγώ, καὶ εἶπεν· ἐκκαύσατε τὴν κάμινον ἑπταπλασίως, ἕως οὗ εἰς τέλος ἐκκαῇ. καὶ ἄνδρας ἰσχυροὺς ἐν ἰσχύϊ εἶπεν, πεδήσαντας» αὐτοὺς «ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρός[1]»... κατὰ «τὸ ῥῆμα τοῦ βασιλέως» ὑπερισχῦον. μὲν οὖν γε, εἰ δεῖ τὰ ἀληθῆ λέγειν, ... «ἐκκαῦσαι» «ἑπταπλασίως·» πάντως ὡς ἤδη ὑπ' αὐτῶν ἡττώμενος. ἐν μὲν γὰρ τοῖς ἐπιγείοις ὑπερίσχυσεν ὁ βασιλεύς, ἐν δὲ τῇ πίστει τῇ πρὸς τὸν θεὸν ὑπερίσχυσαν οἱ τρεῖς παῖδες. — ἀλλ' ἐρεῖ τις· οὐκ ἠδύνατο οὖν Δανιὴλ φίλος ὢν τοῦ βασιλέως παρακαλέσαι ὑπὲρ αὐτῶν καὶ ἐξαιτήσασθαι; ἠδύνατο· ἀλλ' ἵ|<να>... ἔργ<ῳ ...>.. <διὰ τοῦ>τό <ἐσιώπα. εἰ> γὰρ <τοῦτο> ἐγεγόνει, ἤμελλον <ἂ>ν λέγειν <οἱ> Βαβυλώνιοι· εἰ μὴ Δανιὴλ ὑπὲρ αὐτῶν τὸν βασιλέα παρεκάλεσεν, ἐν πυρὶ ἂν οὗτοι σήμερον ἀπολώλεισαν, — καὶ ἀνθρωπίνη χάρις μᾶλλον ἐνομίζετο εἶναι, οὐκέτι θεοῦ δύναμις.

XXVI. Τί δὲ ὅλως ὁ βασιλεὺς εἰδὼς τὸν Δανιὴλ Ἰουδαῖον ὄντα οὐ κατενύγη καὶ εἶπεν αὐτῷ· σὺ «διὰ τί οὐ προσκυνεῖς» τῇ εἰκόνι; πάντως ἂν εἴρηκεν τῷ βασιλεῖ· «ὅτι οὐ σέβομαι ἔργα χειροποίητα, ἀλλὰ τὸν ζῶντα θεὸν τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ ἔχοντα πάσης σαρκὸς κυρείαν.[2]» ὥσπερ γὰρ ἀπεκρίθη τῷ Κύρρῳ ἐπὶ τοῦ Βὴλ· συναρπαγεὶς εἶπεν..... τὸν Βὴλ πλὴν ἢ κατὰ γνώμην τῶν σατραπῶν· τὸ «ἕως ἡμερῶν τριάκοντα» ἐὰν αἰτήσηται «παρὰ παν|τὸς θεοῦ ἢ <ἀνθρώπου» «ἀλλ' ἢ παρὰ>» τοῦ <βασιλέως>, «ἐμβληθήσεται εἰς τὸν λάκκον τῶν λε<όντων>.» ἀλλ' ἐπειδὴ ἐν τῇ καμίνῳ τοὺς τρεῖς παῖδας ἔ<δ>ει δ<ο>ξασθῆναι, ἐπὶ δὲ το<ῦ Βὴλ> βασιλεύοντος Κύρρου τὸν Δανιὴλ <μόνον> εἰς τὸν λάκκον τῶν λεόντων ἐμβληθῆναι, εἷς ἕκαστος αὐτῶν τῇ ἰδίᾳ διατάξει καὶ τῷ ἰδίῳ καιρῷ ἐτηρεῖτο, ἵνα καὶ Ναβουχοδονόσορ ὁ βασιλεὺς τῶν Βαβυλωνίων ἰδὼν τοὺς τρεῖς παῖδας ὑπὸ τοῦ πυρὸς μηδὲν διαφθαρέντας τὸν θεὸν δοξάσῃ, καὶ Κύρρος ὁ Πέρσης ἰδὼν τὸν Δανιὴλ ὑπὸ τῶν λεόντων μὴ καταποθέντα τὸν θεὸν τοῦ οὐρανοῦ θεὸν ὄντα μόνον διδαχθῇ. οὕτως οὖν ὁ θεὸς κατὰ καιροὺς διὰ τῶν δούλων αὐτοῦ τῶν προφητῶν οἰκονομῶν πράγματα πείθει πάντας ἀνθρώπους «εἰς» τὴν ἑαυτοῦ «ἐπίγνωσιν ἐλθεῖν.[3]»

XXVII. «Τότε» οὖν πεδηθέντες οἱ παῖδες «σὺν» τοῖς ἐνδύμασιν

1. Δαν. 3, 19-20. 2. Δαν. (Διήγ. Βὴλ) 5. 3. Α' Τιμ. 2, 4.

καὶ «τοῖς σαραβάροις αὐτῶν» «ἐβλήθησαν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην, | κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως.[1]» εἰπέ μοι, Ναβουχοδονόσορ, τίνι λόγῳ δεδεμένους <αὐτοὺς> κελεύεις ἐμβληθῆναι εἰς τὸ πῦρ; μήπως φύγωσιν; ἢ λελυμένοι τὸ πῦρ τοῖς ποσὶν κατασβέσωσιν; ἀλλ' οὐ σὺ εἶ ὁ ταῦτα ἐργαζόμενος, ἀλλ' ἕτερος ἐν σοὶ ὁ ταῦτα ἐνεργῶν. καὶ διὰ τοῦτο ἡ γραφὴ λέγει· «τότε» τοῦ βασιλέως ἡ μορφὴ «ἠλλοιώθη·[2]» ἄλλος γὰρ ἦν καὶ ἄλλος ἐγένετο. ἦν γὰρ ἄνθρωπος βασιλεὺς ἐν ἀρχῇ τὸν θεὸν φοβούμενος· ἔπειτα κατ' αὐτοῦ ἐπαρθεὶς ἠλλοιώθη τὰ τοῦ διαβόλου ἔργα μιμούμενος. καὶ διὰ τοῦτο ἡ γραφὴ προανεφώνησεν λέγουσα· «ἐγὼ ὁ θεὸς καὶ οὐκ ἠλλοίωμαι[3]», ἵνα δειχθῇ, ὅτι ὁ θεὸς ἄτρεπτός ἐστιν καὶ ἀναλλοίωτος. τοῦ <δὲ> βασιλέως ἡ μορφὴ ἠλλοιώθη, ἵνα εὐκόλως ἄνθρωπος ὢν νοηθῇ, καὶ ὁ ἐν αὐτῷ ἐνεργῶν πλάνος εὐχερῶς ἐπιγνωσθῇ, πάντοτε τὰ τοῦ θεοῦ ἔργα μιμούμενος καὶ ποικίλοις τρόποις τὸν ἄνθρωπον ἐξαπα|<τᾶν βουλόμενος. λέγει γάρ· «ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐποίησεν εἰκόνα χρυσῆν>, ὕψος αὐτῆς πήχεων ἑξήκον<τα>, εὖρος αὐτῆς πήχε<ων ἕξ>, καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ Δεειρᾷ ἐν χώρᾳ Βαβυλῶνος.[4]» διὰ μὲν οὖν τῶν δεκαοκτὼ ἐτῶν τὸν Ἰησοῦν τὸν υἱὸν τοῦ θεοῦ ἐμιμήσατο, ὃς παρὼν ἐν κόσμῳ τὴν εἰκόνα τὴν ἰδίαν ἄνθρωπον ἐκ νεκρῶν ἀνέστησεν καὶ ταύτην καθαρὰν καὶ ἄμωμον <ὡς χρυσὸς οὖσαν> τοῖς μαθηταῖς ἐπέδειξεν. διὰ δὲ τοῦ ὕψους τῶν ἑξήκοντα πηχῶν τοὺς ἑ<ξήκοντα> πατριάρχας, δι' ὧν τὸ κατὰ σάρκα ἡ εἰκὼν τοῦ θεοῦ ὁ λόγος ἀνετυπώθη καὶ ἀνεπλάσθη καὶ ὑπὲρ πάντας τοὺς πατριάρχας ἀνυψώθη. διὰ δὲ τοῦ πλάτους τῶν ἓξ πηχῶν τὴν ἑξαήμερον ἐμήνυσεν· ἐν γὰρ τῇ ἕκτῃ ἡμέρᾳ ὁ ἄνθρωπος ἐκ χοὸς πλασθεὶς γεγένηται. χρυσὸν μὲν οὖν ἐκτυπώσας Ναβουχοδονόσορ καὶ ἀντίμωμον εἰκόνα ποιησάμενος ἔστησεν |<αὐτὴν ἐν πεδίῳ> Δε<ειρ>ᾷ ἐν χώρᾳ Βαβυλῶνος, <ση>μαί<νων> τὸ μὲν πεδίον εἶναι τὸν κόσμον, Βαβυλῶνα δὲ τὴν μεγάλην πόλιν. καὶ τότε μὲν Ναβουχοδονόσορ μίαν ἐποίησεν εἰκόνα, νυνὶ δὲ ὁ πλάνος πλείονας ἐν κόσμῳ ἐφεξεῦρεν, ἵνα διὰ τῶν πολλῶν θεαμάτων τοὺς πάντας ἀνθρώπους διοδεύσῃ, ἄλλον ἀλλαχοῦ φερόμενον, τοὺς μὲν τὸν χρύσεον προσκυνοῦντας, ἑτέρους δὲ τὸν ἀργύρεον, ἄλλους δὲ τὸν χάλκεον, τινὰς δὲ τὸν δι' ἐλέφαντος συγκείμενον, πολλοὺς τὸν ὀστράκινον καὶ λίθινον σέβοντας· οἱ δὲ πάντες καταλιπόντες τὸν ἐπουράνιον θεὸν τοῖς κενοῖς καὶ ἀψύχοις καὶ ματαίοις εἰδώλοις ὑπετάγησαν, εἰς ὕψος ἀναβλέπειν μὴ θέλοντες, μηδὲ τὸ κάλλος τοῦ οὐρανοῦ κατανοεῖν, ἵνα μὴ τὸν τούτου θεὸν ἐπιγνόντες σωθῆναι [μὴ] δυνηθῶσιν. ταῦτα τὰ τοῦ διαβόλου τεχνάσματα, <ἃ> οὐ μόνον πάλαι ἐν Βαβυλῶνι ἐ|νήργησεν, ἀλλὰ καὶ νῦν τὰ ὅμοια ποιεῖ καὶ χείρονα κατὰ τῶν δούλων τοῦ θεοῦ τολμᾶν ἐπιχειρεῖ, κάμινον πυρὸς ἑαυτῷ προετοιμάσας, ἵνα δι' αὐτῆς ἐκφοβήσῃ τὸν ἄνθρωπον, μὴ εἰδὼς τὴν

1. Δαν. 3, 21. 2. Δαν. 3, 19. 3. Μαλ. 3, 6. 4. Δαν. 3, 1.

παρὰ θεοῦ παρεσκευασμένην αὐτῷ αἰώνιον διὰ πυρὸς κόλασιν.

XXVIII. Τούτων τοίνυν γεγενημένων φησὶν ἡ γραφή· «καὶ οἱ ἄνδρες οἱ τρεῖς οὗτοι Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγὼ ἐπέπεσον εἰς μέσον τῆς καμίνου πεπεδημένοι καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογός, ὑμνοῦντες τὸν θεὸν καὶ εὐλογοῦντες τὸν κύριον.[1]» τὰ μὲν οὖν δεσμὰ ἃ περιέθηκεν αὐτοῖς ὁ βασιλεύς, ταῦτα εὐθέως τὸ πῦρ κατεδαπάνησεν, τῶν δὲ ἱματίων αὐτῶν καὶ τῶν σαραβάρων οὐχ ἥψατο, ἵνα καὶ ἐν τούτῳ τὸ μεγαλεῖον τοῦ θεοῦ ἔργον δειχθῇ. ἐπειδὴ γὰρ τὰ ἱμάτια περὶ τὰ σώματα τῶν παίδων ἦν περικείμενα, καὶ ταῦτα σὺν αὐτοῖς ἡγιάσθη καὶ ὑπὸ τοῦ πυρὸς οὐκ ἐ|. . .—λεγέτωσαν <οὖν μοι> αἱρεσιάρχαι <οἱ τὴν> ἑαυτῶν ἀνάστασιν ἀρνούμενοι, πῶς λέγουσιν σαρκὸς ἀνάστασιν μὴ εἶναι, ὁπότε φθαρτὰ ἱμάτια καὶ ὑποδήματα ἐκ νεκρῶν ζῴων γεγονότα ὑπὸ τοῦ πυρὸς οὐ διεφθάρη διὰ τὸ περὶ σῶμα ἅγιον περικεῖσθαι, πῶς οὐχὶ καὶ σὰρξ φθαρτὴ ὑπάρχουσα περὶ ψυχὴν ἁγίαν περικειμένη καὶ αὐτὴ σὺν αὐτῇ ἁγιασθήσεται καὶ εἰς ἀφθαρσίαν μετατεθήσεται; εἰ γὰρ τὰ φύσει φθαρτὰ ὄντα φθορὰν οὐκ ἐδέξαντο, πῶς τὸ μὴ γενάμενον φύσει φθαρτὸν ἀλλὰ διὰ τῆς παρακοῆς νεκρωθὲν πάλιν ζωοποιηθὲν δυνάμει θεοῦ <οὐκ> ἀναστήσεται; ὥστε κατὰ πάντα τρόπον πείθει ἡμᾶς ἡ γραφὴ πιστεύειν ἐξ ὅλης καρδίας θεῷ, ὃν τρόπον κἀκεῖνοι πιστεύσαντες ἐκ καμίνου πυρὸς ὁλόκληροι σὺν ἐσθῆτι καὶ σαραβάροις διεσώθησαν. | εἰ γὰρ <ἐκεί>νων τότε <τὸ πῦρ οὐ κατεκράτησεν, πῶς> τῶν ἁγίων καὶ ὁμοίως πιστευόντων θεῷ τὸ αἰώνιον πῦρ κυριεῦσαι δύ<να>ται;

XXIX. Τότε μὲν οὖν «συστὰς Ἀζαρίας» ἅμα τοῖς λοιποῖς δι' ὕμνου καὶ εὐχῆς ἐξωμολογοῦντο τῷ θεῷ «ἐν μέσῳ[2]» τῆς καμίνου. καὶ τότε μὲν πρῶτον τὰς ἁμαρτίας ἑαυτῶν καὶ τῶν πατέρων διηγόρευον, διδόντες δόξαν τῷ θεῷ, ὡς ἀξίως καὶ δικαίως ταῦτα πάσχειν ἐν γῇ ἀλλοτρίᾳ αἰχμάλωτοι, παραδοθέντες «βασιλεῖ» ἀνόμῳ «καὶ πονηροτάτῳ <παρὰ πᾶσαν τὴν γῆν>[3]», ἀνθ' ὧν οὐκ ἐφύλαξαν οἱ πατέρες αὐτῶν τὸν νόμον κυρίου τοῦ θεοῦ αὐτῶν. ἔπειτα προσκαλούμενοι πᾶσαν τὴν κτίσιν «ὡς» δι' «ἑνὸς στόματος, ὕμνουν καὶ ἐδόξαζον καὶ ηὐλόγουν τὸν θεὸν» «λέγοντες· εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.[4]» ἀρξάμενοι οὖν ἀπὸ τοῦ ἁγίου καὶ ἐνδόξου καὶ μεγαλοπρεποῦς ὀνόματος, ἦλθον | ἐπ' αὐτὰ τὰ ἔργα τοῦ κυρίου, πρῶτον τὰ ἐπουράνια ὀνομάζοντες, καὶ ἐδόξαζον λέγοντες· ὦ «εὐλογεῖτε πάντα τὰ ἔργα αὐτοῦ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.[5]» εἶτα καθεξῆς ἅπαντα, τοὺς ἑπτὰ οὐρανοὺς καὶ τὰς ἐν αὐτοῖς ἐξουσίας καὶ δυνάμεις προσκαλούμενοι καὶ τὸ ὕδωρ τὸ «ὑπεράνω τοῦ

1. Δαν. 3, 23. 2. Δαν. (Ὕμν. τῶν τριῶν παίδων) 1. 3. Δαν. (Ὕμν. τῶν τριῶν παίδων) 8. 4. Δαν. (Ὕμν. τῶν τριῶν παίδων) 28. 5. Δαν. (Ὕμν. τῶν τριῶν παίδων) 33.

οὐρανοῦ», ἦλθον ἐπὶ τὸ στερέωμα καὶ τοὺς ἐν αὐτῷ φωστῆρας· ὀνομάσαντες ἥλιον καὶ σελήνην καὶ ἄστρα ἔλεγον· «εὐλογεῖτε» πάντα τὰ στοιχεῖα τὰ κινούμενα ἐν τῷ οὐρανῷ, «ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.» ἔπειτα μετῆλθον ἐπὶ τὰς τροπὰς τοῦ ἀέρος καὶ «τὰ πνεύματα» ἅτινά ἐστιν ἐν μέσῳ τῆς κτίσεως ὑπάρχοντα ἀνέμους, ὄμβρους τε καὶ νιφετούς, ψῦχος καὶ καῦμα, φῶς καὶ σκότος, ἡμέρας τε καὶ νύκτας καὶ τὰ ὅμοια αὐτοῖς. εἶτα ἦλθον ἐπὶ τὸ ἕδρασμα τῆς γῆς. ἤρξαντο μὲν τὸ πρῶτον ἀπ' αὐτῆς τῆς δόξης τοῦ θεοῦ | <καὶ ἐδόξαζον·> ἔπει<τα δὲ «τὰ> ὑπερ<άνω τοῦ οὐρανοῦ», τὰ λεγόμενα ὑπερκόσμ>ια· εἶτα τὸ στερέωμα <σὺν> τοῖς φωστῆρσιν ὠνόμασαν· εἶτα <τὰ> ἐν μέσῳ τῷ στερεώματι· εἶτα πρὸς τὴν γῆν λέγοντες «εὐλογείτω ἡ γῆ τὸν κύριον, ὑμνείτω καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας.» ἔπειτα «ὄρη καὶ» βουνούς· εἶτα «πάντα τὰ φυόμενα ἐν τῇ γῇ.» ἔπειτα μετῆλθον ἐπὶ τὰ ὕδατα, ποταμούς τε καὶ πηγὰς καὶ θαλάσσας· εἶτα «τὰ κινούμενα ἐν τοῖς ὕδασι» «κήτη» τε καὶ ἰχθύας· ἔπειτα «πετεινὰ <τοῦ> οὐρανοῦ» «κτήνη» τε καὶ «θηρία.» ἔπειτα μετῆλθον ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων κατὰ τάξιν τὸν ὕμνον ἀναφέροντες. ἔπειτα τὰ καταχθόνια ὠνόμασαν «πνεύματα» ταρταρούχων ἀγγέλων καὶ ψυχὰς δικαίων, ἵνα καὶ αὐτοὶ σὺν αὐτοῖς τὸν θεὸν ὑμνήσωσιν. καὶ μετὰ τὸ τελέσαι ἅπαντα ἑαυτοὺς ἐσχάτους ὡς ἐλαχίστους καὶ ταπεινοὺς ὠνόμασαν λέγοντες· | «εὐλογεῖτε <'Ανανία, 'Αζαρία, Μισαὴλ τὸν κύριον, ὑμνεῖτε> καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας· ὅτι ἐξείλετο ἡμᾶς ἐξ ᾅδου καὶ ἐκ χειρὸς θανάτου ἔσωσεν ἡμᾶς, καὶ ἐρρύσατο ἡμᾶς ἐκ μέσου καιομένης φλογὸς καὶ ἐκ μέσου πυρὸς ἐρρύσατο ἡμᾶς· ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.[1]»

XXX. Εἴπατέ μοι, τρεῖς παῖδες — μνήσθητέ μου, παρακαλῶ, ἵνα κἀγὼ σὺν ὑμῖν τὸν αὐτὸν κλῆρον τὸν <τῆς> μαρτυρίας λάχω —, τίς ἦν τέταρτος σὺν ὑμῖν ὁ ἐν μέσῳ τῆς καμίνου περιπατῶν καὶ ὡς ἐξ ἑνὸς στόματος μεθ' ὑμῶν τὸν θεὸν ὑμνῶν; διηγήσασθε ἡμῖν εἶδος αὐτοῦ καὶ κάλλος, ἵνα καὶ ἡμεῖς ἔνσαρκον αὐτὸν ἰδόντες ἐπιγνῶμεν. τίς ὁ οὕτως εὐτάκτως [ὁ] πᾶσαν κτίσιν διὰ στόματος ὑμῶν διηγησάμενος, ἵνα μηδὲν τῶν ὄντων καὶ γενομένων παραλείπητε; μίαν ὥραν ἐν καμίνῳ ποιήσαντες, τὴν τῆς κτίσεως δημιουργίαν | ἐδιδ<άσκεσθε· ὁ> γὰρ λόγος <ἦν σὺν ὑμῖν καὶ> δι' ὑμῶν φθεγγόμενος, ὁ καὶ ἐπιστάμενος τὴν τῆς κτίσεως δημιουργίαν. θαυμαστὰ γάρ ἐστιν, ἀγαπητοί, τὰ ὑπὸ τῶν τριῶν παίδων ἐν τῇ καμίνῳ δι' ὕμνων λελαλημένα· πῶς οὐδὲν παρέλειπον τῶν ἐκτισμένων, ἵνα μὴ ὡς ἐλεύθερόν τι ἢ ὡς αὐτεξούσιον νομισθῇ, ἀλλὰ πάντα συμπεριλαβόντες καὶ ὀνομάσαντες, τά τε ἐπουράνια καὶ τὰ ἐπίγεια καὶ τὰ καταχθόνια, πάντα δοῦλα ἔδειξαν εἶναι τοῦ θεοῦ τοῦ τὰ πάντα διὰ τοῦ λόγου κτίσαντος, ἵνα μή τις

1. Δαν. (Ὕμν. τῶν τριῶν παίδων) 6-67.

καυχήσηται ὡς ἀγέννητόν τι ἢ ἄναρχον εἴη τῶν κτισμάτων. παυσάσθων τοίνυν οἱ τῶν αἱρεσιαρχῶν δογματισταί, οἱ δυνάμεις καὶ αἰῶνας καὶ προβολὰς ὀνομάζοντες κενὰ τερατολογήματα ἐφευρίσκουσιν, ἵνα διὰ τῶν ξένων ῥημάτων εὐκόλως τοὺς ἀνθρώπους ἀπατήσαντες ἀποκτείνωσιν καὶ τὰ μὴ ὄντα ὡς ὄντα προσκυνεῖν | <ἀναγκάζωσιν, ... ὥσ>περ Ναβουχοδονόσορ ἀναπλάσσον<τες. πάν>τα γὰρ συμπεριλαβοῦσα ἡ γραφή, εἴτε «ἀρχὰς» εἴτε «ἐξουσίας» εἴτε «δυνάμεις» εἴτε «θρόνους» εἴτε «κυριότητας» εἴτε «πᾶν ὄνομα ὀνομαζόμενον», ὑπέταξεν τὰ πάντα καὶ ἐδούλωσεν τῷ θεῷ ὡς κυρίῳ καὶ δεσπότῃ ἀνυμνεῖν καὶ εὐλογεῖν καὶ δοξάζειν τὸν πεποιηκότα. καὶ διὰ τοῦτο 'Ανανίας, 'Αζαρίας τε καὶ Μισαὴλ μετὰ πάντα τὰ ὄντα ἐξειπεῖν ἐπήνεγκαν λέγοντες· «εὐλογεῖτε πάντες οἱ σεβόμενοι κύριον τὸν θεὸν <τῶν θεῶν>, ὑμνεῖτε καὶ ἐξομολογεῖσθε, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.[1]»

XXXI. Οἱ μὲν οὖν Βαβυλώνιοι ὁρῶντες τοὺς τρεῖς παῖδας ἐν τῇ καμίνῳ ὑμνοῦντας «οὐ διέλιπον» «καίοντες νάφθαν καὶ πίσσαν, στυπίον καὶ κληματίδα καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου πήχεις τεσ<σαράκοντα ἐννέα·[2]» ...> θεῷ. «καὶ διώδευσεν» τὸ πῦρ, φησίν, «καὶ <ἐνεπύρισεν οὓς> εὗρεν πε<ρὶ τὴν κάμι>νον τῶν Χαλδαίων.[3]» ὁρᾶτε πῶς αὐτὸ τὸ πῦρ φρόνιμον ὑπάρχει, ἐπιγινῶσκον καὶ κολάζον τοὺς αἰτίους; τῶν μὲν γὰρ δούλων τοῦ θεοῦ «οὐχ ἥψατο», τοὺς δὲ ἀπίστους καὶ ἀθέους τῶν Χαλδαίων κατεφλόγισεν· καὶ οἱ μὲν εἴσω ὄντες ἐν τῇ καμίνῳ ὑπὸ τοῦ ἀγγέλου ἐδροσίζοντο, οἱ δὲ δοκοῦντες ἔξω τῆς καμίνου ἀμέριμνοι ἑστάναι αὐτοὶ ὑπὸ τοῦ πυρὸς διεφθάρησαν. καὶ ὡς ἡ γραφὴ λέγει· «ὁ δὲ ἄγγελος τοῦ θεοῦ συγκατέβη ἅμα τοῖς περὶ τὸν 'Αζαρίαν εἰς τὴν κάμινον καὶ ἐξετίναξεν τὴν φλόγα τοῦ πυρὸς τῆς καμίνου καὶ ἐποίησεν τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον, καὶ οὐ|χ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ οὐδὲ ἐλύπησεν οὐδὲ παρηνώχλησεν αὐτούς.[4]»

XXXII. Ζητεῖν οὖν χρή· τίς ἦν οὗτος ὁ ἄγγελος ὁ ἐν τῇ καμίνῳ φανεὶς καὶ ὡς τ<έ>κνα ἴδια ὑπὸ τὰς ἀγκάλας τοὺς παῖδας συντηρῶν, καὶ τοῖς μὲν εἴσω τὸ πῦρ εἰς δρόσον ὕδατος τρέψας, τοῖς δὲ ἔξω τὸ ἑαυτοῦ κριτήριον ἀπονείμας, ὡς γέγραπται «ᾧ μέτρῳ μετρεῖτε ἀντιμετρηθήσεται ὑμῖν[5]»; οὐκ ἄλλος ἦν, μὴ πλανῶ, ἀλλ' ἢ οὗτος ὁ καὶ τοὺς Αἰγυπτίους ἐν ὕδατι κρίνας. ἀνθ' ὧν γὰρ ἐκεῖνοι τότε τὰ ἄρρενα τῶν 'Εβραίων βρέφη ἐν τῷ ποταμῷ ἔρριπτον, τῷ αὐτῷ τρόπῳ κἀκεῖνοι ἐν τῇ θαλάσσῃ ἀπώλοντο ἐν τῷ ὕδατι δικαίως βυθισθέντες, ἵνα ἰσόρροπος ἀμοιβὴ τοῖς κακῶς πράσσουσιν ἀποδοθῇ. οὗτος ἦν ὁ τὴν ἐξουσίαν τῆς κρίσεως παρὰ τοῦ πατρὸς λαβών·[6] ὁ καὶ ἐν Σοδόμοις τὸ πῦρ καὶ τὸ θεῖον ἐπι|βρέξας, καὶ τούτους διὰ τὴν αὐτῶν ἀνομίαν καὶ κ<α>κὴν

1. Δαν. (Ὕμν. τῶν τριῶν παίδων) 67. 2. Δαν. (Ὕμν. τῶν τριῶν παίδων) 22-23. 3. Δαν. (Ὕμν. τῶν τριῶν παίδων) 24. 4. Δαν. (Ὕμν. τῶν τριῶν παίδων) 25-26. 5. Λουκ. 6, 38. 6. 'Ιω. 5, 27.

ἀσέβειαν καταφθείρας.[1] τοῦτον καὶ Ἰεζεκιὴλ ὁμολογεῖ τὸ πῦρ ἐν τῇ χειρὶ λαβόντα καὶ <κ>ρατοῦντα περιμένοντα τὴν τοῦ πατρὸς φωνήν, ὅτε κελεύσει ἐπιρρῖψαι ἐπὶ τὸν κόσμον.[2] τοῦτον ἰδὸν τὸ πῦρ ἐν τῇ καμίνῳ ἐδειλίασεν καὶ τὸ τούτου ὑπεραυγάζον φῶς ἰδὸν ἐτρόμασεν. περὶ τούτου Ἡσαΐας λέγει· «τὸ ὄνομα αὐτοῦ καλεῖται μεγάλης βουλῆς ἄγγελος.[3]» τοῦτον ἡ γραφὴ καὶ ἄγγελον θεοῦ ὡμολόγησεν· αὐτὸς γὰρ ἦν ὁ ἀναγγείλας ἡμῖν τὰ τοῦ πατρὸς μυστήρια. οὗτος «συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον.» τοῦτον τὸν ἄγγελον ἰδὸν τὸ πῦρ ἐπέγνω τὸν ἑαυτοῦ δεσπότην καὶ φοβηθὲν ἔφυγεν ἔξω καὶ διὰ τοῦτο εἰς «τεσσαράκοντα ἐννέα» «πήχεις» ὑψώθη· ἐλασθὲν γὰρ ἔσωθεν ἔξω ἐξέβλυσεν, καὶ ἐγένετο «τὸ μέσον τῆς καμίνου» δρόσος λεπτὴ «διασυ|<ρίζον»», καθόλου ὀσμὴν πυρὸς οὐκ ἔχον ἐν ἑαυτῷ. ὁ γὰρ «ἄγγελος» ἐν τῇ καμίνῳ ἑστὼς «ἐξετίναξεν...» «τὴν> φλόγα», καὶ τοῦτο τελούμενον «διεχεῖτο» κύκλῳ «τῆς καμίνου ἐπὶ πήχεις τεσσαράκοντα ἐννέα.»

XXXIII. Τότε ἰδὼν «Ναβουχοδονόσορ» τὸ γενόμενον «ἐθαύμασεν καὶ ἐξανέστη ἐν σπουδῇ» καὶ «ἤκουσεν ὑμνούντων αὐτῶν» «καὶ εἶπεν τοῖς μεγιστᾶσιν αὐτοῦ· οὐχὶ τρεῖς ἄνδρας ἐβάλομεν εἰς τὸ μέσον τοῦ πυρὸς πεπεδημένους;» οἱ δὲ εἶπαν· «ἀληθῶς, βασιλεῦ.» ὁ δὲ ἀποκριθεὶς ἔφη· «ὧδε ἐγὼ ὁρῶ ἄνδρας τέσσαρας λελυμένους καὶ περιπατοῦντας ἐν μέσῳ τοῦ πυρὸς καὶ διαφθορὰ οὐκ ἔστιν ἐν αὐτοῖς καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ θεοῦ.[4]» Εἰπέ μοι, Ναβουχοδονόσορ, πότε γὰρ εἶδες τὸν υἱὸν τοῦ θεοῦ, ἵνα υἱὸν θεοῦ τοῦτον ὁμολογήσῃς; τίς δὲ ὁ τὴν καρδίαν σου κατανύξας, ἵνα τοιοῦτον ῥῆμα ἀποφθέγξῃ; ποί|οις δὲ ὀφθαλμοῖς ἐδυνήθης τοῦτο τὸ φῶς ἐνοπτρίσασθαι; διὰ τί δὲ σοὶ μόνῳ καὶ οὐδενὶ τῶν ἄλλων σατραπῶν ἐπεδείχθη; ἀλλ' ἐπεὶ γεγραμμένον ἦν «καρδία βασιλέως ἐν χειρὶ θεοῦ.[5]» αὕτη ἡ τοῦ θεοῦ χείρ, ὅπερ ἦν ὁ λόγος, τὴν καρδίαν τούτου κατένυξεν, ἵνα ἐπιγνοὺς τοῦτον ἐν τῇ καμίνῳ δοξάσῃ. καὶ τοῦτο δὲ οὐκ ἀργὸν τὸ ὑφ' ἡμῶν νενοημένον. ἐπειδὴ γὰρ ἤμελλον οἱ υἱοὶ Ἰσραὴλ τὸν υἱὸν τοῦ θεοῦ ἰδόντες ἐν κόσμῳ μὴ πιστεύειν, προαπέδειξεν ἡ γραφὴ ὅτι μελλήσουσιν τὰ ἔθνη τοῦτον ἔνσαρκον ἐπιγινώσκειν, ὃν πάλαι ἄσαρκον ἰδὼν ἐπέγνω [τοῦτον] ὁ Ναβουχοδονόσορ καὶ υἱὸν θεοῦ τοῦτον εἶναι ὡμολόγησεν.

XXXIV. «Τότε προσῆλθεν Ναβουχοδονόσορ πρὸς τὴν θύραν τῆς καμίνου τῆς καιομένης καὶ εἶπε· Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγώ, οἱ δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε καὶ δεῦτε.[6]» ἐπειδὴ γὰρ αὐτὸς εἰς τὴν κάμι|<νον εἰσελθεῖν οὐκ ἠδύνατο, ἐκέλευσεν ἐκείνους ἐξέρχεσθαι.> καὶ τῶν μὲν τριῶν τὰ ὀνόματα ἐκάλεσεν, τοῦ δὲ τετάρτου οὐχ εὗρεν ἐξειπεῖν· οὐδέπω γὰρ ἦν ἐκ τῆς παρθένου γεγεννημένος ὁ Ἰησοῦς. «καὶ συνάγονται οἱ σατράπαι καὶ οἱ στρατηγοὶ καὶ τοπάρχαι καὶ δυνάσται

1. Γεν. 19, 24. 2. Ἰεζ. 10, 1 ἑξ. 3. Ἡσ. 9, 6. 4. Δαν. 3, 23 ἑξ. 5. Παρμ. 21, 1. 6. Δαν. 3, 26.

τοῦ βασιλέως καὶ ἐθεώρουν τοὺς ἄνδρας, ὅτι οὐκ ἐκυρίευσεν τὸ πῦρ τοῦ σώματος αὐτῶν καὶ θρὶξ τῆς κεφαλῆς αὐτῶν οὐκ ἐφλογίσθη, καὶ τὰ σαράβαρα αὐτῶν οὐκ ἠλλοιώθη καὶ ὀσμὴ πυρὸς οὐκ ἦν ἐν αὐτοῖς.[1]»

XXXV. Ἀλλ' ἴσως ἐρεῖ τις· διὰ τί οὖν τοὺς πάλαι μάρτυρας ἐρρύετο ὁ θεός, τοὺς δὲ νῦν οὐχ οὕτως; εὑρίσκομεν γὰρ τὸν μακάριον Δανιὴλ δὶς ἐν λάκκῳ λεόντων βληθέντα καὶ τοῦτον ὑπὸ τῶν θηρίων μὴ διαφθαρέντα, τοὺς δὲ τρεῖς παῖδας ἐν τῇ καμίνῳ καὶ τούτους ὑπὸ τοῦ πυρὸς μὴ ἀδικηθέντας. πρόσεχε.... <τούτου>ς στεφανώσας προσελάμβανεν. τοὺς μὲν γὰρ τρεῖς παῖδας ἐρρύσατο, ἵνα τὸ τοῦ Ναβουχοδονόσορ καύχημα μηδὲν ὂν φανῇ, ἐνδείξασθαι τοῦτο βουλόμενος, ὅτι «τὰ ἀδύνατα παρὰ ἀνθρώποις, δυνατὰ παρὰ θεῷ.[2]» ἐπειδὴ γὰρ μεγαλοφρονῶν Ναβουχοδονόσορ εἶπεν· «καὶ τίς ἐστιν θεὸς ὃς» δυνήσεται ῥύσασθαι «ὑμᾶς» «ἐκ τῆς καμίνου τοῦ πυρός», ἔδειξεν αὐτῷ ὁ θεός, ὅτι «δυνατός» ἐστιν ῥύσασθαι τοὺς ἑαυτοῦ δούλους, ἡνίκα ἂν θέλῃ. καὶ γὰρ ὁμοίως ἐπὶ τοῦ Δανιὴλ συνέβη. τοῦ γὰρ Δαρείου εἰπόντος· «ὁ θεός, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς, <εἰ> ἠδυνήθη ῥύσασθαί σε ἐκ τοῦ στόματος τῶν λεόντων;[3]» ἀπεκρίθη Δανιὴλ «καὶ εἶπεν»· «ὁ θεὸς ἐξαπέστειλεν τὸν ἄ|<γγελον αὐτοῦ καὶ ἐνέφραξε τὰ στόματα τῶν λεόντων καὶ οὐκ ἐλυμήναντό με.[4]» πάντες γὰρ «οἱ σατράπαι ἐζήτουν» ἀ>φορμήν, ἵνα ἀποκτείνωσιν τὸν Δανιὴλ τοῖς θηρίοις παραδόντες· ὁ δὲ θεὸς εἰδὼς τὴν ἐκείνων κακομηχανίαν καὶ τὴν τοῦ μακαρίου Δανιὴλ ἁπλότητα ἐρρύσατο αὐτὸν «ἐκ στόματος τῶν λεόντων», ὥστε οὓς μὲν θέλει ῥύεται, οὓς δὲ θέλει παραλαμβάνει. εὑρίσκομεν γὰρ καὶ τοὺς ἑπτὰ μάρτυρας ἐπὶ Ἀντιόχου δεινὰς κολάσεις ὑπομείναντας καὶ ἐκ τοῦ κόσμου παραληφθέντας. τί οὖν; οὐκ ἠδύνατο ὁ θεὸς πατάξαι τὸν βασιλέα Ἀντίοχον καὶ ῥύσασθαι τοὺς ἑπτὰ ἀδελφούς; ἠδύνατο· ἀλλ' ἵνα ἡμέτερος οὗτος γένηται ὑπογραμμός. εἰ γὰρ πάντας ἐρρύετο, τίς ἤμελλεν μαρτυρεῖν; εἰ δὲ πάντες ἐμαρτύρουν ἀποθνήσκοντες, ἐλέγετο ἂν ὑπό τινων ἀπίστων|...

XXXVI. ...«ἐάν τε <γὰρ ζῶμεν, τῷ κυρίῳ> ζῶμεν· <ἐάν τε ἀπο>θνήσκωμεν, τῷ κυρίῳ ἀποθνήσκομεν· <ἐάν τε> ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ κυρίου ἐσμέν.[5]» ἐρρύσατο τὸν Ἰωνᾶν ἐκ κοιλίας τοῦ κήτους, ἐπεὶ ἠθέλησεν. ἐρρύσατο καὶ τὸν Πέτρον ἐκ χειρὸς Ἡρώδου ἐξαγαγὼν αὐτὸν ἐκ τῆς φυλακῆς, ἐπεὶ καὶ τοῦτον ἔτι [καὶ] ζῆν ἠθέλησεν·[6] παρέλαβεν κατὰ χρόνον ὑπὲρ τοῦ ὀνόματος σταυρωθέντα, ὅτε αὐτὸς ἠθέλησεν. Παῦλον ἐρρύσατο ἐκ κινδύνων πολλῶν ἐπεὶ ἠθέλησεν· παρέλαβεν αὐτὸν ἀποκεφαλισθέντα μετὰ χρόνον, καὶ τοῦτον ὅτε ἠθέλησεν. Στέφανον εἴασεν λιθασθῆναι ὑπὸ Ἰουδαίων, ἀλλὰ ὑπομείναντα τοῦτον ἐστεφάνωσεν. πῶς σὺ σήμερον ἤμελλες μαρτυρεῖν, εἰ μὴ ἐκεῖνοι πρῶτοι μαρτυρήσαντες ἐμακαρίσθησαν; ἔχεις οὖν ἐν τῇ παλαιᾷ | διαθήκῃ <πολλούς...>

1. Δαν. 3, 27. 2. Λουκ. 18, 27. 3. Δαν. 6, 20. 4. Δαν. 6, 22. 5. Ῥωμ. 14, 8. 6. Πρβλ. Πράξ. 12, 7.

μαρτυρή<σαντας, πολλούς> δὲ <καὶ> ῥ<υσθέντας, ἵνα εἷς> καὶ ὁ αὐτὸς θεὸς <πάλαι καὶ> νῦν ὢν ἐπιδει<κνύητ>αι, ἐξουσίαν ἔχων ἐκ τῶν δούλων αὐτοῦ ποιεῖν <ὅ>περ ἂν θέλῃ. ἔλθωμεν δὲ καὶ ἐπ' αὐτὸν τὸν βασιλέα τῆς δόξης καὶ εἴπωμεν περὶ τοῦ υἱοῦ τοῦ θεοῦ. οὐκ ἠδύνατο ὁ θεὸς ῥύσασθαι τὸν Χριστὸν αὐτοῦ, ἵνα μὴ παραδοθῇ τοῖς Ἰουδαίοις; <ναί, ἠδύνατο·> ἀλλ' εἴασεν αὐτὸν παθεῖν, ἵνα ἡμεῖς διὰ τοῦ θανάτου τοῦ σταυροῦ αὐτοῦ ζήσωμεν· καὶ διὰ τοῦτο εἰδὼς ὁ υἱὸς τὴν βουλὴν τοῦ πατρὸς ἔλεγεν· «πάτερ» «μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν γενέσθω.[1]»

XXXVII. Τί δέ σοι συμφέρει, ὦ ἄνθρωπε, μαρτυρήσαντα ἐν δόξῃ ἐξελθεῖν ἐκ τοῦ κόσμου τούτου, ἢ ῥυσθέντα καὶ ἐνθάδε ἀπομείναντα ἁμαρτάνειν; πολλοὺς γὰρ ἴσμεν ὁμολογήσαντας πρὸ βήματος καὶ δι' ἀφορμῆς τινος κατὰ θεοῦ πρόνοιαν ἀπολυθέντας καὶ τούτους χρόνον ἐπιβιώσαντας| .... <αὐ>τοῖς μᾶλλον, εἰ ἐξεληλύθεσ<αν> ἐκ τοῦ κόσμου τούτου καθαροί, ἔχοντες τὸν ἐπουράνιον στέφανον ἢ ἀπομείναντας ἐπισωρεύειν ἑαυτοῖς ἁμαρτίας, περὶ ὧν λόγον ἀποδοῦναι ἔχουσιν. ὥστε εὐχέσθω ὁ ἕνεκεν τοῦ ὀνόματος προσφερόμενος οἵῳ δήποτε τρόπῳ μαρτυρήσας ἐξελθεῖν. οὗτος γὰρ οὐκέτι οὐδὲ κρίνεται ἀλλὰ κρινεῖ, μέρος ἴδιον ἐν τῇ πρώτῃ ἀναστάσει ἔχων. ἑδραῖος οὖν γενοῦ, ὦ ἄνθρωπε, μήποτε τῇ πίστει βαμβαίνων, καὶ ὅτ' ἂν κληθῇς εἰς μαρτύριον προθύμως ἐπάκουσον, ἵνα ἡ πίστις σου φανῇ· τυχὸν δὲ ὁ θεὸς ἐπείραζέν σε ὡς τὸν Ἀβραάμ, ἡνίκα ᾔτησεν τὸν Ἰσαάκ. ἐάν σε προσενεχθέντα θελήσῃ ῥύσασθαι, καὶ ἐν τούτῳ τὸν θεὸν δόξαζε. μίμησαι καὶ σὺ τοὺς τρεῖς παῖδας καὶ τὴν τούτων | <πίστιν κατανόησον· εἶπαν γὰρ τῷ βασιλεῖ· «δυνατὸς» ὁ θεὸς «ἐξελέσθαι ἡμᾶς», «ἐὰν» δὲ «μὴ» βούληται, ἐν> ἐξουσίᾳ θεοῦ ἐσμέν... ἡδέ<ως> ἀποθνήσκομεν ἢ ποιοῦμεν τὸ ὑπό σου προστεταγμένον. οὓς καὶ ἰδὼν τότε Ναβουχοδονόσορ καθαροὺς καὶ ἀμώμους ἐκ τῆς καμίνου ἐξελθόντας καταπλαγεὶς ἐθαύμασεν· οὔτε γὰρ «θρὶξ» τούτων «ἐφλογίσθη», οὔτε «τὰ σαράβαρα αὐτῶν» «ἠλλοιώθη», ἀλλ οὐδὲ «ὀσμὴ πυρὸς» «ἦν ἐν αὐτοῖς.»

XXXVIII. Οὕτως οὖν ἀποκριθεὶς Ναβουχοδονόσορ ἔφη· «εὐλογητὸς ὁ θεὸς τοῦ Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγώ, ὃς ἀπέστειλεν τὸν ἄγγελον αὐτοῦ καὶ ἐρρύσατο τοὺς παῖδας αὐτοῦ ὅτι ἐπεποίθεισαν ἐπ' αὐτῷ, καὶ τὸ ῥῆμα τοῦ βασιλέως ἠλλοίωσαν καὶ παρέδωκαν τὰ σώματα αὐτῶν, ὅπως μὴ λατρεύσωσιν παντὶ θεῷ, ἀλλ ἢ τῷ θεῷ αὐτῶν. κἀγὼ ἐκτίθεμαι δόγμα· πᾶς λαὸς φυλὴ γλῶσσα ἐὰν εἴπῃ | <βλασφημίαν κατὰ τοῦ θεοῦ Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγὼ εἰς ἀπώλειαν ἔσονται καὶ οἱ οἶ>κοι αὐτῶν εἰς διαρπαγήν· ὅτι οὐκ ἔστιν θεὸς ἕτερος, ὅστις δυνήσεται ῥύσασθαι οὕτως.[2]» καὶ «κατεύθυνεν τὸν Σεδράκ, Μισὰκ καὶ Ἀβδεναγὼ ἐν τῇ χώρᾳ Βαβυλῶνος καὶ ηὔξησεν αὐτοὺς καὶ ἠξίωσεν ἡγεῖσθαι πάντων τῶν Ἰουδαίων τῶν ὄντων ἐν τῇ βασιλείᾳ αὐτοῦ.» — δεῖ οὖν ἐνορᾶν, ἀγαπητοί, πόσην χάριν παρέχει ἡ πρὸς <τὸν> θεὸν πίστις.

1. Λουκ. 22, 42. 2. Δαν. 3, 28-29.

ὥσπερ γὰρ αὐτὸν τὸν θεὸν ἐδόξασαν, ἑαυτοὺς τῷ θανάτῳ παραδόντες, οὕτως πάλιν καὶ αὐτοί, οὐ μόνον ὑπὸ θεοῦ, ἀλλὰ καὶ ὑπὸ τοῦ βασιλέως ἐδοξάσθησαν καὶ τὰ ἀλλόφυλα καὶ βάρβαρα ἔθνη τὸν θεὸν σέβειν ἐδίδαξαν. καὶ γάρ ἐστιν ἀληθῶς καταλαβέσθαι ἕως νῦν τοῦτο γινόμενον. ἡνίκα γὰρ ἄν τις τῶν ἁγίων ἐπὶ μαρτύριον κληθῇ καὶ μεγαλεῖά τινα ὑπὸ θεοῦ εἰς αὐτὸν γενηθῇ, εὐθέως | <πάντες ἰδόντες θαυμά>ζουσιν... πολλοὶ <δὲ δι' αὐ>τῶν πιστεύσαντες <ὡσαύτως καὶ> αὐτοὶ μάρ<τυρες> θεοῦ γίνονται. ᾧ πιστεύσαντες καὶ ἡμεῖς ἀξίους ἑαυτοὺς θεῷ παραστήσωμεν σωφρονοῦντι σώματι καὶ ψυχῇ καὶ πνεύματι, ἵνα τὸν τῆς ἀφθαρσίας στέφανον καὶ ἡμεῖς λαβόντες ἅμα τοῖς μακαρίοις μάρτυσιν σὺν αὐτοῖς τὸν θεὸν ὑμνήσωμεν. αὐτῷ γὰρ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΛΟΓΟΣ Γ'.

Περὶ Ναβουχοδονόσορ καὶ <περὶ> τοῦ Δανιήλ, ὅτε ἐβλήθη εἰς τοὺς λέοντας.

I. «Ναβουχοδονόσορ ὁ βασιλεὺς πᾶσιν τοῖς λαοῖς φυλαῖς γλώσσαις τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ· εἰρήνη ὑμῖν πληθυνθείη. τὰ σημεῖα καὶ τὰ τέρατα, ἃ ἐποίησεν μετ' ἐμοῦ ὁ θεός, ἤρεσεν ἐναντίον μου ἀπαγγεῖλαι ὑμῖν ὡς μεγάλα καὶ ἰσχυρά· ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος καὶ ἡ ἐξουσία | <αὐτοῦ εἰς γενεὰν καὶ γενεάν. ἐγὼ Ναβουχοδονόσορ εὐθηνῶν ἤμην ἐν τῷ οἴκῳ μου καὶ εὐθαλῶν ἐπὶ τοῦ θρόνου μου· ἐνύπνιον ἴδον καὶ ἐφοβέρισέ με καὶ ἐ>ταράχθην ἐπὶ <τῆς> κοίτης μου καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάραξάν με. καὶ δι' ἐμοῦ ἐτέθη δόγμα τοῦ εἰσαγαγεῖν ἐνώπιόν μου πάντας τοὺς σοφοὺς Βαβυλῶνος, ὅπως τὴν σύγκρισιν τοῦ ἐνυπνίου γνωρίσωσίν μοι. καὶ εἰσεπορεύοντο <οἱ ἐπαοιδοὶ> μάγοι γαζαρηνοὶ Χαλδαῖοι· καὶ τὸ ἐνύπνιον εἶπον ἐγὼ ἐνώπιον αὐτῶν, καὶ τὴν σύγκρισιν αὐτοῦ οὐκ ἐγνώρισάν μοι. ἕως οὗ ἦλθεν Δανιήλ, οὗ τὸ ὄνομα Βαλτάσαρ κατὰ τὸ ὄνομα τοῦ θεοῦ μου, ὃς πνεῦμα θεοῦ ἅγιον ἐν ἑαυτῷ ἔχει· ᾧ εἶπα· Βαλτάσαρ ὁ ἄρχων τῶν ἐπαοιδῶν, ὃν ἐγὼ ἔγνων ὅτι πνεῦμα θεοῦ ἅγιον ἐν σοὶ καὶ πᾶν μυστήριον οὐκ ἀδυνατήσει σοι· ἄκουσον τοῦ ἐνυπνίου οὗ ἴδον καὶ τὴν σύγκρισιν αὐτοῦ εἰπόν μοι.[1]»

II. Τὰ μὲν οὖν | <συμβάντ>α τότε ἐπὶ τῶν <τριῶν> παίδων θαυμάσια ἰδὼν Ναβουχοδονόσορ καὶ καταπλαγείς, πᾶσιν τοῖς ὑπ' αὐτὸν οὖσιν λαοῖς φυλαῖς γλώσσαις προθεὶς διὰ δόγματος δημοσίως ἀνήγγειλεν, ὅπως καὶ αὐτοὶ ἀκούσαντες τὰ γενόμενα τὸν θεὸν φοβηθέντες δοξάσωσιν, καθὼς καὶ αὐτὸς αἰνῶν ἔλεγεν «ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος καὶ ἡ ἐξουσία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.» ἔπειτα τὸ συμβὰν

1. Δαν. 3, 31-4, 6.

ἐπὶ τῷ δευτέρῳ αὐτοῦ ὁράματι διηγήσατο, ὡς οὐδεὶς τῶν μάγων γαζαρηνῶν Χαλδαίων ἠδυνήθη τὸ ῥῆμα ἀπαγγεῖλαι τῷ βασιλεῖ, ἕως ἐκλήθη Δανιὴλ ὁ καὶ τὸ πρῶτον αὐτῷ ὅραμα διηγησάμενος, ἵνα ἐν πᾶσιν ὁ θεὸς τοὺς ἰδίους αὐτοῦ δούλους τοὺς προφήτας δοξάσῃ παρὰ τὰ λοιπὰ βάρβαρα καὶ ἀλλόφυλα ἔθνη, ἃ ἐδόκουν ἐν τῇ ἑαυτῶν τῇ ἀνθρωπίνῃ σοφίᾳ ἐπαίρεσθαι ἐπίγειον μάθησιν ἠσκημένα. ἡ | <γὰρ ἐκ τοῦ> θεοῦ «χάρις <καὶ δωρεά>[1]» ἄνωθεν <ἐκ τοῦ> οὐρανοῦ ἦν παρέχουσα <τὸ>ν ἑαυτῆς πλοῦτον τοῖς ἀξίοις· ἧς μετεῖχον οἱ μακάριοι προφῆται ὑπὸ τοῦ ἁγίου πνεύματος ἀεὶ συνετιζόμενοι. καθ' ἃ καὶ ὁ ἀπόστολος πρὸς Κορινθίους γράφων φησίν· «κἀγὼ ἦλθον πρὸς ὑμᾶς» «οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις», «καταγγέλλων ὑμῖν τὸ μυστήριον τοῦ Χριστοῦ», «ἀλλ' ἐν διδακτοῖς πνεύματος, πνευματικοῖς πνευματικὰ συγκρίνοντες.[2]» οὕτως οὖν καὶ ἐν Βαβυλῶνι τῶν μὲν σοφῶν πάντων ἡ ἐπίγειος σοφία ἐμωράνθη, μὴ δυνηθέντων τὸ ἐνύπνιον τοῦ βασιλέως συγκρῖναι, «ἕως οὗ <ἦλθεν> Δανιήλ», «ὃς πνεῦμα <θεοῦ> ἅγιον εἶχεν ἐν αὐτῷ», καθ' ὃ καὶ αὐτὸς ὁ βασιλεὺς ἐν πολλοῖς τοῦτον δοκιμάσας ἐμαρτύρησεν, καὶ τοῦτο γραπτῶς δημοσίᾳ προέθηκεν, ἵνα μὴ μόνον ὑπ' αὐτοῦ τοῦ βασιλέως ἔντιμος ὢν φανῇ, ἀλλὰ καὶ ὑπὸ πάντων τῶν ὑποτεταγ|μένων <τῷ βασιλεῖ> ὡς θεοῦ ἄνθρωπος καὶ μέγας προφήτης ὀνομασθῇ. ὥσπερ καὶ οἱ Αἰγύπτιοι πάλ<αι> ἰδόντες τὰ διὰ Μωϋσέως θαυμάσια ἔργα ἐπὶ τῶν δέκα πληγῶν γεγενημένα φοβηθέντες Μεννουθὶμ τοῦτον ὠνόμασαν, ὅ ἐστιν αἰγυπτιστὶ ἄνθρωπος τοῦ θεοῦ· τὸ γὰρ μεννοῦ καλεῖται ἄνθρωπος, θὶμ δὲ θεός· οὕτως καὶ Ναβουχοδονόσορ περὶ τοῦ Δανιὴλ ἐμαρτύρησεν, ὅτι «πνεῦμα θεοῦ ἅγιον ἐν αὐτῷ ἔχει.[3]»

III. Οὗ κληθέντος τότε καὶ ἐνώπιον τοῦ βασιλέως σταθέντος ἀπεκρίθη πρὸς αὐτόν· «ἐπὶ τῆς κοίτης μου ἐθεώρουν, καὶ ἰδοὺ δένδρον ἐν μέσῳ τῆς γῆς καὶ τὸ ὕψος αὐτοῦ πολύ. ἐμεγαλύνθη τὸ δένδρον καὶ ἴσχυσεν καὶ τὸ ὕψος αὐτοῦ ἔφθασεν ἕως τοῦ οὐρανοῦ καὶ τὸ κύτος αὐτοῦ εἰς τὰ πέρατα πάσης τῆς γῆς· τὰ φύλλα αὐτοῦ ὡραῖα καὶ ὁ καρπὸς αὐτοῦ πολύς, καὶ τροφὴ πάντων ἐν αὐτῷ· ὑποκάτω αὐτοῦ | κατ<εσκήν>ουν <τὰ> θηρία τὰ ἄγρια, καὶ ἐν τοῖς κλάδοις αὐτοῦ <κατῴ>κουν τὰ ὄρνεα <τοῦ οὐρανοῦ καὶ> ἐξ αὐτοῦ ἐτρέφετο <πᾶσα σάρξ. ἐθεώρουν ἐν ὁρά>ματι τῆς νυκτὸς ἐπὶ τῆς κοίτης μου, καὶ ἰδοὺ εἶρ καὶ ἅγιος κατέβη ἀπὸ τοῦ οὐρανοῦ καὶ ἐφώνησεν ἐν ἰσχύϊ καὶ εἶπεν· ἐκκόψατε τὸ δένδρον καὶ ἐκτίλατε τοὺς κλάδους αὐτοῦ καὶ ἐκτινάξατε τὰ φύλλα αὐτοῦ καὶ διασκορπίσατε τὸν καρπὸν αὐτοῦ· σαλευθήτω τὰ θηρία ὑποκάτωθεν αὐτοῦ καὶ τὰ ὄρνεα ἀπὸ τῶν κλάδων αὐτοῦ· πλὴν τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ ἐν τῇ γῇ ἐάσατε, καὶ ἐν δεσμῷ χαλκῷ καὶ σιδηρῷ καὶ ἐν τῇ χλόῃ τῇ ἔξω καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ κοιτασθήσεται <καὶ> μετὰ τῶν θηρίων ἡ μερὶς αὐτοῦ καὶ ἐν τῷ χόρτῳ τῆς γῆς.

1. Ῥωμ. 5, 15. 2. Α' Κορ. 2, 1, 13. 3. Δαν. 4, 15.

ἡ καρδία αὐτοῦ ἀπὸ τῶν ἀνθρώπων ἀλλοιωθήσεται <καὶ καρδία θηρίου δοθήσεται> αὐτῷ καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπ' αὐτόν· διὰ συγκρίμα|τος <εἶρ ὁ λόγος καὶ ῥῆμα ἅγιον τὸ ἐπερώτημα, ἵνα γνῶσιν οἱ ζῶντες, ὅτι κύριός ἐστιν ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων> καὶ ᾧ ἐὰν δόξῃ δώσει αὐτήν, καὶ ἐξουδένωμα ἀνθρώπων ἀναστήσει ἐπ' αὐτήν. τοῦτο τὸ ἐνύπνιον ἴδον ἐγὼ Ναβουχοδονόσορ ὁ βασιλεύς, καὶ σὺ Βαλτάσαρ τὸ σύγκριμα αὐτοῦ εἰπόν· ὅτι πάντες οἱ σοφοὶ τῆς βασιλείας μου οὐ δύνανται τὸ σύγκριμα αὐτοῦ δηλῶσαί μοι, σὺ δὲ Δανιὴλ δύνασαι, ὅτι πνεῦμα ἅγιον ἐν σοί.[1]»

IV. Ἦν μὲν τὸ ἐνύπνιον τὸ ὑπὸ τοῦ Ναβουχοδονόσορ ἑωραμένον πρὸς ἐπιτιμίαν αὐτῷ τῷ βασιλεῖ δεδειγμένον· ἀνθ' ὧν γὰρ ὑψώθη ἡ καρδία αὐτοῦ καὶ κατὰ τοῦ θεοῦ ἐπήρθη εἰκόνα χρυσῆν ἀναστήσας καὶ πάντας εἰδωλολάτρας εἶναι ἀναγκάσας, ἐπεδείχθη αὐτῷ δι' ὁράματος, ὅτι καὶ αὐτὸς ἐν τῇ τοῦ θεοῦ ἐξουσίᾳ ὢν τυγχάνει, εἰ καὶ ἐδόκει ὑπὲρ πάντας τότε βα|<σιλεῖς>... «σὺ βασιλεῦ, βασιλεὺς βασιλέων, ᾧ ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν ἰσχυρὰν καὶ κραταιὰν ἔδωκεν ἐν παντὶ τόπῳ ᾧ κατοικοῦσιν οἱ υἱοὶ τῶν ἀνθρώπων.[2]» καὶ αὐτὸς δὲ Ναβουχοδονόσορ ἐπὶ τῷ συγκρῖναι τὸν Δανιὴλ τὸ ἐνύπνιον θαυμάσας ὁμοίως ἔφη· «ἐπ' ἀληθείας ὁ θεὸς ὑμῶν αὐτός ἐστιν θεὸς θεῶν καὶ κύριος κυρίων, ὅτι ἠδυνήθης ἀποκαλύψαι τὸ μυστήριον τοῦτο.[3]» ἐπεὶ οὖν ἐπιλαθόμενος τῶν προτέρων αὐτοῦ ῥημάτων ἐπήρθη ὕστερον ὑπερηφάνως, ἔλαβεν ταύτην παρὰ θεοῦ ἐπιτιμίαν ὑπόδειγμα καὶ ὑπογραμμὸς πᾶσιν ἀνθρώποις τυράννοις τε καὶ βασιλεῦσιν γενόμενος, ὡς μὴ τὰ ὑπὲρ ἄνθρωπον φρονοῦντας ἀλαζονεύεσθαι καὶ κατὰ τοῦ θεοῦ ἐπαιρομένους καυχᾶσθαι, ἀλλὰ καὶ αὐτοὺς προορῶντας τὸν ἑαυτῶν κίνδυνον | τὸν θεὸν φοβεῖσθαι «εἰδότας ὅτι καὶ» αὐτοὶ «κύριον ἔχουσιν ἐνουράνιον.[4]» καὶ γὰρ Ἀντίοχος ὁ ἐπικληθεὶς Ἐπιφανής, [ὁ] βασιλεὺς τῆς Συρίας γεγονώς, ποικίλαις βασάνοις αἰκισάμενος τοὺς δούλους τοῦ θεοῦ καὶ τὰ χείριστα τολμήσας, ὕστερον καὶ αὐτὸς τῆς παρὰ θεοῦ ἀξίας ἔτυχεν τιμωρίας «θείᾳ μάστιγι» ἐπιπληχθείς, ὡς μὴ δύνασθαι αὐτὸν μηδὲ τὴν ἑαυτοῦ ὀσμὴν ὑπενεγκεῖν, ἀλλ' ἔτι «ζῶντος» αὐτοῦ ἐκ τῶν ὀφθαλμῶν «τοῦ δυσσεβοῦς σκώληκας ἀναζεῖν», δι' ὃ καὶ πολλαῖς λιτανείαις καὶ ἐξομολογήσεσιν πρὸς τὸν θεὸν χρησάμενος οὐκ ἔτυχεν τῆς παρ' αὐτοῦ σωτηρίας. ὃς καὶ ἀφελπίσας ἑαυτὸν καὶ «εἰς ἐπίγνωσιν λοιπὸν τῶν ἀνθρωπίνων ἐλθών, μέλλων τελευτᾶν οὕτως ἔφησεν· «δίκαιον ὑποτάσσεσθαι θεῷ, καὶ μὴ θνητὸν ὄντα ἰσόθεα φρονεῖν.[5]» ὥστε, ὅσοι βασιλεῖς εὐλαβῶς καὶ θεοφιλῶς ἀνεστράφησαν, οὗτοι καὶ πα|ρὰ θεοῦ ἐτιμήθησαν, ὅσοι δὲ κατὰ φυσίωσιν ὑπὲρ τὸ δέον ἐπήρθησαν, οὗτοι ἀξίαν καὶ δικαίαν τὴν παρὰ τοῦ θεοῦ τιμωρίαν ἀπέλαβον. ὃν τρόπον καὶ ὁ Σενναχερεὶμ καυχησάμενος ἐπὶ τῇ ἰδίᾳ καὶ πολλῇ δυνάμει, λόγοις ψευδέσιν «τὸν θεὸν

1. Δαν. 4, 7-15. 2. Δαν. 2, 37-38. 3. Δαν. 2, 47. 4. Κολ. 4, 1.
5. Β' Μακκ. 9, 12.

ὀνειδίσας [1]» ὑπὸ τοῦ ἀγγέλου ἐπατάχθη ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας μιᾷ νυκτὶ ἀπολέσας· ὕστερον δὲ καὶ αὐτὸς ὑπὸ τῶν υἱῶν αὐτοῦ ἐν τῇ ἰδίᾳ γῇ ἀνῃρέθη κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησεν διὰ Ἡσαΐου τοῦ προφήτου, ἵνα ἐπιγνῶσιν πάντες ἄνθρωποι τὴν ἐξουσίαν τὴν ἐπουράνιον.

V. Ὁμοίως οὖν καὶ <τῷ> Ναβουχοδονόσορ συνέβη· ὀκτωκαιδεκάτου μέντοι γὰρ ἔτους ἀρχομένου ἔστησεν τὴν εἰκόνα, καθὼς ἐν τῇ πρὸ ταύτης βίβλῳ εἴρηται καὶ τὰ μέτρα ταύτης ἀποδέδεικται· πληρωθέντος δὲ τοῦ ἐνιαυτοῦ μετὰ δωδεκάμηνον ἀφῃρέθη ἀ|<π' αὐτοῦ ἡ βασιλεία, ἵ>να.... καὶ ὁ ἑτέρους... ἐν τοῖς ὄρεσιν φυγὰς γένηται καὶ ὁ ἐν γῇ ἀλλοτρίᾳ τοὺς Ἑβραίους κολάσας καὶ αὐτὸς ἐν γῇ ἐρήμῳ ἀξίως κολασθήσεται· καθ' ὃ ἡ γραφὴ ὑφηγεῖται λέγουσα· «τότε Δανιὴλ οὗ τὸ ὄνομα Βαλτάσαρ ἀπηνεώθη ὡσεὶ ὥραν μίαν, καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτόν. καὶ ἀπεκρίθη Βαλτάσαρ καὶ εἶπεν· κύριε, ἔστω τὸ ἐνύπνιον τοῖς μισοῦσίν σε καὶ ἡ σύγκρισις αὐτοῦ τοῖς ἐχθροῖς σου. τὸ δένδρον ὃ εἶδες τὸ μεγαλυνθὲν καὶ ἰσχυκός, οὗ τὸ ὕψος ἔφθασεν εἰς τὸν οὐρανὸν καὶ τὸ κύτος αὐτοῦ εἰς πᾶσαν τὴν γῆν καὶ τὰ φύλλα αὐτοῦ εὐθαλῆ καὶ ὁ καρπὸς αὐτοῦ πολὺς καὶ τροφὴ πᾶσιν ἦν ἐν αὐτῷ, ὑποκάτω αὐτοῦ κατῴκουν τὰ θηρία τὰ ἄγρια καὶ ἐν τοῖς κλά|δοις αὐτοῦ κατεσκήνουν τὰ ὄρνεα τοῦ οὐρανοῦ, — σὺ εἶ, βασιλεῦ, ὅτι ἐμεγαλύνθης καὶ ἴσχυσας, καὶ ἡ μεγαλωσύνη σου ἐμεγαλύνθη καὶ ἔφθασεν εἰς τὸν οὐρανόν, καὶ ἡ κυρία σου εἰς τὰ πέρατα τῆς γῆς. καὶ ὅτι εἶδεν ὁ βασιλεὺς εἶρ καὶ ἅγιον καταβαίνοντα ἀπὸ οὐρανοῦ καὶ εἶπεν· ἐκτίλατε τὸ δένδρον καὶ διαφθείρατε αὐτό, πλὴν τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ ἐν τῇ γῇ ἐάσατε, καὶ <ἐν> δεσμῷ χαλκῷ καὶ σιδηρῷ καὶ ἐν τῇ χλόῃ τῇ ἔξω καὶ τῇ δρόσῳ τοῦ οὐρανοῦ αὐλισθήσεται καὶ μετὰ θηρίων ἀγρίων ἡ μερὶς αὐτοῦ, ἕως οὗ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπ' αὐτῷ. τοῦτο ἡ σύγκρισις αὐτοῦ, βασιλεῦ, καὶ σύγκριμα ὑψίστου ἐστίν, ὃ ἔφθασεν ἐπὶ τὸν κύριόν μου τὸν βασιλέα· καὶ σὲ ἐκδιώξουσιν ἀπὸ τῶν ἀνθρώπων καὶ μετὰ θηρίων ἀγρίων ἡ κατοικία σου, καὶ χόρτον ὡς βοῦν ψωμιοῦσίν σε, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ αὐλισθή|<σῃ, καὶ ἑπτὰ καιροὶ ἀλλα>γήσονται <ἐπί σε>, ἕως οὗ γνῷς, ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἂν δόξῃ δώσει αὐτήν. καὶ ὅτι εἶπεν· ἐάσατε τὴν φυὴν τῶν ῥιζῶν τοῦ δένδρου· ἡ βασιλεία σου σοὶ μένει, ἀφ' ἧς ἂν γνῷς τὴν ἐξουσίαν τὴν οὐράνιον. διὰ τοῦτο, βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων· ἴσως ἔσται μακροθυμία τοῖς παραπτώμασίν σου. — ταῦτα πάντα ἔφθασεν ἐπὶ Ναβουχοδονόσορ τὸν βασιλέα. μετὰ δωδεκάμηνον ἐν τῷ ναῷ τῆς βασιλείας αὐτοῦ ἐν Βαβυλῶνι περιπατῶν ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπεν· οὐχ αὕτη ἐστὶν Βαβυλὼν ἡ μεγάλη, ἣν ἐγὼ ᾠκοδόμησα εἰς οἶκον βασιλείας ἐν τῷ κράτει τῆς ἰσχύος

1. Ἡσ. 37, 4.

μου εἰς τιμὴν τῆς δόξης μου; ἔτι τοῦ λό|<γου ἐν τῷ στόματι τοῦ βασιλέως ὄντος φωνὴ ἀπ' οὐρανοῦ ἐγένετο· σοὶ λέγουσιν>, Ναβουχοδονόσορ βασιλεῦ, ἡ βασιλεία σου παρῆλθεν ἀπὸ σοῦ καὶ ἀπὸ τῶν ἀνθρώπων σε ἐκδιώξουσιν, καὶ μετὰ θηρίων ἀγρίων ἡ κατοικία σου, χόρτον ὡς βοῦν ψωμιοῦσίν σε, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σοί, ἕως οὗ γνῷς ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων καὶ ᾧ ἂν δόξῃ δώσει αὐτήν. αὐτῇ τῇ ὥρᾳ ὁ λόγος συνετελέσθη ἐπὶ Ναβουχοδονόσορ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη καὶ χόρτον ὡς βοῦς ἤσθιεν καὶ ὑπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως αἱ τρίχες αὐτοῦ ὡς λεόντων ἐμεγαλύνθησαν καὶ οἱ ὄνυχες αὐτοῦ ἐγένοντο ὡς ὀρνέων. καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν ἐγὼ Ναβουχοδονόσορ τοὺς ὀφθαλμούς μου εἰς τὸν οὐρανὸν ἀνέλαβον καὶ αἱ φρένες μου ἐπ' ἐμὲ ἐπεστράφησαν, καὶ τὸν ὕψιστον | <ηὐλόγησα καὶ τὸν ζῶντα> εἰς τὸν αἰῶνα ᾔνεσα καὶ ἐδόξασα, ὅτι <ἡ> ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος καὶ ἡ βασιλεία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν, καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν εἰς οὐδὲν ἐλογίσθησαν, καὶ κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖ ἐν τῇ δυνάμει τοῦ οὐρανοῦ καὶ ἐν τῇ κατοικίᾳ τῆς γῆς, καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τῇ χειρὶ αὐτοῦ καὶ ἐρεῖ αὐτῷ· τί ἐποίησας; [1]»

VI. Τὸ μὲν οὖν ἐνύπνιον δοκεῖ αὐθερμήνευτον εἶναι καὶ πᾶσιν εὔδηλον, καθὼς καὶ ἡ γραφὴ διδάσκει ταῦτα οὕτως γεγενῆσθαι, καὶ αὐτὸς δὲ ὁ βασιλεὺς ὕστερον ἐξομολογούμενος τὰ συμβάντα αὐτῷ διηγήσατο. ἀλλὰ γοῦν ἡ χάρις τοῦ θεοῦ ἀφθόνως συνετίζει τὸν ἄνθρωπον, ἵνα ἐν πᾶσιν τὸν νοῦν ἀνεμπόδιστον ἔχοντες μὴ προσώποις ἀνθρώπων βασιλέων προσέχωμεν — ματαία γὰρ ἐλπὶς εἰς ἄνθρωπον —, μηδὲ ἄρχοντας τοὺς ἐπ' ἐξουσιῶν [ὄντας] τεταγμένους | ἕνεκεν δόματος κολακεύωμεν [2], ἀλλὰ μόνῳ θεῷ προσκαρτεροῦντες καὶ τὰ εὐάρεστα τούτῳ ποιοῦντες καὶ τὸν νῦν βίον ἀκίνδυνον διατελέσωμεν [3] καὶ τὴν μέλλουσαν κρίσιν εὐκόλως ἐκφύγωμεν. τί γὰρ ὠφελῆσαι δύναται βασιλεὺς καὶ δυνάστης ἄνθρωπον, ὁπότε καὶ αὐτὸς θνητὸς ὢν ὑπὸ τὴν τοῦ πεποιηκότος αὐτὸν κ[ιν]εῖται ἐξουσίαν; δύναται μὲν γὰρ ἐν τῷ νῦν βίῳ δόματά σοι πολλὰ καὶ μεγάλα παρασχεῖν, ἀλλὰ καὶ ταῦτα ἐπίγειά [ὄντα] ἐστιν καὶ πρόσκαιρα τυγχάνει. πολλοὶ δὲ καὶ τιμῆς καὶ δωρεᾶς ὑπὸ βασιλέως λαχόντες καὶ ἐπ' ἐξουσιῶν <καὶ> τιμῶν κατασταθέντες, ὕστερον αὐτοὶ δι' ἑαυτοὺς ἐκινδύνευσαν· ἢ ὡς ἐπίβουλοι εὑρεθέντες, ἢ ὡς φίλοι βασιλέως ὑπὸ ἑτέρων ἀναιρεθέντες. τί τούτους ὠφέλησεν ἡ πρὸς τὸν βασιλέα φιλία; οἳ μήτε τῶν δομάτων ὧν ἔλαβον ἐνε|πλήσθησαν, προσέτι δὲ καὶ τὴν ἑαυτῶν ψυχὴν προσαπώλεσαν. φεῦγε οὖν τὰ τοιαῦτα πρόσωπα, ὦ ἄνθρωπε, μήποτε κινδυνεύσῃς δι' αὐτούς. «πᾶσα» γὰρ «σὰρξ χόρτος καὶ πᾶσα δόξα» ἀνθρώπου «ὡς ἄνθος χόρτου· ὁ χόρτος ἐξηράνθη καὶ τὸ ἄνθος ἐξέπεσεν. [4]» ἄκουσον τὸ ὑπὸ τοῦ ἀποστόλου

1. Δαν. 4, 16-32. 2. Πρβλ. Α' Πέτρ. 2, 13. Ῥωμ. 13, 1. 3. Πρβλ. Α' Τιμ. 2, 2. 4. Ἡσ. 40, 6-7. Α' Πέτρ. 1, 24.

Παύλου εἰρημένον, πῶς παραινεῖ Τιμοθέῳ γράφων· «τοῖς πλουσίοις τοῦ νῦν αἰῶνος παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ πεποιθέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ'» ἠλπικέναι «ἐπὶ θεὸν ζῶντα, ὅς ἐστιν σωτὴρ πάντων ἀνθρώπων, μάλιστα δὲ πιστῶν.[1]» ἡ γὰρ τῶν ἐν ὑπεροχῇ κειμένων δόξα φύλλοις ξηροῖς ἔοικεν, <ἃ> «πρὸς ὀλίγον» ἀκμάσαντα, εὐθέως δὲ μαρανθέντα.

VII. Τί ὠφέληκεν Ναβουχοδονόσορ τὸν βασιλέα τὸ ὑπέρογκον ῥῆμα ἐν τῷ εἰπεῖν· «οὐχ αὕτη ἐστὶν Βαβυλὼν ἡ μεγάλη, ἣν ἐγὼ ᾠκοδόμησα | <εἰς οἶκον βασιλείας ἐν τῷ κράτει τῆς ἰσχύος μου εἰς τιμὴν τῆς δόξης μου>[2]», ὁπότε φυγαδευθεὶς χλόην μετὰ τῶν θηρίων ἐν τοῖς ὄρεσιν ἤσθιεν; ποῦ τὸ θράσος ἐκεῖνο καὶ ἡ πολλὴ τῶν λόγων ὑπερηφανία; καὶ ἡ τῆς καμίνου μεγάλη καὶ δεινὴ φλόξ, ὁπότε οὐδὲ τῆς ἰδίας αὐτοῦ ψυχῆς ἐκυρίευσεν; καὶ διὰ τοῦτο σύμβουλος τούτου ἐγένετο ὁ μακάριος Δανιήλ, ὡς καλὸς ἰατρὸς τὰ τούτου θεραπεῦσαι τραύματα βουλόμενος· νῦν «ἡ βουλή μου» λέγων «ἀρεσάτω σοι, βασιλεῦ, καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων· ἴσως μακρόθυμος ἔσται τοῖς παραπτώμασίν σου.[3]» δι' ὃ καὶ συγκρίνων τὸ ἐνύπνιον τοῦ βασιλέως σύνδακρυς γενάμενος ἐλυπήθη καὶ «ὡσεὶ ὥραν μίαν ἀπηνεώθη καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτόν[4]», μὴ βουλόμενος μηδὲ φωνὴν διὰ στόματος προ|ίεσθαι ἐνδεικνύμενος, ἣν εἶχεν περὶ τὸν βασιλέα φιλοστοργίαν, ἵνα ἐν τούτῳ καὶ αὐτὸς <κατα>νυγῇ καὶ τὰ λεγόμενα ὑπὸ τοῦ προφήτου ποιήσας σωθῆναι δυνηθῇ. τοῦ μὲν οὖν Δανιὴλ ἐπὶ μίαν ὥραν ἀφώνου ἑστῶτος καὶ πολλῆς ἡσυχίας γεγενημένης, ἑώρων πάντες ὑπὸ τῶν διαλογισμῶν τοῦτον ταρασσόμενον καὶ τὸ τούτου πρόσωπον ἀλλοιούμενον, ποτὲ μὲν ὠχρὸν γινόμενον διὰ τὸν φόβον τοῦ συγκρίματος, μήπως ἀκούσας ὁ βασιλεὺς τὰ περὶ αὐτοῦ λεγόμενα θυμωθεὶς κελεύσῃ αὐτὸν ἀποκτανθῆναι, <ποτὲ δὲ> ὑπὸ [δὲ] τοῦ πνεύματος ἐνδυναμούμενον καὶ πρόσωπον ἀγγέλου ἀναλαμβάνοντα, τήν <τε> ὄψιν τούτου ἔμπυρον γινομένην καὶ ὀφθαλμοὺς ὡς φλόγα πυρὸς λάμποντας, ἵνα καὶ ἐν τούτῳ καταπλαγεὶς ὁ βασιλεὺς φοβηθῇ. εἰ γὰρ τοῦ μακαρίου Μωϋσέως τὸ πρόσωπον οἱ υἱοὶ Ἰσραὴλ ἰδεῖν οὐκ ἠδυνή|<θησαν> «διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ[5]», πῶς οὐχὶ τότε οἱ Βαβυλώνιοι ἰδόντες τὸ πρόσωπον τοῦ Δανιὴλ ἀλλοιούμενον ἐφοβήθησαν; καὶ ποτὲ μὲν ἄνθρωπος ὢν ἐφαίνετο, [καὶ] ποτὲ δὲ ὡς ἄγγελος θεοῦ ἐδείκνυτο. πάντες εἱστήκεισαν ἐνεοί, περιμένοντες τοὺς τῆς καρδίας αὐτοῦ προερχομένους διαλογισμούς. τότε μὲν ἀπὸ τῆς πολλῆς δόξης καὶ ἀγωνίας κατασταλεὶς καὶ εἰς τὴν ἰδίαν ἕξιν τῆς ἀνθρωπίνης φύσεως ἐλθών, ἀπεκρίθη τῷ βασιλεῖ «καὶ εἶπεν·» «ἔστω» δή, βασιλεῦ, «τὸ ἐνύπνιον» «τοῖς μισοῦσίν σε, καὶ ἡ σύγκρισις αὐτοῦ τοῖς ἐχθροῖς σου.[6]» καὶ οὕτως

1. Α' Τιμ. 6, 17. 4, 10. 2. Δαν. 4, 27. 3. Δαν. 4, 24. 4 Δαν. 4, 16. 5. Β' Κορ. 3, 7. 6. Δαν. 4, 16.

ἀρξάμενος καθ' ἕκαστον αὐτῷ τὸ εἰς αὐτὸν συμβησόμενον ἀπήγγειλεν καὶ τοῦτον λόγοις παρακλητικοῖς παραμυθούμενος εὐέλπιδα πάλιν πρὸς τὰ μέλλοντα κατήρτιζεν. φησὶν γὰρ πρὸς αὐτόν· «καὶ ἐπεὶ ἴδεν ὁ βασιλεὺς εἶρ καὶ ἅγιον | ἀπὸ οὐρανοῦ <καταβαίνοντα> καὶ εἶπεν·» «ἐκκόψατε τὸ δένδρον καὶ ἐκτίλατε τὰ φύλλα αὐτοῦ καὶ ἐκτινάξατε τοὺς κλάδους α<ὐτοῦ>», «πλὴν τὴν φυὴν τῶν ῥιζῶν τοῦ δένδρου ἐάσατε ἐν τῇ γῇ»· «ἡ βασιλεία σου σοὶ μένει, βασιλεῦ, ἕως ἂν ἐπιγνῷς τὴν <ἐξουσίαν τὴν> ἐπουράνιον», «ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων καὶ ᾧ ἂν θέλῃ δώσει αὐτήν.[1]»

VIII. «Ταῦτα» μὲν οὖν ἅπαντα συνέβη τῷ βασιλεῖ Ναβουχοδονόσορ «<μετὰ δωδεκάμηνον>.[2]» οὔτε γὰρ ἡ γραφὴ ἐψεύσατο, οὔτε Δανιὴλ τοῦτον ἐπλάνησεν, ἀλλὰ τὰ μέλλοντα ἐπ' αὐτὸν τελεῖσθαι ταῦτα τοῦτον προεδίδαξεν. τὸ γὰρ δένδρον τὸ μεγαλυνθὲν καὶ ἰσχυκός, οὗ «τὸ ὕψος» «ἔφθασεν ἕως τοῦ οὐρανοῦ καὶ τὸ κύτος αὐτοῦ εἰς τὰ πέρατα τῆς γῆς» σημαίνει ἡ γραφὴ αὐτὸν εἶναι τὸν βασιλέα, ὡς καὶ Δανιὴλ τοῦτο ῥητῶς διεσάφησεν· διὰ τὸ ὑψωθῆναι τὸν βασιλέα καὶ ἔνδοξον γενέσθαι καὶ κυριεῦσαι πάσης τῆς γῆς καὶ | τῶν μακρόθεν ἐθνῶν περικρατῆσαι. <οἱ δὲ> κλάδοι αὐτοῦ ὑπῆρχον ὕπατοι καὶ στρ<ατηγοὶ> καὶ τοπάρχαι <καὶ πάντες> οἱ ὑπ' αὐτοῦ καθεστηκότες ὡς ἐκ δένδρου κλάδοι προβεβλημένοι. τὰ δὲ φύλλα τοῦ δένδρου δεικνύει τὸ διὰ τῶν λόγων αὐτοῦ διάταγμα ἀποσταλὲν εἰς πᾶσαν τὴν γῆν, κελεῦον καὶ διατάσσον καθὼς ἠβούλετο. τὸν δὲ καρπὸν τὸν πολὺν ὃν εἶχεν τὸ δένδρον δηλοῖ τὴν πολλὴν πρόσοδον καὶ τοὺς φόρους τοὺς ἀναφερομένους αὐτῷ ἀφ' ἑνὸς ἑκάστου ἔθνους. τὸ δὲ κύτος αὐτοῦ τὸ ἐπὶ τῆς γῆς ἡδρασμένον σημαίνει αὐτὴν εἶναι τὴν βασιλείαν διὰ τὸ ἐπίγειον αὐτὴν εἶναι <καὶ> ὡς ἐπὶ γῆς ἡδρασμένην. ὁ δὲ «καρπὸς αὐτοῦ πολὺς καὶ τροφὴ πάντων» <ἡ> ἣν «ἐν αὐτῷ» τὰ ὀψώνια καὶ τὰς τιμὰς καὶ τὰ χαρίσματα τὰ ὑπὸ τοῦ βασιλέως πᾶσιν διδόμενα, ἅτινα ἦσαν ὡς τροφὴ ἀπὸ δένδρου τοῖς ἀνθρώποις διδομένη. | <τὰ δὲ> «θηρία τ<ὰ ἄγρια>», τὰ ὑποκάτω αὐτοῦ κατασκηνοῦντα σημαίνονται εἶναι τὰ στρατόπεδα καὶ αἱ δυνάμεις, αἳ ἀεὶ παρέμενον καὶ προσεκαρτέρουν τῷ βασιλεῖ τὰ κελευόμενα ἐξυπηρετοῦντες, ὡς θηρία ὑπάρχοντες ἕτοιμοι εἰς πολεμεῖν καὶ διαφθείρειν καὶ τοὺς ἀνθρώπους ὥσπερ θηρία διασπαράσσειν. τὰ δὲ «ὄρνεα» τὰ «ἐν τοῖς κλάδοις αὐτοῦ» κατοικοῦντα ἡ πάντων τῶν ἐθνῶν οὖσα εἰς αὐτὸν ὑπακοή, ἅτινα πόρρωθεν καὶ μακρόθεν ἐρχόμενα τοῖς ἄρχουσιν τοῖς ὑπ' αὐτοῦ κατασταθεῖσιν ὑπετάσσοντο, ὡς κλάδοι ἀπὸ δένδρου ὑπάρχουσιν.

IX. Ἐν τῷ οὖν καταβῆναι τὸν ἄγγελον ἀπὸ οὐρανοῦ καὶ εἰπεῖν· «ἐκκόψατε τὸ δένδρον καὶ ἐκτινάξατε τοὺς κλάδους αὐτοῦ, καὶ ἐκτίλατε τὰ φύλλα αὐτοῦ καὶ διασκορπίσατε τὸν καρπὸν αὐτοῦ, σαλευθήτωσαν τὰ θηρία [τὰ] ὑποκάτωθεν αὐτοῦ καὶ τὰ ὄρνεα ἀπὸ τῶν | κλάδων

1. Δαν. 4. 22. 2. Δαν. 4, 25-26.

αὐτοῦ[1]» σημαίνε<ι> τὴν γενομένην ἐπιβουλὴν ὑπὸ τῶν σατραπῶν τῷ <βασιλ>εῖ καὶ τῶν ὑπ' αὐτὸν οὐσῶν δυνάμεων. ὁ δὲ ἐκδιωχθεὶς ὑπ' αὐτῶν ἔφυγεν εἰς τὴν ἔρημον καὶ ἀφῃρέθη ἡ τούτου βασιλεία καὶ ἡ ἐξουσία καὶ ἡ μεγαλωσύνη ἣν εἶχεν τὸ πρότερον, καὶ ὁ ποτὲ καυχώμενος καὶ λέγων· ὅτι «τίς ἔστιν θεός, ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου;» ὕστερον κεκυφὼς πρὸς τὴν γῆν ἐλεεινῶς ἐν τοῖς ὄρεσιν βρυχώμενος μετὰ τῶν θηρίων διῆγεν φοβούμενος τοὺς ἑαυτοῦ σατράπας, μήποτε ὑπ' αὐτῶν ἀναιρεθῇ. καὶ διὰ τοῦτο ἡ γραφὴ λέγει· «ἐν τῇ χλόῃ τῇ ἔξω καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ κοιτασθήσεται καὶ μετὰ θηρίων ἀγρίων ἡ μερὶς αὐτοῦ ἐν τῷ χόρτῳ τῆς γῆς· ἡ καρδία αὐτοῦ ἀπὸ τῶν ἀνθρώπων ἀλλοιωθήσεται, καὶ καρδία θηρίου δοθήσεται αὐτῷ.[2]» οὐκέτι γὰρ ὡς ἄνθρωπος, μέγας βασιλεὺς καὶ δυνάστης ἐν τοῖς βασιλείοις διαιτώ|μενος διῆγεν, ἀλλὰ μονάζων ἐν ἐρημίαις «χόρτον» καὶ χλόην «ἤσθιεν», ἕως ἡ καρδία αὐτοῦ ἀλλοιωθεῖσα ἐγενήθη ὡς θηρίου ἐν ὕλαις καὶ σπηλαίοις νεμομένου, «ἕως οὗ ἡ θρὶξ αὐτοῦ ὡς λεόντων ηὔξησεν καὶ οἱ ὄνυχες αὐτοῦ ὡς ὀρνέων ἐμεγαλύνθησαν» «καὶ ἑπτὰ καιροὶ» ἠλλάγησαν «ἐπ' αὐτόν.» — συνέκρινεν μὲν γὰρ ταῦτα οὕτως γενέσθαι ὁ θεὸς ὁ ὕψιστος, καθὼς Δανιὴλ λέγει· «σύνκριμα ὑψίστου ἐστὶν ὃ ἔφθασεν ἐπὶ τὸν κύριόν μου τὸν βασιλέα.» ὁ δὲ λόγος ἀκούσας τὴν βουλὴν τοῦ πατρὸς καταβὰς ἀπὸ οὐρανῶν τὸ θέλημα τοῦ πατρὸς τοῖς ἀγγέλοις ἀνήγγειλεν, ὡς λέγει ἡ γραφή· «ἅγιος ἀπὸ οὐρανῶν κατέβη.[3]» οἱ δὲ ἄγγελοι τὸν λόγον ἐπηρώτησαν· τί ἐκέλευσεν ἡμᾶς ποιῆσαι ὁ δεσπότης; ἁγίων γὰρ τὸ ἐπερώτημα. ὁ δὲ λόγος πρὸς αὐτούς· τάδε λέγει ὁ θεὸς ὁ ὕψιστος· «ἐκκόψατε τὸ δένδρον καὶ ἐκτίλατε τοὺς κλάδους αὐτοῦ καὶ ἐκτινάξατε τὰ φύλλα αὐτοῦ.» οἱ δὲ ἀκούσαντες ἐτάρα<ξαν τὰς δυνάμεις τοῦ βασιλέως, ἵν' ἀφέλωσιν ἀπ' αὐτοῦ> τὴν βασιλείαν. τὰ γὰρ ἔθνη πάντα ἀγγέλοις ἐστὶν παραδεδομένα, ὡς λέγει Ἰωάννης ἐν τῇ Ἀποκαλύψει· «καὶ ἤκουσα» ἑνὸς λέγοντος· «λῦσον τοὺς τέσσαρας ἀγγέλους τοὺς καθημένους ἐπὶ τῷ ποταμῷ τῷ μεγάλῳ Εὐφράτῃ·[4]» οἵτινες ἦσαν <Περσῶν> Μήδων Ἀσσυρίων Βαβυλωνίων.

X. Εἶτα λέγει· «ἐν τῇ χλόῃ τῇ ἔξω καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ αὐλισθήσεται», «καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπ' αὐτόν», «ἕως οὗ γνῷ ὅτι κυριεύει ὁ θεὸς ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων.» ἑπτὰ μὲν οὖν καιρούς τινες ἑπτὰ ἐνιαυτοὺς ψηφίζουσιν· τινὲς δὲ ἑπτὰ καιροὺς κατὰ τρίμηνον ἀλλασσομένους — ὁ γὰρ ἐνιαυτὸς τέσσαρας καιροὺς ἔχει, χειμῶνα, ἔαρ, θέρος καὶ μετόπωρον —, ὡς ἑπτὰ καιροὺς τότε ἐπὶ τὸν βασιλέα ἀλλαγῆναι. τὸ δὲ εἰπεῖν αὐτὸν «τὴν φυὴν | <τῶν ῥιζῶν τοῦ δένδρου ἐν τῇ γῇ ἐάσατε>», ὅτι ἤμελλεν πάλιν κατὰ βούλησιν θεοῦ καθίστασθαι εἰς τὴν ἰδίαν ἀρχήν. τοῦτο γὰρ πρὸς παιδείαν ἐγένετο τῷ βασιλεῖ, ἵνα μὴ <λοιπὸν> ὑψηλοφρονῶν λέγῃ

1. Δαν. 4, 11. 2. Δαν. 4, 12-13. 3. Δαν. 4, 10. 4. Ἀποκ. 9, 14.

<«τίς ἐστιν θεός»; ἀλλ' ἵνα γνῷ ὅτι> [καὶ] «πάντας τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ δύναται ταπεινῶσαι.[1]»

XI. Εὑρίσκομεν οὖν ἐν τοῖς ὑπομνήμασιν τὸν Ναβουχοδονόσορ εἴκοσι πέντε ἔτη βεβασιλευκότα. ὀκτωκαίδεκα μὲν γὰρ τὰ πρῶτα ἔτη ἐβασίλευσεν, ὅτε ἐπαρθεὶς ἔστησεν τὴν εἰκόνα. ἔπειτα «μετὰ δωδεκάμηνον» τοῦτο αὐτῷ συνέβη, καὶ «ἐξεδιώχθη ἀπὸ τῶν ἀνθρώπων» καὶ ἀφῃρέθη ἀπ' αὐτοῦ ἡ βασιλεία. καὶ ἐν τῷ ταπεινωθῆναι αὐτὸν καὶ δεηθῆναι τοῦ κυρίου καὶ ἐξομολογήσασθαι καὶ λιτανεῦσαι τὸν θεὸν τὸν ὕψιστον, ἐκζητηθεὶς ὑπὸ τῶν μεγιστάνων ἑαυτοῦ <καὶ> ὑποστρέψας πάλιν ἑπτὰ ἔτη ἐβασίλευσεν. καθ' ἃ καὶ αὐτὸς διηγεῖται λέγων· | «καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν ἐγὼ Ναβουχοδονόσορ τοὺς ὀφθαλμούς μου εἰς τὸν οὐρανὸν ἀνέλαβον, καὶ αἱ φρένες μου ἐπ' ἐμὲ ἐπεστράφησαν καὶ τὸν ὕψιστον ηὐλόγησα καὶ τῷ ζῶντι εἰς τοὺς αἰῶνας ᾔνεσα καὶ ἐδόξασα, ὅτι ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος καὶ ἡ βασιλεία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν, καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν εἰς οὐδὲν ἐλογίσθησαν· καὶ κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖ ἐν τῇ δυνάμει τοῦ οὐρανοῦ καὶ ἐν τῇ κατοικίᾳ τῆς γῆς· καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τῇ χειρὶ αὐτοῦ καὶ ἐρεῖ αὐτῷ· τί ἐποίησας; — αὐτῷ τῷ καιρῷ αἱ φρένες μου ἐπεστράφησαν ἐπ' ἐμὲ καὶ εἰς τὴν τιμὴν τῆς βασιλείας μου ἦλθον· καὶ ἡ μορφή μου ἐπέστρεψεν ἐπ' ἐμὲ καὶ οἱ τύραννοί μου καὶ οἱ μεγιστᾶνές μου ἐξεζήτουν με, καὶ ἐπὶ τὴν βασιλείαν μου ἐκραταιώθην καὶ μεγαλωσύνη περισσοτέρα προσετέθη μοι. νῦν οὖν ἐγὼ Ναβουχοδονόσορ αἰνῶ καὶ | <ὑπερυψῶ> καὶ δοξάζω τὸν βασιλέα τοῦ οὐρανοῦ, ὅτι <πάν>τα τὰ ἔργα αὐτοῦ ἀληθινὰ καὶ αἱ τρίβοι α<ὐτοῦ> κρίσεις καὶ πάντας τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ δύναται ταπεινῶσαι.[2]» — ἐν τῷ ἀποθέσθαι αὐτὸν τὴν ὑπερηφανίαν <τὴν πολλὴν> ἣν ἐκέκτητο καὶ ἐν τοῖς ὄρεσιν ὀδυνηθέντα ἐξομολογήσασθαι τῷ θεῷ ἐπιγνόντα τὴν ἐξουσίαν τὴν ἐπουράνιον ἀπεκατέστη πάλιν ἐπὶ τὴν ἀρχὴν τῆς βασιλείας αὐτοῦ· ἐκζητησάντων τε αὐτὸν τῶν μεγιστάνων καὶ τυράννων καὶ πάντων τῶν ὑπ' αὐτὸν ὄντων [οἳ] καὶ περισσοτέραν τιμὴν καὶ δόξαν περιέθηκαν αὐτῷ, ἵνα πληρωθῇ τὸ ἐν τῷ ὁράματι εἰρημένον· «πλὴν τὴν φυὴν τῶν ῥιζῶν τοῦ δένδρου ἐάσατε ἐν τῇ γῇ[3]», «ἕως οὗ γνῷ ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων καὶ ᾧ ἂν δόξῃ δώσει αὐτήν.[4]»

XII. Τὰ μὲν οὖν συμβάντα τῷ βασιλεῖ Ναβουχοδονόσορ τοῖς τότε καιροῖς ταῦ|<τα> εἰς ... καὶ ὑπόμν<ησιν ... πάντων τῶν> ἀνθρώπων ἀναγρ<αφέντα εὑρίσκομεν, ὡς καὶ ὁ Δανιὴλ ἐν τοῖς αὐ>τοῦ ὁράμα<σι>ν ὄντως ταῦτα γενόμενα διηγήσατο, περὶ ὧν ἐὰν ἐπιβησώμεθα ἐπὶ τὸν τόπον ἀμφότερα συγκρίναντες ὅμοια καὶ ἀληθῆ ταῦτα εἶναι ἐπιδείξομεν. δύο μὲν γὰρ ἐνύπνια εἶδεν Ναβουχοδονόσορ, τὸ τῆς ποικίλης εἰκόνος, ἔπειτα περὶ τοῦ δένδρου, ἅτινα Δανιὴλ μὲν συνέκρινεν, κατὰ καιρὸν δὲ καὶ πληρωθήσεται. ὁμοίως ἃ καὶ Δανιὴλ τέσσαρα θηρία θεωρεῖ ἀναβαί-

1. Δαν. 4, 34. 2. Δαν. 4, 31-34. 3. Δαν. 4, 12. 4. Δαν. 4, 14.

νοντα ἐκ τῆς θαλάσσης, ἐξ ὧν τινὰ μὲν ἤδη ἐγένοντο, τινὰ δὲ γενήσεται, ἵνα ἐπιδείξωμεν τὴν προφητείαν τοῦ Δανιὴλ ὁμοίαν τοῖς λοιποῖς καὶ ἴσην, ἐν μηδενὶ διαλλάσσουσαν, πρὸς ἀπόδειξιν τῶν ἤδη μὲν γεγονότων καὶ ὄντων καὶ αὖθις ἐσομένων. εἰ γὰρ πιστεύομεν τοῖς ἤδη γεγονόσιν ὡς ἀληθεύει, πῶς οὐχὶ | <καὶ τὰ γενησόμενα ἀληθῆ ἔσται, ἃ> οἱ μακάριοι προφῆται <ὡς ἐσόμε>να προ<επ>ήγγειλ<αν· κατὰ δὲ τὴν τοῦ θεοῦ> βουλὴν <τοῖς ἰδίοις> καιροῖς προκύπτ<ουσ>ιν ἅπαντα πληρωθέντα.

XIII. Ἴδωμεν οὖν τί λέγει ἡ γραφή· «Βαλτάσαρ <ὁ> βασιλεὺς ἐποίησεν δεῖπνον μέγα τοῖς μεγιστᾶσιν αὐτοῦ χιλίοις, <καὶ> κατέναντι τούτων ὁ οἶνος, καὶ πίνων Βαλτάσαρ εἶπεν ἐν τῇ γεύσει τοῦ οἴνου ἐνεγκεῖν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ, ἃ ἐξήνεγκεν Ναβουχοδονόσορ ὁ πατὴρ αὐτοῦ ἐκ τοῦ ναοῦ τοῦ ἐν Ἱερουσαλήμ, καὶ πινέτωσαν ἐν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες αὐτοῦ καὶ αἱ παλλακαὶ αὐτοῦ καὶ αἱ παράκοιτοι αὐτοῦ. <καὶ ἠνέχθησαν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ, ἃ ἐξήνεγκεν Ναβουχοδονόσορ ὁ πατὴρ αὐτοῦ ἐκ τοῦ ναοῦ τοῦ θεοῦ τοῦ ἐν Ἱερουσαλήμ, καὶ ἔπινον ἐν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες αὐτοῦ καὶ αἱ παλλακαὶ αὐτοῦ καὶ αἱ παράκοιτοι αὐτοῦ.> ἔπινον οἶνον καὶ ᾔνεσαν τοὺς θεοὺς τοὺς χρυσοῦς καὶ ἀργυροῦς καὶ χαλκοῦς καὶ σιδηροῦς καὶ ξυλίνους καὶ λιθίνους. ἐν αὐτῇ τῇ ὥρᾳ ἐξῆλθεν δάκτυλος χειρὸς ἀνθρώπου καὶ ἔγραφεν κατέναντι τῆς λαμπάδος ἐπὶ τῷ κονιάματι τοῦ τοίχου | τοῦ οἴκου τοῦ βασιλέως, καὶ ὁ βασιλεὺς ἐθεώρει τοὺς ἀστραγάλους τῆς χει<ρὸς> τῆς γραφούσης. τότε <τοῦ> βασιλέως ἡ μορφὴ ἠλλοιώθη καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτὸν καὶ οἱ σύνδεσμοι τῆς ὀσφύος αὐτοῦ διελύοντο καὶ τὰ γόνατα αὐτοῦ συνεκροτοῦντο. καὶ ἐβόησεν ὁ βασιλεὺς ἐν ἰσχύϊ τοῦ εἰσαγαγεῖν μάγους Χαλδαίους γαζαρηνούς· καὶ εἶπεν τοῖς σοφοῖς Βαβυλῶνος· ὃς ἂν ἀναγνῷ τὴν γραφὴν ταύτην καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσῃ μοι, πορφύραν ἐνδύσεται καὶ ὁ μανιάκης ὁ χρυσοῦς ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξει. καὶ εἰσεπορεύοντο πάντες οἱ σοφοὶ τοῦ βασιλέως καὶ οὐκ ἠδύναντο τὴν γραφὴν ἀναγνῶναι οὐδὲ τὴν σύγκρισιν γνωρίσαι τῷ βασιλεῖ. καὶ ὁ Βαλτάσαρ ἐταράχθη καὶ ἡ μορφὴ αὐτοῦ ἠλλοιώθη καὶ οἱ μεγιστᾶνες αὐτοῦ συνεταράσσοντο.[1]»

XIV. Μετὰ οὖν | τὴν τελευτὴν τοῦ Ναβουχοδονόσορ διαδέ<χεται τὴν> βασιλείαν αὐτοῦ <ὁ υἱὸς Εὐιλὰτ> Μαρωδάχ, οὗ ἡ γρ<αφὴ> οὐ μέμνηται, ἤ<τοι διὰ> τὸ <μὴ> εὐλαβῶς αὐτ<ὸν> βεβιωκέναι, ἤτοι διὰ τὸ μηδὲν ἐπ' αὐτῷ τεράστιον γεγενῆσθαι. οὗτος βασιλεύει ἔτη δεκαδύο, καὶ μετὰ τοῦτον <ὁ> ἀδελφὸς αὐτοῦ Βαλτάσαρ, περὶ οὗ νῦν ἡ γραφὴ τὴν διήγησιν ποιεῖται. οὗτος <οὖν> ἐν τῷ τετάρτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἐποίησεν δεῖπνον μέγα τοῖς μεγιστᾶσιν αὐτοῦ χιλίοις. ὄντων δὲ αὐτῶν ἐν τῷ πότῳ, φυσιωθεὶς ὁ βασιλεὺς ἐκέλευσεν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ ἃ ἤνεγκεν Ναβουχοδονόσορ ὁ πατὴρ αὐτοῦ ἐκ τοῦ ναοῦ

1. Δαν. 5, 1-9.

τοῦ ἐν Ἱερουσαλὴμ προσενεχθῆναι, πίνειν τε ἐν αὐτοῖς τοὺς μεγιστᾶνας καὶ τὰς παλλακὰς αὐτοῦ, καὶ τὰ <τῷ θεῷ> ὑπὸ ἑτέρων βασιλέων εἰς δόξαν καὶ τιμὴν ἀνατεθέντα ταῦτα ταῖς μιεραῖς χερσὶν λαμβάνοντες | ἔσπενδον ἐν αὐτοῖς καὶ ᾕνουν τὰ ἄψυχα καὶ ἀκίνητα εἴδωλα. τούτου τοίνυν γεναμένου «ἐξῆλθεν δάκτυλος χειρὸς ἀνθρώπου καὶ ἔγραφεν κατέναντι τῆς λαμπάδος ἐπὶ τὸ κονίαμα τοῦ τοίχου τοῦ οἴκου τοῦ βασιλέως.[1]» ἐπὶ μὲν τοῦ Ναβουχοδονόσορ εἴρηται· «ἅγιος ἀπὸ οὐρανοῦ κατέβη», ἐνθάδε <δὲ> λέγει· «ἐξῆλθον δάκτυλοι χειρός», σημαίνουσα ἡ γραφὴ μελλήσειν αὐτὸν τὸν λόγον ἐπ' ἐσχάτων σωματοποιεῖσθαι καὶ σχῆμα ἀνθρώπου ἀναλαμβάνειν, ἵνα μηκέτι ὡς δι' εἴδους βλέπηται, ἀλλὰ σαρκικῶς ἄνθρωπος γενόμενος καὶ μετὰ ἀνθρώπων ἀναστραφεὶς τὸ θέλημα τοῦ πατρὸς ἐπιτελῆται. ἐν τῷ οὖν γράψαι τὴν γραφὴν ἐν τῷ τοίχῳ, ἐσήμανεν ἡ γραφὴ ἐν τούτῳ αὐτὸν εἶναι τὸν ἐν τῷ ὄρει ἐν ταῖς πλαξὶν τὸν νόμον τοῦ θεοῦ ἐγχαράξαντα. ὡς ἡ γραφὴ λέγει· «καὶ ἦσαν αἱ πλάκες γεγραμμέναι δακτύλῳ θεοῦ», καὶ «ἡ | <γραφὴ γραφὴ θεοῦ» ἦν γεγραμμένη «ἐν ταῖς πλαξίν.[2]»> οὕτως οὖν <καὶ ἐν>θά<δε . .> μόνῳ τῷ βασ<ιλεῖ οἱ> «δάκτυλοι τῆς χειρὸς» ἐδείκνυντο «κατέναντι τῆς λαμπάδος» ἀστράπτοντες, ἵνα τὰ ἐκεῖ γραφόμενα θεοῦ γραφὴ εἶναι νομισθῇ. τὸ γὰρ φῶς τῆς χειρὸς ἀντιλάμψαν τῷ φωτὶ τῆς λαμπάδος ἤμβλυνεν τὸ ταύτης φῶς, ἵνα οἱ δάκτυλοι γράφοντες ἐν τῷ τοίχῳ ὁραθῶσιν.

XV. Οὓς ἰδὼν ὁ βασιλεὺς καὶ ἔμφοβος γενόμενος τρόμῳ τε πολλῷ συσχεθεὶς «ἐβόησεν» «ἐν ἰσχύϊ τοῦ εἰσαγαγεῖν μάγους Χαλδαίους γαζαρηνούς»· μὴ νοῶν, ὅτι οὐ τούτοις ἐξὸν ἦν τὰ τοῦ θεοῦ γράμματα ἀναγινώσκειν, ἀλλὰ τοῖς ἐκ παιδὸς νόμον θεοῦ ἠσκηκόσιν καὶ τὰ θεῖα γράμματα ἐκ πατέρων ἐπεγνωκόσιν. κληθέντων οὖν πάντων ἔφη πρὸς αὐτοὺς ὁ βασιλεύς· «ὃς ἂν ἀναγνῷ τὴν γρα|φὴν ταύτην καὶ τὴν σύγκρισιν αὐτῆς γνωρί<σῃ μοι>, πορφύραν ἐνδύ<σεται> καὶ ὁ μανιάκης ὁ <χρυσο>ῦς περὶ τὸν τράχηλον αὐτοῦ καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξει. καὶ ἐπορεύοντο πάντες οἱ σοφοὶ τοῦ βασιλέως καὶ οὐκ ἠδύναντο τὴν γραφὴν ἀναγνῶναι, οὐδὲ τὴν σύγκρισιν αὐτῆς γνωρίσαι τῷ βασιλεῖ.[3]» πόσοι γὰρ τότε τῶν Βαβυλωνίων πολλοῖς τρόποις μηχανώμενοι ἐβούλοντό τι ξένον ῥῆμα πλάσαντες ἀρέσαι τῷ βασιλεῖ καὶ πορφύραν ἐνδύσασθαι καὶ ἐπὶ θρόνῳ τρίτῳ δοξασθῆναι. ἀλλ' ἦν ἀποκεκρυμμένον ἀπ' αὐτῶν τὸ ῥῆμα. ἠμβλύνθησαν γὰρ οἱ ὀφθαλμοὶ αὐτῶν καὶ ἐπηρώθη τὰ νοήματα τῆς καρδίας αὐτῶν· γινώσκει γὰρ <ὁ> κύριος «τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶν μάταιοι.[4]» πάντων οὖν παραιτουμένων, «ἐταράχθη» «ὁ βασιλεὺς» «καὶ ἡ μορφὴ αὐτοῦ ἠλλοιώθη, καὶ οἱ μεγισ|τᾶνες αὐτοῦ <συνεταρά>σσον<το>. τότε δὴ <ἀ>κούσασα «ἡ β<ασίλισσα>» τὸ γεγονὸς «εἰ<σῆλθεν>» «εἰς τὸν οἶκον τοῦ πότου καὶ εἶπεν» τῷ βασιλεῖ· «μὴ ταρασσέτωσάν σε οἱ

1. Δαν. 5, 5. 2. Ἔξ. 31, 18. 32, 16. 3. Δαν. 5, 7-8. 4. Α' Κορ. 3, 20.

διαλογισμοί σου, καὶ ἡ μορφή σου μὴ ἀλλοιούσθω· ἔστιν ἀνὴρ ἐν τῇ βασιλείᾳ σου, ἐν ᾧ πνεῦμα θεοῦ, καὶ ἐν ταῖς ἡμέραις τοῦ πατρός σου γρηγόρησις καὶ σύνεσις ἐδόθη αὐτῷ· καὶ ὁ βασιλεὺς Ναβουχοδονόσορ ὁ πατήρ σου ἄρχοντα ἐπαοιδῶν μάγων Χαλδαίων γαζαρηνῶν κατέστησεν αὐτόν, ὅτι πνεῦμα θεοῦ περισσὸν ἐν αὐτῷ καὶ φρόνησις καὶ σύνεσις, συγκρίνων ἐνύπνια καὶ ἀναγγέλλων κρατούμενα καὶ λύων συνδέσμους, Δανιήλ· καὶ ὁ βασιλεὺς ἐπέθηκεν αὐτῷ ὄνομα Βαλτάσαρ. νῦν οὖν κληθήτω καὶ τὴν σύγκρισιν ἀναγγελεῖ σοι.[1]»

XVI. Τίς οὖν ἡ αἰτία τοῦ τὴν βασίλισσαν εἰσελθεῖν καὶ μνείαν ποιεῖσθαι τοῦ Δανιήλ; πάντες γὰρ οἱ μεγιστᾶνες καὶ | οἱ φίλοι τοῦ βασιλέως οὐκ ᾔδεσαν τοῦτον ἢ οὐκ ἔγνωσαν τὰ ἐπὶ Ναβουχοδονόσορ συμβάντα, ὡς <οὗτ>ος μόνος τὰ ἐνύ<πνια αὐ>τῷ διέκρινεν, καὶ ἄρχοντα ἐπὶ τοὺς σοφοὺς Βαβυλῶνος τοῦτον κατέστησεν; ᾔδεσαν καὶ αὐτοί, ἀλλὰ δὴ ἐφθόνουν αὐτῷ, ἐπειδὴ σοφίᾳ ἐπουρανίῳ ἦν κεκοσμημένος· οὐκ ἠβούλοντο ἀναγγεῖλαι τῷ βασιλεῖ περὶ αὐτοῦ, ἵνα μὴ ἐλθόντος αὐτοῦ καὶ εἰπόντος τὴν γραφὴν ὕστερον αὐτοὶ καταισχυνθῶσιν. τοῦτο δὲ οὐ μόνον τότε ἐπὶ τῷ Δανιὴλ ἐγένετο, ἀλλὰ καὶ ἕως νῦν ἐπὶ πολλοῖς συμβαίνει. ἡνίκα γάρ τις ἄξιος γενάμενος χάριν παρὰ θεοῦ κτήσηται καὶ σοφώτερος τῶν ἄλλων εὑρεθῇ, εὐθέως πάντες περιβλεπόμενοι μισοῦσιν τοῦτον, διώκουσιν, ὑβρίζουσιν, ἀτιμάζουσιν, καταλαλοῦσιν, ἐξουθενοῦσιν, ἵνα ἐν τούτῳ δόξωσιν αὐτοὶ «εἶναί τι, μηδὲν[2]» ὄντες. τὸ ὅμοιον γὰρ ἐπὶ τοῖς | <προφήταις συνέβη καὶ ἐπὶ τῷ κυρίῳ καὶ ἐπὶ τοῖς ἀ>ποστόλοις. <οὕτως καὶ ἐ>πὶ τοῦ Δανιὴλ <τὰ ἐν Βα>βυλῶνι συμβάντα ν<οήσομε>ν. προκόπτουσα γὰρ ἡ γραφὴ δείξει ταῦτα οὕτως γεγενημένα.

XVII. Τότε τοίνυν ἀκούσας ὁ βασιλεὺς τὰ περὶ αὐτοῦ ἐκέλευσεν ἀχθῆναι τὸν Δανιὴλ καί φησιν πρὸς αὐτόν· «σὺ εἶ Δανιὴλ ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας, ἧς ἤγαγεν Ναβουχοδονόσορ ὁ πατήρ μου;» «ἤκουσα περὶ σοῦ, ὅτι δύνασαι κρίματα συγκρῖναι. νῦν οὖν ἐὰν δυνηθῇς τὴν γραφὴν ταύτην ἀναγνῶναι καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσαι μοι, πορφύραν ἐνδύσῃ καὶ ὁ μανιάκης ὁ χρυσοῦς ἔσται ἐπὶ τὸν τράχηλόν σου, καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξεις.[3]» ὁ δὲ μακάριος Δανιήλ, μὴ δώροις ἐπιγείοις χαιρόμενος, μηδὲ δόξῃ βασιλικῇ ὑπεραιρόμενος, ἀπεκρίθη· «τὰ δόματά σου, βασιλεῦ, σοὶ ἔστω, καὶ τὴν δωρεὰν τοῦ οἴ|<κου σου ἑτέρῳ δός>· ἐγὼ δὲ <τὴν γραφὴν> ἀναγν<ώσομαι> καὶ τὴν σύγκρισιν αὐτ<ῆς γνω>ρίσω σοι.[4]» καὶ οὕτως ἀρξάμενος πάντα καθεξῆς τὰ τῷ πατρὶ αὐτοῦ συμβάντα διηγήσατο τῷ βασιλεῖ, ἅμα μὲν ἐκδιδάσκων αὐτὸν τὰ γενόμενα, ἅμα δὲ καὶ συνετίζων μὴ ἀλαζονεύεσθαι μηδὲ ὑπερηφανεῖν παρὰ τὸ δέον ἐν τῇ τοῦ θεοῦ ἐξουσίᾳ ὑπάρχοντα. φησὶν οὖν πρὸς αὐτόν· «ὁ θεὸς ὁ ὕψιστος τὴν βασιλείαν καὶ τὴν μεγαλωσύνην καὶ τὴν τιμὴν καὶ τὴν δόξαν ἔδωκεν Ναβουχοδονόσορ τῷ πατρί σου. καὶ ἀπὸ τῆς μεγαλωσύνης ἧς

1. Δαν. 5, 10-12. 2. Γαλ. 6, 3. 3. Δαν. 5, 13. 4. Δαν. 5, 17.

ἔδωκεν αὐτῷ πάντες οἱ λαοὶ φυλαὶ γλῶσσαι ἦσαν τρέμοντες καὶ φοβούμενοι ἀπὸ προσώπου αὐτοῦ· οὓς ἠβούλετο αὐτὸς ἀνῄρει καὶ οὓς ἠβούλετο αὐτὸς ἔτυπτεν καὶ οὓς ἠβούλετο αὐτὸς ὕψου <καὶ οὓς ἠβούλετο αὐτὸς ἐταπείνου>. καὶ ὅτε ὑψώθη ἡ καρδία αὐτοῦ καὶ τὸ πνεῦμα αὐτοῦ ἐκραταιώθη τοῦ ὑπερηφανεύεσθαι, κατηνέχθη ἀπὸ τοῦ θρόνου τῆς βασιλείας <καὶ ἡ τιμὴ ἀφῃ>ρέθη ἀπὸ αὐτοῦ· <καὶ ἀπὸ> τῶν ἀνθρώπων ἐξεδιώχθη καὶ ἡ καρδία αὐτοῦ μετὰ θηρίων ἐδόθη καὶ μετὰ ὀνάγρων ἡ κατοικία αὐτοῦ, χόρτον ὡς βοῦν ἐψώμιζον αὐτόν, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως οὗ ἔγνω, ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων καὶ ᾧ ἂν δόξῃ δώσει αὐτήν.[1]» καὶ ταῦτα εἰπὼν ἐπήνεγκεν τὰ ἀκόλουθα· ἅμα μὲν ἐπιπλήσσων τῷ βασιλεῖ καὶ πρόσωπον τούτου μὴ λαμβάνων, ἵνα ἀκούσας φοβηθῇ καὶ ὃ ἐποίησεν ἁμάρτημα εὐθέως ἐπιγνῷ. λέγει οὖν· «καὶ σὺ ὁ υἱὸς αὐτοῦ Βαλτάσαρ οὐκ ἐταπείνωσας τὴν καρδίαν σου κατέναντι τοῦ θεοῦ. οὐ ταῦτα πάντα ἔγνως; καὶ ἐπὶ κύριον τὸν θεὸν τοῦ οὐρανοῦ ὑψώθης καὶ τὰ σκεύη τοῦ οἴκου αὐτοῦ ἤνεγκας ἐνώπιόν σου, καὶ σὺ καὶ οἱ μεγιστᾶνές σου καὶ αἱ <παλλακαί σου καὶ αἱ> παράκοιτοί σου, οἶνον ἐπίνετε ἐν αὐτοῖς, καὶ τοὺς θεοὺς τοὺς χρυσοῦς καὶ ἀργυ|<ροῦς καὶ χαλκοῦς καὶ σιδηροῦς καὶ ξυλίνους καὶ λιθίνους, οἳ οὐ βλέπουσι καὶ οἳ οὐκ ἀκούουσι καὶ οὐ γινώσκουσιν, ᾔνεσας καὶ> τὸν θεόν, οὗ ἡ <πνοή σ>ου ἐν χειρὶ αὐτοῦ καὶ πᾶσαι αἱ ὁδοί σου, αὐτὸν οὐκ ἐδόξασας. διὰ τοῦτο ἐκ προσώπου αὐτοῦ ἀπεστάλη ἀστράγαλος χειρὸς καὶ τὴν γραφὴν ταύτην ἔταξεν· μανὴ θεκὲλ φαρές. τοῦτο τὸ σύγκριμα τοῦ ῥήματος· μανή, ἐμέτρησεν ὁ θεὸς τὴν βασιλείαν σου καὶ ἐπλήρωσεν αὐτήν· θεκέλ, ἐστάθη ἐν ζυγῷ καὶ εὑρέθη ὑστεροῦσα· φαρές, διῄρηται ἡ βασιλεία σου καὶ ἐδόθη Μήδοις καὶ Πέρσαις.[2]»

XVIII. Ὁ μὲν γὰρ βασιλεὺς ἀκούσας τὴν γραφὴν καὶ τὸ ταύτης σύγκριμα ἐλυπήθη ἐπὶ τοῖς εἰρημένοις, ἐκέλευσεν <δ'> ἐνδυθῆναι «τὸν Δανιὴλ πορφύραν» καὶ «εἶναι αὐτὸν τρίτον ἄρχοντα ἐν τῇ βασιλείᾳ.» «ἐν αὐτῇ τῇ νυκτὶ ἀνῃρέθη Βαλτάσαρ βασιλεὺς ὁ Χαλδαῖος, καὶ Δαρεῖος ὁ Μῆδος παρέλαβεν | <τὴν βασιλείαν αὐτοῦ, ὢν ἐτῶν ἑξήκοντα δύο.[3]» — τοῦ δὲ συγκρί<μα>τος καθὼ<ς ἡ> γραφὴ περιέχει ὑπὸ τοῦ Δανιὴλ ἐπιλυθέντος αὐτῇ τῇ νυκτὶ... ἐπὶ τοὺς Μήδους καθὼς [ἂν] ὑπὸ τοῦ Δανιὴλ εἴρηται· «καθιστᾷ βασιλεῖς καὶ μεθιστᾷ» «γινώσκων τὰ ἐν τῷ σκότει, καὶ τὸ φῶς μετ' αὐτοῦ ἐστίν.[4]»

XIX. Παραλαβὼν οὖν Δαρεῖος ὁ ἐπικληθεὶς Ἀσουῆρος <τὴν βασιλείαν> «κατέστησεν» «σατράπας ἑκατὸν εἴκοσι» «καὶ ἐπάνω αὐτῶν τακτικοὺς τρεῖς, ὃς ἦν Δανιὴλ εἷς ἐξ αὐτῶν, τοῦ ἀποδιδόναι αὐτοῖς τοὺς σατράπας λόγον, ὅπως ὁ βασιλεὺς μὴ ἐνοχλῆται. καὶ ἦν Δανιὴλ ὑπὲρ αὐτοὺς ὅτι πνεῦμα περισσὸν ἐν αὐτῷ, καὶ ὁ βασιλεὺς κατέστησεν

1. Δαν. 5, 18-21. 2. Δαν. 5, 22-28. 3. Δαν. 5, 29-31. 4. Δαν. 2, 21-22.

αὐτὸν ἐφ' ὅλης τῆς βασιλείας αὐτοῦ.[1]» — ἀκούσας γὰρ ἐπὶ αὐτοῦ Δαρεῖος τήν τε σοφίαν ἣν ἐκέκτητο καὶ τὸ ἐκ παιδὸς πιστόν τε καὶ εὐλαβές, αὐτὸν πρωτεύειν πάντων τῶν φίλων αὐτοῦ καὶ κυριεύειν πάσης τῆς βα|<σιλείας αὐτοῦ. .>. . τοῦ θρό<νου> τῆς αὐτοῦ βασιλείας χαρισάμενος καὶ πάντας τοὺς ἄρχοντας Αἰγύπτου ὑπηκόους τούτῳ ὑποτάξας. τούτου τοίνυν γεναμένου, φθόνῳ κινηθέντες «οἱ τακτικοὶ καὶ οἱ σατράπαι ἐζήτουν πρόφασιν εὑρεῖν κατὰ Δανιήλ[2]», ὅπως ἀφορμήν τινα κατ' αὐτοῦ λαβόντες κατηγορήσαντες τοῦτον ἀποκτείνωσιν· <ὅ>πως τὸ ῥητὸν πληρωθῇ, ὃ πρὸ μικροῦ εἴπαμεν, ὅτι ἐπὰν εὐλαβής τις ᾖ τὸν θεὸν φοβούμενος, ἔχων χάριν καὶ σοφίαν παρὰ θεοῦ, ὑπὸ τῶν λοιπῶν ἀνθρώπων μισεῖται, διότι καὶ αὐτοὶ τῆς αὐτῆς χάριτος οὐκ ἠξιώθησαν. οὕτως καὶ οἱ σατράπαι καὶ οἱ τακτικοὶ διὰ φθόνου ἐμίσουν τὸν Δανιήλ, ἐπειδὴ σοφώτερος καὶ πιστικώτερος πάντων ἦν. τοῦτο γὰρ ἡ γραφὴ ἐμαρτύρησεν λέγουσα· «καὶ πᾶσαν πρόφασιν καὶ παράπτω|μα <καὶ ἀμπλάκημα οὐχ> εὗρον κατ' αὐτ<οῦ, ὅτι πισ>τὸς ἦν.[3]» οὐ γὰρ <μόν>ον τὰς τοῦ θεοῦ ἐντολὰς κατὰ τὸν νόμον ἐφύλαττεν, ἀλλὰ καὶ τὰ τοῦ βασιλέως προστάγματα μετὰ πολλῆς ἐπιμελείας καὶ ἀκριβείας διέπων ἦν, ἐν μηδενὶ ῥυπαρῷ πράγματι κέρδους ὀλίγου χάριν τὴν ἑαυτοῦ καθαρὰν συνείδησιν μολῦναι βουλόμενος.

XX. Πόσοι γὰρ τότε προσποιούμενοι φίλοι μὲν εἶναι τῷ Δανιήλ, τῇ δὲ καρδίᾳ τοῦτον ἐμίσουν πονηρεύοντες, καὶ δῶρα δι' ἑτέρων προσώπων ὑπέπεμπον καὶ χρήματα ἱκανὰ δώσειν ἐπηγγείλαντο, τὴν τούτου ἁπλότητα πειράζειν βουλόμενοι, ὡς λοιπὸν πρόφασιν κατ' αὐτοῦ ἐσχηκότες ἐντύχωσιν τῷ βασιλεῖ ὡς χαριζόμενον αὐτὸν τὰ τοῦ βασιλέως κτήματα, καὶ οὕτως ὡς ἐπίβουλος ἀναιρεθῇ. πάντοτε οὖν πολυμηχάνως «ἐζήτουν» κατ' αὐτοῦ αἰτίαν· καὶ μὴ εὑρισκόντων ὕστε|<ρον συμβούλιον ἐγένετο λεγόντων· «οὐχ εὑρήσομεν κατὰ Δανιὴλ> πρόφα<σιν, εἰ> μὴ ἐν νομίμοις θεοῦ αὐτοῦ. τότε[4]» μὲν μίαν γνώμην ποιησάμενοι προσῆλθον «τῷ βασιλεῖ καὶ εἶπον· Δαρεῖε βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι· συνεβουλεύσαντο οἱ ἐπὶ τῆς βασιλείας σου στρατηγοὶ καὶ σατράπαι, ὕπατοι καὶ τοπάρχαι, τοῦ στῆσαι στάσει βασιλικῇ καὶ ἐνισχῦσαι ὁρισμόν, ὅπως <ὃς> ἂν αἰτήσηται αἴτημα παρὰ παντὸς θεοῦ καὶ ἀνθρώπων ἕως ἡμερῶν τριάκοντα, ἀλλ' <ἢ> παρὰ σοῦ, βασιλεῦ, ἐμβληθήσεται εἰς τὸν λάκκον τῶν λεόντων. νῦν οὖν, βασιλεῦ, στῆσον τὸν ὁρισμὸν καὶ ἔκθες γραφήν, ὅπως μὴ ἀλλοιωθῇ τὸ δόγμα Μήδων καὶ Περσῶν. τότε Δαρεῖος[5]», <μὴ νοῶν> τὴν τούτων κακομήχανον ἣν ἐβουλεύσαντο γνώμην, ἐκέλευσεν «γραφῆναι τὸ δόγμα[6]» καὶ δημοσίως τοῦτο προτεθῆναι.— καὶ γὰρ. . Ἀμάν, βουλόμενος ἀποκτεῖναι τὸν | Μαρδοχαῖον καὶ τὸ τούτου γένος, προσελθὼν τῷ βασιλεῖ Ἀρταξέρξῃ τὰ ὅμοια συνεβουλεύσατο, ὅπως ἐκ βασιλι-

1. Δαν. 6, 1-3. 2. Δαν. 6, 4. 3. Δαν. 6, 4. 4. Δαν. 6, 5. 5. Δαν. 6, 6-9. 6. Δαν. 6, 9.

κοῦ δόγματος τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς μιᾷ ἡμέρᾳ οἱ πάντες Ἰουδαῖοι ἀποκτανθῶσιν.

XXI. Ὁ μὲν οὖν «Δανιὴλ ἡνίκα ἔγνω[1]» τὸ γεγραμμένον, νοήσας τὴν εἰς αὐτὸν γεγενημένην ἐπιβουλὴν οὐκ ἐφοβήθη οὐδὲ ἐδειλίασεν, ἑτοίμως ἔχων βρῶμα τοῖς θηρίοις παραδοθῆναι ἢ ὑποταγῆναι τῷ προστάγματι τοῦ βασιλέως· καίτοι ἔχων προκέντημα τὸ ἐπὶ τῶν τριῶν παίδων γεγενημένον, ὡς μὴ βουληθέντες τῇ εἰκόνι τοῦ βασιλέως προσκυνῆσαι ἐκ καμίνου πυρὸς διεσώθησαν. καὶ δὴ εἰσελθὼν «εἰς τὸν οἶκον αὐτοῦ» ἤνοιξεν τὰς θυρίδας «ἐν τοῖς ὑπερῴοις κατέναντι Ἱερουσαλὴμ καὶ καιροὺς τρεῖς τῆς ἡμέρας ἦν κάμπτων τὰ γόνατα ἑαυτοῦ καὶ προσευχόμενος καὶ ἐ|ξομολογούμενος ἐναντίον τοῦ θεοῦ αὐτοῦ, καθὼς ἦν ποιῶν ἐν τοῖς ἔμπροσθεν.[2]»

XXII. Χρὴ οὖν ὁρᾶν τὴν εὐλάβειαν τοῦ μακαρίου Δανιήλ, πῶς εἰ καὶ ἐδόκει ἐν τοῖς βασιλικοῖς πράγμασιν ἀποσχολεῖσθαι, ἀλλ' ἤγουν τῇ προσευχῇ τὸ καθ' ἡμέραν προσεκαρτέρει, ἀποδιδοὺς «τὰ μὲν Καίσαρι τῷ Καίσαρι, τὰ δὲ τῷ θεῷ τῷ θεῷ.[3]» — ἀλλ' ἴσως ἐρεῖ τις· τί οὖν; οὐκ ἠδύνατο τῇ μὲν ἡμέρᾳ ἐν τῇ καρδίᾳ πρὸς τὸν θεὸν εὔχεσθαι, τὴν δὲ νύκτα ὡς ἐβούλετο ἐν τῷ οἴκῳ λαθραίως τῇ προσευχῇ σχολάζειν, ἵνα μὴ κινδυνεύσῃ; ἠδύνατο· ἀλλ' οὐκ ἠθέλησεν. εἰ γὰρ τοῦτο πεποιήκει, εἶχον ἂν οἱ τακτικοὶ καὶ οἱ σατράπαι εἰπεῖν· πῶς φοβεῖται τὸν θεόν, ὁπότε τοῦ βασιλέως τὸ δόγμα ἐφοβήθη καὶ τοῖς ὑπ' αὐτοῦ κελευσθεῖσιν ὑπετάγη; καὶ ἤμελλον μομφήν τινα καὶ ψόγον ἀπιστίας καταφέρειν κατ' αὐτοῦ· ὑποκρίσεως | γὰρ τοῦτο <ἔργον ἀλλ' οὐ> φόβου καὶ πίστεως <τῆς> πρὸς τὸν θεόν. καὶ διὰ τοῦτο οὐκ ἔδωκεν «ἀφορμὴν» καταλαλίας τοῖς ἀντικειμένοις· «ᾧ γὰρ ἄν τις ὑποταγῇ τούτῳ καὶ δεδούλωται.[4]»

XXIII. Οἱ γὰρ θεῷ πιστεύοντες οὐκ ὀφείλουσιν οὔτε ὑποκρίνεσθαι οὔτε τοὺς ὑπ' ἐξουσιῶν τεταγμένους φοβεῖσθαι, χωρὶς ἐὰν μή τι κακὸν ποιήσωσιν· εἰ δὲ ἕνεκεν τῆς εἰς θεὸν πίστεως ἕτερόν τι ποιεῖν αὐτοὺς ἀναγκάζουσιν, ἡδέως ἀποθνήσκειν μᾶλλον ἢ ποιεῖν τὰ ὑπ' αὐτῶν κελευόμενα. τῷ γὰρ εἰπεῖν τὸν ἀπόστολον πάσαις «ἐξουσίαις ὑπερεχούσαις[5]» ὑποτάσσεσθαι οὐ περὶ τούτου λέγει, ἵνα ἀρνησάμενοι τὴν πίστιν ἡμῶν καὶ τὰ ὑπὸ θεοῦ προστεταγμένα ἅπερ οἱ ἄνθρωποι κελεύουσιν ταῦτα καὶ ποιῶμεν, ἀλλὰ φοβουμένους τὰς ἐξουσίας μηδὲν κακὸν πράσσειν, ἵνα μὴ ὑπ' αὐτῶν ὡς κακοποιοὶ κολασθῶμεν. καὶ διὰ τοῦτο λέγει· «θεοῦ διάκονός ἐστιν ὁ ἔκδικος[6]» τοῖς «τὸ κακὸν» πράσ|σουσιν. τί; «θέλεις μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς». «ἐπὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ.[7]» ὥστε κατὰ τοῦτο εἶπεν ὑποτάσσεσθαι τῷ ὁσίως καὶ εὐλαβῶς ἐν τῷ νῦν βίῳ ζῆν, πρὸ ὀφθαλμῶν ἔχοντας

1. Δαν. 6, 10. 2. Δαν. 6, 10. 3. Ματθ. 22, 21. 4. Β' Πέτρ. 2, 19. 5. Ῥωμ. 13, 1. 6. Ῥωμ. 13, 4. 7. Ῥωμ. 13, 3-4.

τὸν τῆς μαχαίρας κίνδυνον. οἱ μὲν οὖν ἀπόστολοι κωλυόμενοι ὑπὸ τῶν ἀρχόντων καὶ γραμματέων τὸν λόγον λαλεῖν οὐκ ἐπαύοντο πειθαρχοῦντες «θεῷ μᾶλλον ἢ ἀνθρώποις[1]», καὶ διὰ τοῦτο ἀγανακτήσαντες «ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ·[2]» ἀλλ' ὁ «ἄγγελος διὰ νυκτὸς» «ἐξαγαγὼν αὐτοὺς εἶπεν·» πορευθέντες «λαλεῖτε» «τὰ ῥήματα τῆς ζωῆς ταύτης.[3]»

XXIV. Οὕτως οὖν καὶ ὁ Δανιήλ, κωλυόμενος προσεύχεσθαι, τῷ δόγματι τοῦ βασιλέως οὐχ ὑπετάγη, ἵνα μὴ δόξαν θεοῦ θῇ ὑποκάτω δόξης ἀνθρώπων. εἰ γὰρ διὰ θεόν τις ἀποθνήσκει, χαίρεσθαι ὀφείλει ἐπὶ τούτῳ ζωὴν αἰώνιον εὑρών. | . . . ἐν τῷ κόσμ<ῳ. . . ζῶν>τας μηδὲ μίαν ἀφορμὴν διδόναι τοῖς ζητοῦσιν ἀφορμήν, ἵνα ἐν τούτῳ αὐτοὶ μᾶλλον καταισχύνωνται· ὃν τρόπον καὶ «οἱ τακτικοὶ» «ἐζήτουν» τότε «κατὰ Δανιὴλ» ἀφορμὴν «εὑρεῖν» καὶ οὐχ ηὕρισκον, «ὅτι πιστὸς ἦν.» εἰ δέ τινες βιάζονται τὸν θεὸν μὴ σέβειν μηδὲ αἰτεῖσθαι παρ' αὐτοῦ, θάνατον ἡμῖν ἀπειλοῦντες, ἥδιστον μᾶλλον ἀποθνήσκειν ἢ ποιεῖν τὰ ὑπὸ τούτων κελευόμενα. «τίς» γὰρ «ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ; θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ κίνδυνος ἢ μάχαιρα;[4]» καὶ διὰ τοῦτο ὁ μακάριος Δανιὴλ τὸν θεὸν μᾶλλον φοβηθεὶς καὶ παραδοὺς ἑαυτὸν τῷ θανάτῳ ὑπὸ τοῦ ἀγγέλου ἐκ τῶν λεόντων διεσώθη. εἰ γὰρ εὐλαβηθεὶς τὸ δόγμα ἡσύχασεν ἐν ταῖς τριάκοντα ἡμέραις, οὐκέτι ἡ τούτου πίστις πρὸς | <τὸν θεόν. . . ἂν ἦν> «οὐδεὶς» <γὰρ «δύναται> δυσὶν κυρί<οις δουλ>εύειν.[5]» τοῦ γὰρ διαβόλου ἀεὶ ἡ τέχνη τοιαύτη γεγένηται εἰς τὸ διώκειν καὶ θλίβειν καὶ καταπονεῖν τοὺς ἁγίους, ἵνα μὴ ἐπαίρωσιν προσευχόμενοι «χεῖρας ὁσίους[6]» τῷ θεῷ, εἰδὼς ὅτι ἡ τῶν ἁγίων προσευχὴ τῷ μὲν κόσμῳ εἰρήνην παρέχει, τῷ δὲ πονηρῷ κόλασιν. ὥσπερ καὶ ἐν τῇ ἐρήμῳ, «ἡνίκα ἂν ἐπῆρεν τὰς χεῖρας Μωϋσῆς, ὑπερίσχυσεν ὁ Ἰσραήλ, ἡνίκα δ' ἂν κατέθηκεν, ὑπερίσχυσεν Ἀμαλήκ.[7]» ὥσπερ τοῦτο ἕως νῦν γίνεται καὶ ἐφ' ἡμῖν πληροῦται. ἡνίκα γὰρ ἂν παυσώμεθα προσευχόμενοι, ὑπερισχύει καθ' ἡμῶν ὁ ἀντικείμενος, ἡνίκα δὲ τῇ προσευχῇ προσκαρτεροῦμεν, κεκατάργηται ἡ τοῦ πονηροῦ δύναμις καὶ ἐξουσία.

XXV. Οὗτος οὖν καὶ ἐν τοῖς τακτικοῖς καὶ σατράπαις ἐνήργησεν τότε, ἵνα τὸ ἴδιον θέλημα δι' αὐτῶν ἐπιτελέ|<σῃ καὶ τὸν μακάριον Δα>νι<ὴλ εἰς τὸν λάκκον ἐμβά>λῃ τῶν λεόντων. <ὃν «ἐκεῖνοι»> παρατηρήσαντες καὶ ἰδόντες αὐτὸν τρὶς τῆς ἡμέρας προσευχόμενον προσῆλθον λέγοντες «τῷ βασιλεῖ»· Δαρεῖε «βασιλεῦ· οὐχὶ ὁρισμὸν ἔθηκας ὅπως πᾶς ἄνθρωπος ὃς ἂν αἰτήσῃ παρὰ παντὸς θεοῦ καὶ ἀνθρώπου αἴτημα ἕως ἡμερῶν τριάκοντα ἢ παρὰ σοῦ, βασιλεῦ, ἐμβληθήσεται εἰς τὸν λάκκον τῶν λεόντων;» ὁ δὲ εἶπεν· «ἀληθινὸς ὁ λόγος καὶ τὸ δόγμα Μήδων καὶ Περσῶν οὐ παρελεύσεται.[8]» οἱ δὲ πρὸς αὐτόν· ἰδού, «Δανιὴλ ὁ

1. Πράξ. 5, 29. 2. Πράξ. 5, 18. 3. Πράξ. 5, 19-20. 4. Ῥωμ. 8, 35. 5. Ματθ. 6, 24. 6. Α' Τιμ. 2, 8. 7. Ἔξ. 17, 11. 8. Δαν. 6, 12.

ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας οὐχ ὑπετάγη τῷ δόγματί σου, καὶ καιροὺς τρεῖς τῆς ἡμέρας αἰτεῖ παρὰ τοῦ θεοῦ αὐτοῦ τὰ αἰτήματα αὐτοῦ. τότε ὁ βασιλεὺς τὸ ῥῆμα ὡς ἤκουσεν ἐλυπήθη ἐπ' αὐτῷ καὶ περὶ τοῦ Δανιὴλ ἠγωνίσατο τοῦ ἐξελέσθαι αὐτόν.[1]» ἐπιγνοὺς γὰρ τὴν τούτων μηχανήν, | <ὅτι ἐχθροὶ ὄντες τῷ Δανιήλ, ἅτε σο>φω<τέρῳ καὶ ἐν>δοξοτέρῳ παρὰ πάντας αὐτοὺς ὄντι, ταύτην τὴν ἐπιβουλὴν κατ' αὐτοῦ συνέθεντο, δόλῳ τοῦτον τοῖς θηρίοις παραδοῦναι θελήσαντες, διεκρίνετο πρὸς τοὺς σατράπας, εἰ δύναιτο ἐξαιτησάμενος τοῦτον ἀπὸ τοῦ κινδύνου διασῶσαι. ἀλλ' ἵνα μὴ ὑπὸ ἀνθρώπου ῥυσθῇ καὶ βασιλέως χάρις εἶναι νομισθῇ, ἔργον δὲ θεοῦ ἐπ' αὐτὸν τελούμενον φανῇ, ἑσπέρας ἤδη οὔσης καὶ τοῦ βασιλέως πρὸς τοὺς σατράπας ὑπὲρ αὐτοῦ διαλεγομένου ἔφασαν λέγοντες· «γνῶθι, βασιλεῦ, ὅτι τὸ δόγμα Μήδοις καὶ Πέρσαις τοῦ πάντα ὁρισμὸν καὶ στάσιν ἣν ἂν ὁ βασιλεὺς στήσῃ οὐ δεῖ παραλλάξαι[2]», ἐν τούτῳ τῷ λόγῳ δυσωπῆσαι τὸν βασιλέα βουλόμενοι, ὡς εἰ μὴ τὸ ὑπ' αὐτοῦ ὁρισθὲν δόγμα κύριον καὶ βέβαιον γενηθῇ, καὶ τὰ λοιπὰ ὑπ' αὐτοῦ ὁριζόμενα κύρια εἶναι | <οὐ> νομισθήσεται.

XXVI. Διὰ <τίνα οὖν> αἰτίαν <μόνου> τοῦ Δανιὴλ οἱ σατράπαι <κατη>γόρησαν; πάντως [γὰρ] καὶ οἱ τρεῖς <παῖδες> ἦσαν σὺν αὐτῷ προσευχόμενοι· εἰ γὰρ <τῷ> τοῦ Ναβουχοδονόσορ προστάγματι οὐχ ὑπήκουσαν, πολλῷ μᾶλλον τῷ τοῦ Δαρείου δόγματι. αἰτία δὲ ἥδε· ἐπειδὴ γὰρ τότε ἐπὶ τοῖς χρόνοις Ναβουχοδονόσορ παρόντος μὲν τοῦ Δανιὴλ οἱ Χαλδαῖοι οὐδενὸς ἑτέρου κατηγόρησαν, εἰ μὴ μόνον τῶν τριῶν παίδων — αὐτοῖς γὰρ τὸ μαρτύριον ἀπέκειτο —, οὕτως νῦν ἐπὶ τοῖς καιροῖς Δαρείου τοῦ Δανιὴλ μόνου κατηγόρησαν, αὐτοῦ γὰρ ἡ κλῆσις <εἰς μαρτύριον> ἦν. κατὰ γὰρ καιροὺς θεοῦ ἄνθρωπος οὐ λείπει, ἵνα δι' αὐτῶν δοξασθῇ· ὡς ὁ προφήτης λέγει· ὁ ποιῶν «τοὺς κόσμους αὐτοῦ» τοῦ κατὰ ἕνα «ἐπ' ὀνόματι» αὐτῶν καλεῖσθαι αὐτούς.[3]

XXVII. Τότε τοίνυν ἐπὶ πλεῖον μὴ δυνάμενος <ἀν>τιλέγειν τοῖς σατράπαις εἶπεν ἀχθῆναι «τὸν Δανιήλ, καὶ ἐνέβαλον αὐτὸν εἰς τὸν λάκ|κον τῶν λεόντων.» καὶ ἀποκριθεὶς «ὁ βασιλεὺς εἶπεν·» «ὁ θεός σου, ᾧ λατρεύεις ἐνδελεχῶς αὐτὸς ἐξελεῖταί σε[4]», εὐθυμεῖν τοῦτον προτρεπόμενος· ἐπειδὴ γὰρ ἐγὼ μὲν βουληθεὶς οὐκ ἠδυνήθην καίτοι βασιλεύων, «ὁ θεός, ᾧ λατρεύεις» «αὐτὸς ἐξελεῖταί σε», ἵνα «τὰ παρὰ ἀνθρώποις ἀδύνατα παρὰ θεοῦ δυνατὰ[5] εἶναι δειχθῇ.» — «καὶ ἤνεγκαν λίθον καὶ ἐπέθηκαν εἰς τὸ στόμα τοῦ λάκκου, καὶ ἐσφράγισεν ὁ βασιλεὺς τῷ δακτυλίῳ αὐτοῦ[6]», «ὅπως μὴ ἀλλοιωθῇ πρᾶγμα ἐν τῷ Δανιήλ.» καὶ τοῦτο δὲ κακοηθείας ἔργον ἦν· εὐλαβούμενοι γὰρ οἱ σατράπαι, μήπως κατὰ λάθρα ὁ βασιλεὺς κελεύσῃ τοῦτον ἐκ τοῦ λάκκου ἀνασπασθῆναι, ἠξίωσαν σφραγισθῆναι τὸν λίθον. ὃν τρόπον καὶ «οἱ ἀρχιερεῖς <καὶ οἱ Φαρισαῖοι»> ἐποί-

1. Δαν. 6, 13-14. 2. Δαν. 6, 15. 3. Πρβλ. Ἠσ. 40, 26. 4. Δαν. 6, 17. 5. Λουκ. 18, 27. 6. Δαν. 6, 17.

ησαν ἐπὶ τῷ σωτῆρι «σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας.[1]»

XXVIII. Τούτου τοίνυν γενομένου «ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὸν οἶκον| αὐτοῦ καὶ <ἐκοιμήθη ἄδει>πνος καὶ ἐδ<έσματα οὐκ εἰσ>ήνεγκαν αὐτῷ καὶ ὁ ὕπνος ἀπέστη ἀπ' αὐτοῦ.[2]» — πόσον ποιεῖ ἀν<ὴρ δί>καιος τὸν θεὸν φοβούμενος, ἵνα λυπηθεὶς ἐπ' αὐτῷ ὁ βασιλεὺς μηδὲ τροφὴν προσενέγκηται. καὶ οἱ μὲν σατράπαι δι' ὅλης τῆς νυκτὸς εὐφραίνοντο, ὡς βραβεῖον κατὰ Δανιὴλ λαβόντες, ὁ δὲ βασιλεὺς δι' ὅλης τῆς νυκτὸς ἀγρυπνῶν ἐπένθει, τοιοῦτον ἄνδρα ἀδίκως ἀπολέσας, μήπως δι' αὐτοῦ καὶ αὐτὸς κινδυνεύσῃ. οὐ γὰρ ἔλαθεν τοῦτον τὰ τῷ Ναβουχοδονόσορ συμβάντα καὶ τὰ ἐπὶ τοῦ Βαλτάσαρ γενόμενα, τοῦ μὲν ἐκ τῆς βασιλείας ἐκδιωχθέντος τοῦ δὲ διὰ τὰ σκεύη τὰ ἅγια «αὐτῇ τῇ νυκτὶ ἀναιρεθέντος.» «τότε» τοίνυν «ἀνέστη πρωῒ ἐν φωτὶ καὶ ἐν σπουδῇ ἦλθεν εἰς τὸν λάκκον τῶν λεόντων», καὶ φωνήσας «ἰσχυρᾷ φωνῇ» εἶπεν· «Δανιήλ, ὁ δοῦλος τοῦ θεοῦ τοῦ ζῶντος, | ὁ θεός σου, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς, <εἰ> ἠδυνήθη ἐ<ξελέσθ>αι σε ἐκ στόματος τῶν λεόντων;[3]» πόθεν οὖν τοῦτο κινηθεὶς τὸ ῥῆμα ἐφθέγξατο ὁ βασιλεύς, εἰ μὴ ὅτι ἀκηκόει τὰ ἐπὶ τῶν παίδων συμβάντα, οἳ μὴ θελήσαντες τῷ προστάγματι τοῦ βασιλέως ὑποταγῆναι ἐκ καμίνου πυρὸς διεσώθησαν, ... τὸ ὅμοιον ἐπ' αὐτῷ συμβήσεται, ἀνθ' ὧν τὸν μὲν θεὸν ἐφοβήθη, τὸ δὲ «δόγμα Μήδων καὶ Περσῶν» ἐξουδένωσεν.

XXIX. «Καὶ εἶπεν Δανιὴλ τῷ βασιλεῖ·» «ὁ θεός μου ἀπέστειλεν τὸν ἄγγελον αὐτοῦ καὶ ἐνέφραξεν τὰ στόματα τῶν λεόντων καὶ οὐκ ἐλυμήναντό με, ὅτι κατενώπιον αὐτοῦ εὐθύτης εὑρέθη μοι καὶ ἐνώπιον δέ σου, βασιλεῦ, παράπτωμα οὐκ ἐποίησα.[4]» — πόσον ποιεῖ πεποίθησιν ἔχειν πρὸς τὸν θεὸν μᾶλλον ἢ ἀνθρώπους. ἄνθρωποι μὲν γὰρ ἀπελπίζουσιν καὶ θανάτῳ παραδιδόασιν, ὁ δὲ θεὸς «τοὺς δούλους αὐτοῦ | <οὐκ ἐγκαταλείψει·[5]» διὰ τοῦτο ὁ ψαλμῳδὸς διδάσκει λέγων «ἀγαθὸν πεποι>θέναι <ἐπὶ θεὸν ἢ πεποιθέ>ναι ἐπ' ἄνθρωπον· <ἀγαθὸν> ἐλπίζειν ἐπὶ κύριον ἢ ἐλπίζειν ἐπ' ἄρχουσιν.[6]» τότε τοίνυν τοῦ ἀγγέλου φανέντος ἐν τῷ λάκκῳ τὰ μὲν θηρία τὰ ἄγρια ἡμερώθησαν, καὶ τούτῳ τὰς οὐρὰς σείοντα προσέχαιρον ὡς νέῳ Ἀδὰμ ὑποτασσόμενα, λείχοντα μὲν τοὺς τοῦ Δανιὴλ ἁγίους πόδας καὶ πρὸς τὰ ἴχνη τῶν τούτου ποδῶν ἐκυλίοντο πατεῖσθαι καὶ αὐτοὶ ὑπ' αὐτοῦ ἐπιθυμοῦντα. εἰ γὰρ πιστεύομεν, ὅτι Παύλου εἰς θηρία κατακριθέντος ἀφεθεὶς ἐπ' αὐτὸν ὁ λέων εἰς τοὺς πόδας ἀναπεσὼν περιέλειχεν αὐτόν, πῶς οὐχὶ καὶ ἐπὶ τοῦ Δανιὴλ γενόμενα πιστεύσομεν, εἴπερ καὶ αὐτὸς Δαρεῖος πᾶσιν ταῦτα διὰ γραμμάτων ἀποστείλας διηγήσατο καὶ ἐν ταῖς Περσῶν καὶ Μήδων βίβλοις ταῦτα ὄντως ἕως σήμερον | <μνημονεύεται>, ἵνα μὴ <μόνοι Ἰουδαῖοι> μηδὲ μόνοι <Βαβυλ>ώνιοι, ἀλλὰ καὶ <Μῆδοι> καὶ Πέρσαι καὶ πάντα τὰ ἔθνη τὰ ὑπὸ τὸν οὐρανὸν οἰκοῦντα ἀκούσαντες τὰ γενόμενα καὶ αὐτοὶ τὸν θεὸν φοβηθῶσιν. ὡς καὶ τότε Δαρεῖος ἀκούσας

1. Ματθ. 27, 66. 2. Δαν. 6, 18. 3. Δαν. 6, 19-20. 4. Δαν. 6, 21-22. 5. Ψαλμ. 36, 28. 6. Ψαλμ. 117, 9.

τὴν τοῦ Δανιὴλ φωνὴν καταπλαγεὶς ἐθαύμασεν, καὶ ἐκέλευσεν ἀποκυλισθῆναι τὸν λίθον καὶ εἶδεν τὸν Δανιὴλ ἐν μέσῳ τῶν λεόντων καθήμενον καὶ ταῖς ἰδίαις χερσὶν τὴν τούτων κόμην καταψήχοντα. καὶ δὴ συγκαλεσάμενος ἅπαντας, ἐπέδειξεν αὐτοῖς τὸ τεράστιον θέαμα, θῆρας ἀγρίους ὑπὸ ἀνδρὸς ἡμερωμένους καὶ ἐν ταῖς τούτου χερσὶν θαλπομένους. ἀναχθέντος τοίνυν τοῦ Δανιὴλ «ἐκ τοῦ λάκκου» «πᾶσα διαφθορὰ οὐχ εὑρέθη ἐν αὐτῷ, ὅτι ἐπίστευσεν <ἐν> τῷ θεῷ αὐτοῦ.[1]»

XXX. Τότε «εἶπεν ὁ βασιλεύς, καὶ ἤγαγον τοὺς ἄνδρας τοὺς | <διαβαλόντας τὸν Δα>νιὴλ <καὶ εἰς τὸν λάκκον> τῶν λεόντων <ἐνεβλήθη>σαν αὐτοὶ καὶ <οἱ υἱοὶ αὐ>τῶν καὶ αἱ γ<υναῖκες αὐ>τῶν, καὶ οὐκ <ἔφθα>σαν εἰς τὸ ἔδαφος τοῦ λάκκου, ἕως οὗ ἐκυρίευσαν αὐτῶν οἱ λέοντες καὶ πάντα τὰ ὀστᾶ αὐτῶν ἐλέπτυναν.[2]» οἱ οὖν πεποιθότες ἐπὶ ἀνθρώπῳ βασιλεῖ καὶ «τῷ πλησίον βόθρον[3]» ὀρύξαντες αὐτοὶ εἰς αὐτὸν ἐμπεσοῦνται εἰς ἀπώλειαν. ὡς καὶ τότε ἐπὶ τοῖς τρισὶν παισὶν συνέβη· τῶν μὲν ἐν τῇ καμίνῳ ὄντων πῦρ οὐκ ἐκυρίευσεν, τοὺς δὲ ἔξω τῶν Χαλδαίων διοδεῦσαν κατέφλεξεν. δικαίως γὰρ οἱ τοῦ θεοῦ ὀφθαλμοὶ ἀξίαν τὴν κρίσιν τοῖς ἀνθρώποις ἀπονέμουσιν. ὡς καὶ τῷ Ἀμὰν μεταξὺ συνέβη, βουληθέντι τὸν Μαρδοχαῖον καὶ τὸ τούτου γένος μιᾷ ἡμέρᾳ διολέσαι· «πεντήκοντα πήχεων ξύλον[4]» τούτῳ ἑτοιμάσας, αὐτὸς πανοικεὶ ἐν αὐτῷ «ἐκρεμάσθη|». <νυνὶ οἱ τοῦ Δανιὴλ κατηγορήσαντες καὶ τοῖς θηρίοις εἰς ἔδεσμα> τοῦτον παρα[δι]δόν<τες> αὐτοὶ ὑπὸ τῶν λεόντων διεφθάρησαν.

XXXI. «Τότε Δαρεῖος» «ἐπέγραψεν <πᾶσιν τοῖς λαοῖς> φυλαῖς γλώσσαις τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ[5]», εἰρήνην πᾶσιν καταγγέλλων καὶ διὰ τοῦ τότε προτεθέντος ὑπ' αὐτοῦ [τοῦ] δόγματος τὸν θεὸν αὐτοὺς σέβειν ἀναγκάζων, καθὼς λέγει· «ἐκ προσώπου <μου> ἐτέθη δόγμα ἐν πάσῃ ἀρχῇ τῆς βασιλείας μου, εἶναι τρέμοντας καὶ φοβουμένους ἀπὸ προσώπου τοῦ θεοῦ Δανιήλ· ὅτι αὐτός ἐστιν θεὸς ζῶν καὶ μένων εἰς τοὺς αἰῶνας καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται καὶ ἡ κυρεία αὐτοῦ ἕως τέλους· ἀντιλαμβάνεται καὶ ῥύεται καὶ ποιεῖ τέρατα καὶ σημεῖα ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· ὅστις ἐξείλετο τὸν Δανιὴλ ἐκ χειρὸς τῶν λεόντων.[6]» ἰδὲ σύ· σήμερον Βαβυλών ἐστιν ὁ κόσμος, σατράπαι δὲ τούτου αἱ ἐξουσίαι, Δαρεῖος δὲ ὁ τούτων βασιλεύς, λάκκος | <ὁ Ἅιδης, λέοντες οἱ βασανίζοντες ἄγγελοι. τὸν οὖν Δανιὴλ μίμησ>αι, τοὺς σατρά<πας μὴ> φοβηθεὶς καὶ <ἀνθρω>πίνῳ δόγματι μὴ ὑποταγείς, ἵνα βληθεὶς εἰς τὸν λάκκον τῶν λεόντων ὑπὸ τοῦ ἀγγέλου φρουρηθῇς, καὶ τοὺς θῆρας ἡμερώσῃς καὶ ὑπ' αὐτῶν ὡς δοῦλος θεοῦ προσκυνηθῇς καὶ «διαφθορὰ» ἐν σοὶ μὴ εὑρεθῇ, ἀλλὰ ζῶν ἐκ τοῦ λάκκου ἀνενεχθῇς καὶ τῆς ἀναστάσεως κοινωνὸς εὑρεθῇς καὶ τῶν ἐχθρῶν σου κυριεύσῃς καὶ τῷ ἀεὶ ζῶντι θεῷ εὐχαριστήσῃς. — αὐτῷ γὰρ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. ἀμήν.

1. Δαν. 6, 23. 2. Δαν. 6, 26. 3. Παρμ. 26, 27. 4. Ἐσθ. 5, 14. 5. Δαν. 6, 25. 6. Δαν. 6, 26-27.

ΛΟΓΟΣ Δ'.

Περὶ ὁράσεως τοῦ προφήτου Δανιήλ.

I. «Ἐν <τῷ> πρώτῳ ἔτει Βαλτάσαρ βασιλέως Χαλδαίων Δανιὴλ ἐνύπνιον εἶδεν, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τῆς κοίτης αὐτοῦ, καὶ τὸ ἐνύπνιον ἔγραψεν.[1]» ὅσα μὲν οὖν ὑπὸ τοῦ πνεύματος δι' ὁραμάτων ἀπεκαλύφθη τῷ μακαρίῳ προφήτῃ, ταῦτα καὶ ἑτέροις ἀφθόνως διηγήσατο, ἵνα μὴ μόνον αὐτὸς ἑαυτῷ προφητεύων τὰ μέλλοντα φανῇ, ἀλλὰ καὶ ἑτέροις τοῖς βουλομένοις μετὰ πίστεως ἐρευνᾶν τὰς θείας γραφὰς προφήτης ἀποδειχθῇ. λέγει γοῦν· «ἐγὼ Δανιὴλ ἐθεώρουν, καὶ ἰδοὺ οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ προσέβαλον εἰς τὴν θάλασσαν τὴν μεγάλην, καὶ τέσσαρα θηρία μεγάλα ἀνέβαινον ἐκ τῆς θαλάσσης διαφέροντα ἀλλήλοις· τὸ πρῶτον ὡσεὶ λέαινα καὶ πτερὰ αὐτῇ ὡς ἀετοῦ. ἐθεώρουν ἕως οὗ ἐξετίλη τὰ πτερὰ αὐτῆς, καὶ ἐξήρθη ἀπὸ τῆς γῆς, καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη, καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῇ. καὶ ἰδοὺ | θηρίον δεύτερον ὅμοιον ἄρκῳ, καὶ εἰς μέρος ἓν ἐστάθη καὶ τρία πλευρὰ | ἐν τῷ στόματι αὐτῆς ἀνὰ μέσον τῶν ὀδόντων αὐτῆς, καὶ οὕτως ἔλεγον αὐτῇ· ἀνάστηθι, φάγε σάρκας πολλάς. ὀπίσω τούτου ἐθεώρουν, καὶ ἰδοὺ ἕτερον θηρίον ὡσεὶ πάρδαλις, καὶ αὐτῇ πτερὰ τέσσαρα πετεινοῦ ὑπεράνω αὐτῆς καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ, καὶ ἐξουσία ἐδόθη αὐτῇ. ὀπίσω τούτου ἐθεώρουν, καὶ ἰδοὺ θηρίον τέταρτον φοβερὸν καὶ ἔκθαμβον καὶ ἰσχυρὸν περισσῶς· οἱ ὀδόντες αὐτοῦ σιδηροῖ καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ, ἐσθίον καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει. καὶ αὐτὸ διαφέρον περισσῶς παρὰ πάντα τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ, καὶ κέρατα δέκα αὐτῷ. προσενόουν τοῖς κέρασιν αὐτοῦ, καὶ ἰδοὺ κέρας ἕτερον μικρὸν ἀνέβη ἐν μέσῳ αὐτῶν, καὶ τρία κέρατα τῶν ἔμπροσθεν αὐτοῦ ἐξερριζώθη ἀπὸ προσώπου αὐτοῦ· καὶ ἰδοὺ ὀφθαλμοὶ ὡσεὶ ὀφθαλμοὶ ἀνθρώπου ἐν τῷ κέρατι τούτῳ καὶ στόμα | λαλοῦν μεγάλα. ἐθεώρουν ἕως ὅτε | θρόνοι ἐτέθησαν, καὶ ὁ παλαιὸς τῶν ἡμερῶν ἐκάθισεν, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιὼν καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν. ὁ θρόνος αὐτοῦ φλὸξ πυρός, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον· ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ. χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ. κριτήριον ἐκάθισεν καὶ βίβλοι ἠνεῴχθησαν. ἐθεώρουν τότε ἀπὸ φωνῆς τῶν λόγων τῶν μεγάλων, ὧν τὸ κέρας ἐκεῖνο ἐλάλει, ἕως ἀνῃρέθη τὸ θηρίον καὶ ἀπώλετο καὶ τὸ σῶμα αὐτοῦ ἐδόθη εἰς καῦσιν πυρός· καὶ τῶν λοιπῶν θηρίων ἡ ἀρχὴ μετεστάθη, καὶ μακρότης ζωῆς ἐδόθη αὐτοῖς ἕως καιροῦ.[2]»

II. Ἐπεὶ οὖν διάφορα θηρία ἐπεδείχθη τῷ μακαρίῳ Δανιὴλ [τῷ

1. Δαν. 7, 1. 2. Δαν. 7, 2-12.

προφήτῃ] καὶ ταῦτα ἀλλήλων διαφέροντα, δεῖ νοῆσαι ἡ|μᾶς, ὅτι οὐ περὶ θηρίων τινῶν διαλέγεται, ἀλλ' ἐν τύπῳ καὶ εἰκόνι δείκνυσιν τὰς ἐν τῷ κόσμῳ τούτῳ ἐπαναστάσας βασιλείας, ὥσπερ θηρία διαφθείροντα τὴν ἀνθρωπότητα. τὴν γὰρ θάλασσαν τὴν μεγάλην τὸν σύμπαντα κόσμον λέγει, τέσσαρας δὲ | ἀνέμους τοῦ οὐρανοῦ τὴν τετραπέρατον κτίσιν σημαίνει. τὸ οὖν εἰπεῖν· εἶδον «τέσσαρα θηρία» ἀναβαίνοντα «ἐκ τῆς θαλάσσης», τὰς βασιλείας λέγει τοῦ κόσμου τούτου. «τὸ» μὲν «πρῶτον ὡσεὶ λέαινα καὶ πτερὰ αὐτῇ ὡς ἀετοῦ.» λέαιναν οὖν εἰπὼν τὴν τῶν Βαβυλωνίων βασιλείαν ὀνομάζει, ἧς ἦρξεν τότε Ναβουχοδονόσορ. τὸ δὲ εἰπεῖν «πτερὰ αὐτῇ ὡς ἀετοῦ», ὅτι ὑψώθη ὁ βασιλεὺς καὶ κατὰ τοῦ θεοῦ ἐπήρθη φυσιωθεὶς τῇ καρδίᾳ διὰ τὸ μέγαν καὶ ἔνδοξον αὐτὸν γεγενῆσθαι. ἔπειτα λέγει· «ἐξετίλη τὰ πτερὰ αὐτῆς, καὶ ἐξήρθη ἀπὸ τῆς γῆς καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῇ.» τοῦτο | γὰρ ὄντως ἐπὶ τοῦ Ναβουχοδονόσορ συνέβη, καθὼς ἐν τῇ πρὸ ταύτης βίβλῳ σεσήμανται, καὶ αὐτὸς δὲ τοῦτο οὕτως ἐπ' αὐτῷ γεγενῆσθαι μαρτυρεῖ, ὡς ἐξεδιώχθη ἀπὸ τῆς βασιλείας [αὐτοῦ] καὶ ἀφῃρέθη ἀπ' αὐτοῦ ἡ δόξα καὶ ἡ μεγαλωσύνη ἣν ἐκέκτητο τὸ πρότερον. ὥσπερ οὖν παντὸς ὀρνέου ἐπὰν ἐκτιλῇ τὰ πτερὰ ἀδυνατεῖ καὶ εὐάλωτον γίνεται, οὕτως καὶ | τότε τοῦ βασιλέως ἀπέστησαν αἱ δυνάμεις, δι' ὧν ἐδόκει καυχᾶσθαι καὶ ὑψηλοφρονεῖν, οὓς φοβηθεὶς τότε ἔφυγεν εἰς τὴν ἔρημον ἵνα μὴ ὑπ' αὐτῶν ἀναιρεθῇ. τὸ οὖν εἰπεῖν «ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῇ», τοῦτο δηλοῖ, ὅτι ταπεινοφρονήσας Ναβουχοδονόσορ καὶ ἐπιγνοὺς ἑαυτὸν ὅτι ἄνθρωπός ἐστιν ὑπὸ τὴν τοῦ θεοῦ ἐξουσίαν κείμενος, δεηθεὶς τοῦ κυρίου ἔτυχεν τῆς παρ' αὐτοῦ εὐσπλαγχνίας, πάλιν | εἰς τὴν αὐτοῦ βασιλείαν καὶ δόξαν ἀποκατασταθείς. καθὼς αὐτὸς μαρτυρεῖ λέγων· «καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν ἐκείνων ἐγὼ Ναβουχοδονόσορ τοὺς ὀφθαλμούς μου εἰς τὸν οὐρανὸν ἀνέλαβον, καὶ αἱ φρένες μου ἐπ' ἐμὲ ἐπεστράφησαν, καὶ τῷ ὑψίστῳ ηὐλόγησα, καὶ τῷ ζῶντι εἰς τοὺς αἰῶνας ᾔνεσα καὶ ἐδόξασα, ὅτι ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος καὶ ἡ βασιλεία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν, καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν εἰς οὐδὲν ἐλογίσθησαν καὶ ὡς οὐδὲν εἰσίν.[1]»

III. Τούτων οὕτως συμβάντων τοῖς τότε καιροῖς τῷ Ναβουχοδονόσορ, καθὼς ὁ μακάριος Δανιὴλ ἐν τῷ ὁράματι | ἡμῖν ἐδήλωσεν, καὶ αὐτὸς δὲ ὁ βασιλεὺς οὕτως τοῦτο ὡμολόγησεν, καὶ παυσαμένης τῆς τούτου ἀρχῆς ἐπὶ τοῦ Βαλτάσαρ, ἡνίκα αὐτὸς μὲν διὰ τὸ ἔργον ὃ ἔπραξεν διὰ νυκτὸς ἀνῃρέθη, ὡς σεσήμαν|ται ἐν τῇ πρὸ ταύτης βίβλῳ, «παρέλαβεν δὲ τὴν βασιλείαν» «Δαρεῖος ὁ Μῆδος» «ὢν ἐτῶν ἑξήκοντα δύο», εὐλόγως ἕτερον θηρίον διηγεῖται ἀναβαῖνον ὁ προφήτης, ὅπερ ἦν ἡ ἄρκος, ἵνα ἐν τούτῳ ἐπιδείξῃ τὴν τῶν Περσῶν βασι-

1. Δαν. 4, 31-32.

λείαν. «καὶ τρία, φησίν, πλευρὰ ἐν τῷ στόματι αὐτῆς.» τρία δὲ πλευρὰ κλίματα τρία ἐθνῶν λέγει, ὧν ἦρχεν αὐτὸ τὸ θηρίον· οἳ ἦσαν Μῆδοι, Ἀσσύριοι καὶ Βαβυλώνιοι. «καὶ οὕτως ἔλεγον αὐτῇ· ἀνάσθητι, φάγε σάρκας πολλάς.» οἱ γὰρ Πέρσαι ἐπαναστάντες τοῖς τότε καιροῖς τὴν πᾶσαν χώραν ἠρήμωσαν καὶ πολλοὺς τῶν ἀνθρώπων ὑποδούλους ἑαυτοῖς ποιήσαντες διέφθειραν. ὥσπερ γὰρ τὸ θηρίον, ἡ ἄρκος, ῥυπαρόν ἐστιν ζῷον καὶ σαρκοβόρον σπαράσσον ὄνυξίν τε καὶ ὀδοῦσιν, οὕτως ἐγενήθη καὶ ἡ τῶν Περσῶν βασιλεία, οἵτινες | διεκράτησαν ἐπὶ ἔτη διακόσια τριάκοντα.— | τινὲς δὲ τῶν ἱστοριογράφων ἐπὶ διακόσια τεσσαράκοντα πέντε ἔτη τούτους κεκρατηκέναι ἀνεγράψαντο ἕως τῆς Δαρείου ἀρχῆς, ὃν καθελὼν Ἀλέξανδρος ὁ Μακεδὼν ἐν τῷ ἑβδόμῳ ἔτει μετέστησεν τὴν τῶν Περσῶν βασιλείαν εἰς τὴν Ἑλλάδα. καθὼς καὶ Δανιὴλ λέγει· «ὀπίσω τούτου ἐθεώρουν καὶ ἰδοὺ θηρίον ἕτερον ὡσεὶ πάρδαλις, καὶ αὐτῇ πτερὰ τέσσαρα πετεινοῦ ὑπεράνω αὐτῆς καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ καὶ ἐξουσία ἐδόθη αὐτῇ.[1]» πάρδαλιν οὖν ὀνομάσας, τὴν τῶν Ἑλλήνων βασιλείαν ἐσήμανεν, ὧν ἦρχεν Ἀλέξανδρος ὁ Μακεδών· ἀφωμοίωσεν δὲ αὐτοὺς παρδάλει διὰ τὸ γεγενῆσθαι αὐτοὺς ὀξεῖς τῷ νοῒ καὶ πολυμηχάνους ἐν τοῖς λογισμοῖς καὶ πικροὺς τῇ καρδίᾳ, ὃν τρόπον καὶ τὸ ζῷον ποικίλον ἐστὶν τῇ ἰδέᾳ, ὀξὺ δὲ εἰς τὸ κακοποιῆσαι καὶ | αἷμα ἀνθρώπου πιεῖν. «τέσσαρα» δέ φησιν «πτερὰ πετεινοῦ ὑπεράνω αὐτῆς καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ.» μετὰ γὰρ τὸ ὑψωθῆναι τὴν βασιλείαν Ἀλεξάνδρου καὶ αὐξηθῆναι καὶ εἰς | πάντα τὸν κόσμον ὀνομασθῆναι, διεμερίσθη ἡ βασιλεία αὐτοῦ εἰς τέσσαρας ἀρχάς. τελευτῶν γὰρ [ὁ] Ἀλέξανδρος διεῖλεν αὐτὴν τοῖς συντρόφοις τοῖς ἐκ τοῦ γένους αὐτοῦ τέσσαρσιν ἀνθρώποις, Σελεύκῳ, Δημητρίῳ, Πτολεμαίῳ καὶ Φιλίππῳ, καὶ «ἐπέθεντο πάντες» οὗτοι «διαδήματα», καθὼς Δανιὴλ τοῦτο προμηνύει καὶ ἐν τῇ πρώτῃ βίβλῳ τῶν Μακκαβαϊκῶν ἀναγέγραπται.[2]

IV. Κρατησάντων οὖν τῶν Ἑλλήνων ἐπὶ ἔτη τριακόσια, ἕτερόν μοι πάλιν σημαίνει ὁ προφήτης. φησὶν γὰρ οὕτως· «ὀπίσω τούτου ἐθεώρουν καὶ ἰδοὺ θηρίον τέταρτον φοβερὸν καὶ ἔκθαμβον καὶ ἰσχύον περισσῶς· [καὶ] οἱ ὀδόντες αὐτοῦ σιδηροῖ | καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ, ἐσθίον καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει· καὶ αὐτὸ διαφέρον περισσῶς παρὰ πάντα τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ καὶ κέρατα δέκα αὐτῷ. προσενόουν τοῖς κέρασιν αὐτοῦ καὶ ἰδοὺ κέρας ἕτερον μικρὸν ἀνέβη ἐν μέσῳ αὐτῶν καὶ τρία κέρατα τῶν ἔμπροσθεν αὐτοῦ ἐξερριζώθη ἀπὸ προσώπου αὐτοῦ· καὶ ἰδοὺ | ὀφθαλμοὶ ὡς ὀφθαλμοὶ ἀνθρώπου ἐν τῷ κέρατι τούτῳ καὶ στόμα λαλοῦν μεγάλα. ἐθεώρουν ἕως ὅτου θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν· ὁ θρόνος αὐτοῦ φλὸξ πυρός, οἱ τροχοὶ αὐτοῦ

1. Δαν. 7, 6. 2. Α' Μακκ. 1, 9-10.

πῦρ φλέγον· ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ· χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ· κριτήριον ἐκάθισεν καὶ βίβλοι ἠνεῴχθησαν. ἐθεώρουν τότε ἀπὸ φωνῆς τῶν λόγων τῶν μεγάλων, ὧν τὸ κέρας ἐκεῖνο ἐλάλει, ἕως ἀνῃρέθη τὸ θηρίον καὶ ἀπώλετο καὶ τὸ σῶμα αὐτοῦ ἐδόθη εἰς καῦσιν πυρός· καὶ τῶν λοιπῶν θηρίων ἡ ἀρχὴ μετεστάθη, καὶ μακρότης ζωῆς ἐδόθη αὐτοῖς ἕως καιροῦ.[1]»

V. Ὅτι μὲν οὖν μετὰ τὴν τῶν Ἑλλήνων βασιλείαν ἑτέρα ἄλλη οὐκ ἐγήγερται βασιλεία, εἰ μὴ ἡ κρατοῦσα νῦν, ἣ καὶ συνέστηκεν, καὶ τοῦτο πᾶσιν πρόδηλόν ἐστιν. ἥτις ὀδόντας μὲν ἔχει σιδηροῦς διὰ τὸ πάντας δαμάζειν καὶ | λεπτύνειν τῇ ἰδίᾳ ἰσχύϊ ὥσπερ ὁ σίδηρος· τὰ δὲ «ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει[2]» διὰ τὸ μὴ καταλείπεσθαι ἑτέραν βασιλείαν ἔτι μετὰ ταύτην, ἀλλ' ἢ ἐξ αὐτῆς ταύτης κέρατα δέκα ἀναφύεσθαι καὶ ἐν μέσῳ αὐτῶν ἓν μικρὸν ἀναβαίνειν καὶ τρία τῶν πρώτων ἐκριζοῦν. | ὥσπερ γὰρ ἐπὶ τῆς παρδάλεως προεῖπεν ὁ προφήτης, ὅτι «τέσσαρες κεφαλαὶ τῷ θηρίῳ[3]», καὶ ἐγένετο καὶ ἐμερίσθη ἡ βασιλεία Ἀλεξάνδρου εἰς τέσσαρας ἀρχάς, οὕτω καὶ νῦν προσδοκᾶν δεῖ, ἕως ἀναβήσεται δέκα κέρατα ἐξ αὐτῆς ταύτης, ὅταν ὁ χρόνος τοῦ θηρίου πληρωθῇ καὶ τὸ μικρὸν κέρας, ὅπερ ἐστὶν ὁ ἀντίχριστος, ἐν αὐτοῖς αἰφνιδίως ἀναφανῇ, καὶ ἡ δικαιοσύνη [ἡ] ἐκ τῆς γῆς ἐξαρθῇ, καὶ ὁ πᾶς κόσμος εἰς συντέλειαν τότε παρῇ. ὥστε οὔτε προλαμβάνειν ἡμᾶς δεῖ τὴν τοῦ θεοῦ βουλήν, ἀλλὰ μακροθυμεῖν καὶ δέεσθαι, ἵνα μὴ εἰς τοιούτους χρόνους ἐμπέσωμεν, οὔτε μὴν ἀπιστεῖν, ὡς μὴ μέλλοντα ταῦτα γίνεσθαι. εἰ γὰρ τὰ πρῶτα, ὅσα προεῖπον οἱ προ|φῆται, οὐκ ἐγένοντο, μηδὲ ταῦτα προσδόκα· εἰ δὲ ἐκεῖνα ἐγένοντο κατὰ καιροὺς ἰδίους καθὼς προείρηται, πάντως καὶ ταῦτα [οὐ γενήσεται· εἰ δὲ ἐκεῖνα ἐγένοντο πάντως | . . τελεσθήσονται. τὸ γὰρ λέγειν τινάς· καὶ «πότε ταῦτα ἔσται;[4]» ἀπίστων ἐστὶν ἀνθρώπων οὐ πιστευόντων· τὸ δὲ προγινώσκειν τὰ ἐσόμενα, [καὶ πιστεύειν], ὅτι οὕτως ἔσται, μακαρίου ἐστὶν ἀνδρός, εἰδότος καὶ σιωπῶντος, ἵνα μή ποτε πολλὰ λαλῶν κινδυνεύσῃ.

VI. Ὅτι δὲ ἀληθῆ ἐστι ταῦτα καὶ πρόδηλα τοῖς τοῦ θεοῦ δούλοις γεγένηται, ἐπιδείξωμεν καὶ ἑτέρως. οὐδὲν γὰρ ὅλως ψεύδεται ἡ γραφή, οὐδὲ τὸ πνεῦμα τὸ ἅγιον πλανᾷ τοὺς δούλους αὐτοῦ τοὺς προφήτας, δι' ὧν εὐηρέστησεν τὴν βουλὴν τοῦ θεοῦ καταγγεῖλαι τοῖς ἀνθρώποις, ἵνα βλέποντες ταῦτα γινόμενα μὴ σφαλλώμεθα, μηδὲ ὡς ξένα ταῦτα θεωροῦντες ταρασσώμεθα. ἄλλως γὰρ ἡ συντέλεια τῷ κόσμῳ τούτῳ ἐπελθεῖν οὐ δύναται, εἰ μὴ οὕτως. ὥσπερ γὰρ ἐπὶ Σοδόμων, ἡνίκα ἐπληρώθη αὐτῶν τὰ παραπτώματα, εὐθέως τὸ πῦρ κατῆλθεν ἐπ' αὐτοὺς καὶ ἀπώλοντο[5], | οὕτως καὶ νῦν ἔσται· | ἡνίκα

1. Δαν. 7, 7-12. 2. Δαν. 7, 7. 3. Δαν. 7, 6. 4. Ματθ. 24, 3. 5. Γεν. 19, 24.

πληθυνθῇ ἡ ἀνομία ἐν τῷ κόσμῳ καὶ διαμερισθῇ τὸ νῦν σιδηροῦν θηρίον εἰς τὰ δέκα κέρατα καὶ γένωνται ἀκαταστασίαι καὶ ἀσυμφωνίαι ἄλλων ἀλλαχῇ διασπώντων τὸ βασίλειον, «τότε ἥξει» ἐπ' αὐτοὺς «τὸ τέλος.[1]»

VII. Ἐπεὶ οὖν φθάσαντες καὶ ἐν ἑτέρῳ λόγῳ περὶ τούτων ἀποδεδώκαμεν τὸν λόγον, τήν τε τοῦ ἀντιχρίστου παρουσίαν καὶ τὸ τούτου γένος, καὶ πόθεν καὶ πῶς παρέσται ὁ πλάνος, καὶ τὴν πρᾶξιν αὐτοῦ οὐκ ἐσιωπήσαμεν, ὅμως καὶ νῦν δι' ὀλίγων ἐπιμνησθήσομαι, ἵνα κατὰ πάντα ἑδραίως ἑστὼς ὁ ἄνθρωπος καὶ ἐν μηδενὶ βαμβαίνων τῷ νοῒ ἐξ ὅλης καρδίας τῷ θεῷ πιστεῦσαι δυνηθῇ. λέγει γὰρ ὁ μακάριος Δανιὴλ ἐπιλύων τὸ ὅραμα τῷ Ναβουχοδονόσορ, λέγω δὴ τὸ τῆς εἰκόνος, ἧς τὴν κεφαλὴν [γὰρ ταύτης] χρυσὸν εἶναι ἀπεφήνατο, ἔπειτα χεῖρας καὶ βραχίονας | καὶ στῆθος ἄργυρον, εἶτα κοιλίαν καὶ μηροὺς χαλκόν, ἔπειτα κνήμας σίδηρον, <εἶτα πόδας μέρος μέν τι> σίδηρον, [καὶ] μέρος δέ τι ὄστρακον, ἵνα ἐν τούτῳ ἀπο|δείξῃ, ὅπερ νῦν ἐν τῷ αὐτοῦ ὁράματι διὰ τῶν θηρίων διηγήσατο. ὡς τὸν μὲν χρυσὸν εἶναι τὴν τῶν Βαβυλωνίων βασιλείαν, ἥτις ἦν ἡ λέαινα, τὸν δὲ ἄργυρον τὴν τῶν Περσῶν, ἥτις ἦν ἡ ἄρκος, εἶτα τὸν χαλκὸν τὴν τῶν Ἑλλήνων, ὧν ἦρξεν ὁ Ἀλέξανδρος ὁ Μακεδών, ἵνα δείξῃ τὴν πάρδαλιν. μετὰ ταῦτα λέγει κνήμας σιδηρᾶς, ἵνα τὸ θηρίον τὸ ἔκθαμβον καὶ φοβερὸν σημήνῃ, τὸ ἔχον τοὺς ὀδόντας σιδηροῦς, ὅπερ ἐστὶν οἱ νῦν κρατοῦντες Ῥωμαῖοι, ἰσχυροὶ ὄντες ὡς ὁ σίδηρος. μετὰ γοῦν τὰς κνήμας τῆς εἰκόνος τὰς σιδηρᾶς τί περιλείπεται, εἰ μὴ οἱ πόδες, ἐν οἷς εἰσιν δέκα δάκτυλοι καὶ οὗτοι ἀναμεμιγμένοι ὀστράκῳ καὶ σιδήρῳ· ἵνα διὰ μὲν τῶν δέκα δακτύλων | σημανθῇ τὰ δέκα κέρατα, διὰ δὲ τοῦ ὀστράκου καὶ τοῦ σιδήρου ἡ τούτων ἀσυμφωνία, ὡς συμμιγεῖς μὲν ἔσονται ἐν σπέρμασιν ἀνθρώπων, οὐκ ἔσονται δὲ κολλώμενοι οὗτος μετὰ τούτου; καθάπερ γὰρ ὁ σίδηρος οὐκ ἀναμίγνυται | μετὰ τοῦ ὀστράκου, οὕτως οὐδὲ τότε οἱ ἄνθρωποι ἀλλήλοις ὁμονοεῖν δυνήσονται, ἄλλων ἀλλαχῇ ἀτάκτως φερομένων, καὶ ἑαυτοῖς τὸ βασίλειον κατὰ ἔθνη διαιρουμένων.

VIII. Ἀλλ' ἐπεὶ ἡ χάρις τοῦ θεοῦ πλουσίως ἐκ διδάσκει τοὺς ἐπ' αὐτῷ ἠλπικότας καὶ [τοὺς] τούτου τοῦ κόσμου καταπεφρονηκότας, οὐδὲ τοῦτο παραλείψομεν, τίνι λόγῳ ὁ μακάριος προφήτης πάσας μὲν τὰς βασιλείας τὰς ἔμπροσθεν γενομένας ὠνόμασεν θηρίοις ταύτας ὁμοιώσας, τὴν δὲ νῦν ἐνεστῶσαν βασιλείαν οὐκ ἐξεῖπεν, ποταπὸν εἴη τὸ θηρίον. ἐρῶ δὲ <περὶ> αὐτοῦ σαφέστερον ἵνα μᾶλλον νοηθῇ τὸ λεγόμενον. εἰπὼν γὰρ τὴν τῶν | Βαβυλωνίων βασιλείαν λέαιναν εἶναι καὶ τὴν τῶν Περσῶν ἄρκον καὶ τὴν τῶν Ἑλλήνων πάρδαλιν, διατί τὴν τῶν Ῥωμαίων οὐκ εἶπεν τὸ τί ἦν τὸ θηρίον, ἀλλά φησιν «φοβερὸν καὶ ἔκθαμβον περισσῶς, οἱ ὀδόντες αὐτοῦ σιδηροῖ καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ;[2]» νόησον, ὦ ἄνθρωπε, καὶ δόξασον τὸν κύριον. ἐπειδὴ

1. Ματθ. 24, 14. 2. Δαν. 7, 7.

γὰρ οἱ Βαβυλώνιοι ἓν ἔθνος ὑπῆρχον, αὐτοὶ δὲ τοῖς | τότε καιροῖς ἐδόκουν πάντων κυριεύειν, δικαίως λέαιναν αὐτοὺς ὠνόμασεν, ὡς ζῷον μονοειδές. ὁμοίως δὲ καὶ οἱ Πέρσαι ἓν ἔθνος ἐστὶν ῥυπαρὸν μὲν πλὴν ὁμόγλωσσον· διὰ τοῦτο καὶ ἄρκῳ αὐτοὺς ὡμοίωσεν. ὡσαύτως καὶ τοὺς Ἕλληνας πάρδαλιν εἶπεν· οἱ γὰρ πάντες Ἕλληνες ὑπῆρχον. νυνὶ δὲ τὸ νῦν κρατοῦν θηρίον οὐκ ἔστιν ἓν ἔθνος, ἀλλ' ἐκ πασῶν τῶν γλωσσῶν καὶ ἐκ παντὸς γένους ἀνθρώπων συνάγει ἑαυτῷ καὶ παρασκευάζει δύναμιν εἰς παράταξιν πο|λέμου, οἱ πάντες μὲν Ῥωμαῖοι καλούμενοι, μὴ ὄντες δὲ [οἱ] πάντες ἐκ μιᾶς χώρας. ὥστε καλῶς ὁ προφήτης καταπλαγεὶς καὶ προορῶν τὸ μέλλον οὐκ ὠνόμασεν ποταπὸν τὸ θηρίον, ἀλλ' ἐθαύμασεν λέγων· «ἔφριξεν τὸ πνεῦμά μου ἐν τῇ ἕξει μου, ἐγὼ Δανιὴλ καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάρασσόν με. καὶ προσῆλθον ἑνὶ τῶν ἑστηκότων καὶ τὴν ἀκρίβειαν ἐζήτουν παρ' αὐτοῦ περὶ πάντων τούτων. καὶ εἶπέν μοι τὴν ἀκρίβειαν, καὶ τὴν σύγκρισιν τῶν λόγων ἐγνώρισέν μοι.[1]» τίνες οὖν ἦσαν οἱ ἑστηκότες | ἀλλ' ἢ οἱ ἄγγελοι οἱ πρὸ προσώπου τῆς δόξης τοῦ κυρίου ἑστῶτες καὶ τὴν ἀδιάλειπτον λειτουργίαν τούτῳ ἑτοιμάζοντες, ὑπηρέται ἀεὶ πρὸς τὰ κελευόμενα γινόμενοι;

IX. Ἀλλ' ἐπεὶ ὑπέπεσέν τι νόημα ἐν καρδίᾳ, οὐ καταλείψομεν αὐτὸ ἀδιήγητον, δυνάμενον ὠφελῆσαι ψυχήν. ἐπειδὴ γὰρ ἐν τῷ τεσσαρακοστῷ δευτέρῳ ἔτει ἐπὶ Αὐγούστου Καίσαρος γε|γέννηται ὁ κύριος, ἀφ' οὗπερ ἤκμασεν τὸ τῶν Ῥωμαίων βασίλειον, διὰ δὲ τῶν ἀποστόλων ὁ κύριος προσεκαλέσατο πάντα τὰ ἔθνη καὶ πάσας τὰς γλώσσας καὶ ἐποίησεν ἔθνος πιστῶν χριστιανῶν τὸ κύριον καὶ «καινὸν ὄνομα» ἐν καρδίᾳ βασταζόντων, τῷ αὐτῷ τρόπῳ ἀντεμιμήσατο ἡ βασιλεία <ἡ νῦν> [ἡμῶν] ἥτις κρατεῖ «κατ' ἐνέργειαν τοῦ σατανᾶ», ὁμοίως δὲ καὶ αὕτη ἐκ πάντων τῶν ἐθνῶν συλλέγουσα τοὺς γενναιοτάτους καταρτίζει εἰς πόλεμον, Ῥωμαίους τούτους ἀποκαλοῦσα. καὶ διὰ τοῦτο καὶ πρώτη ἀπογραφὴ ἐγένετο ἐπὶ Αὐγούστου, ἡνίκα ὁ κύριος ἐν Βηθλεὲμ ἐγεννήθη, ἵνα οἱ τοῦ κόσμου τούτου ἄνθρωποι ἐπιγείῳ βασιλεῖ | ἀπογραφόμενοι Ῥωμαῖοι κληθῶσιν, οἱ δὲ τῷ ἐπουρανίῳ βασιλεῖ πιστεύοντες Χριστιανοὶ ὀνομασθῶσιν, τὸ τρόπαιον τὸ κατὰ τοῦ θανάτου ἐπὶ μετώπῳ βαστάζοντες.

X. Ἵνα δὲ μὴ ἐκτραπῶμεν τῶν προκειμένων, δειχθῇ δὲ τὰ ὑπὸ τοῦ προφήτου ἑωραμένα ἀληθῆ καὶ τὰ ὑφ' ἡμῶν χάριτι κυρίου νενοημένα καὶ εἰρημένα ἀκριβῆ, | ἴδωμεν εἰ ἐπιμαρτυρεῖ τοῖς ἡμετέροις λόγοις ὁ ἄγγελος ὁ ἐκδιδάσκων τὸν μακάριον Δανιήλ. λέγει γὰρ οὕτως· «ταῦτα τὰ θηρία τὰ τέσσαρα τέσσαρες βασιλεῖαι ἀναστήσονται ἐπὶ τῆς γῆς, αἳ ἀρθήσονται, καὶ παραλήψονται τὴν βασιλείαν ἅγιοι ὑψίστου καὶ καθέξουσιν αὐτὴν ἕως αἰῶνος τῶν αἰώνων.[2]» ἀναγκαίως οὖν· τῶν γὰρ τριῶν θηρίων ἤδη διαδραμόντων καὶ μεταστάντων, καθ'

1. Δαν. 7, 15-16. 2. Δαν. 7, 17-18.

ἃ ἐπάνω δέδεικται, καὶ τοῦ ἑνὸς ἔτι ἀκμὴν ἐνεστῶτος, ἐὰν καὶ τοῦτο μεταρθῇ, παύεται λοιπὸν τὰ ἐπίγεια, ἄρχεται δὲ τὰ ἐπουράνια, ἵνα τὸ τῶν ἁγίων ἀκατάλυτον καὶ αἰώνιον βασίλειον δειχθῇ καὶ ὁ βασιλεὺς ὁ οὐράνιος προφανῶς πᾶσιν ἐπιδειχθῇ, μηκέτι διὰ [ἑτέρου] εἴδους ὡς ἐν ὄρει Σινᾶ βλεπόμενος μηδὲ ἐν στύλῳ | νεφέλης ἐπὶ κορυφῆς ὄρους ἀποκαλυπτόμενος, ἀλλὰ μετὰ | δυνάμεων καὶ στρατιῶν ἀγγέλων, ἔνσαρκος δὲ θεὸς καὶ ἄνθρωπος, υἱὸς θεοῦ καὶ ἀνθρώπου ἀπ' οὐρανῶν κριτὴς τῷ κόσμῳ παραγινόμενος. ὃς μεταστήσει πάσας τὰς βασιλείας τὰς ἐν τῷ κόσμῳ τούτῳ καὶ ἀλοήσει καὶ λικμήσει καὶ διασπερεῖ αὐτὰς ὡσεὶ κονιορτὸν «ἀπὸ ἅλωνος θερινῆς[1]» καὶ δώσει τὸ βασίλειον «ἁγίοις ὑψίστου», τὸν μὲν «σῖτον» συνάγων «εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον» κατακαίων «πυρὶ ἀσβέστῳ·[2]» ὃς νῦν ὑπὸ τῶν ἀθέων καὶ ἀσεβῶν καταφρονεῖται καὶ ὑπὸ τῶν ἀπίστων βλασφημεῖται μήτε τὰ γεγραμμένα νοούντων, μήτε τίνι παραδέδοται ἡ ἐξουσία τῆς κρίσεως.[3] εἰ γὰρ καὶ νῦν «βραδύνει»[4] πρὸ καιροῦ μὴ θέλων τὴν κρίσιν τῷ κόσμῳ ἐπενεγκεῖν τὸ τοῦ ἰδίου πατρὸς πρόσταγμα ἐπιτελῶν, ἀλλ' ἐρχόμενος ἥξει μετὰ τῶν τραυμάτων αὐτοῦ καὶ «ἀποδώσει ἑκάστῳ» «κατὰ τὰ ἔργα αὐτοῦ.[5]»

XI. Ὅσοι οὖν εὐλαβῶς τῷ θεῷ προσ|έρχεσθε, ἐπίγνωτε τοῦτον, πάλαι | ὑπὸ Μωσέως τῷ λαῷ δεδειγμένον καὶ ἐπὶ τῷ ὄρει <πε>φανερωμένον καὶ ὑπὸ τῶν προφητῶν προκεκηρυγμένον καὶ ὑπὸ τοῦ μακαρίου Δανιὴλ ὡς ἄνθρωπον ἑωραμένον, περὶ οὗ λέγει [γάρ]· «ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν, καὶ προσηνέχθη αὐτῷ. καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία καὶ πάντες οἱ λαοὶ φυλαὶ γλῶσσαι δουλεύσουσιν αὐτῷ· ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται.[6]» παλαιὸν μὲν οὖν [τῶν] ἡμερῶν οὐχ ἕτερον λέγει, ἀλλ' ἢ τὸν τῶν ἁπάντων κύριον καὶ θεὸν καὶ δεσπότην τὸν καὶ αὐτοῦ τοῦ Χριστοῦ πατέρα, τὸν παλαιοῦντα τὰς ἡμέρας, οὐκ αὐτὸν ὑπὸ χρόνων ἢ ἡμερῶν παλαιούμενον, περὶ οὗ ἀνωτέρω εἴρηται· | «θρόνοι ἐτέθησαν καὶ παλαιὸς ἡμερῶν ἐκάθητο καὶ τὸ ἔνδυμα αὐτοῦ ὡσεὶ χιὼν λευκόν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν· ὁ θρόνος αὐτοῦ φλὸξ πυρός, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον· | ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ· χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ· κριτήριον ἐκάθισεν καὶ βίβλοι ἠνεῴχθησαν.[7]» πρὸς τοῦτον προσηνέχθη ὁ υἱὸς τοῦ ἀνθρώπου ὑπὸ νεφέλης βασταζόμενος καὶ ὑπ' ἀρχαγγέλων προσφερόμενος, ἵνα λάβῃ παρ' αὐτοῦ τὴν πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν καὶ βασιλείαν, ἵνα «πάντες λαοί, φυλαί, γλῶσσαι» δουλεύσωσιν «αὐτῷ.[8]» καὶ ἵνα

1. Δαν. 2, 35. 2. Λουκ. 3, 17. 3. Ἰω. 5, 27. 4. Β' Πέτρ. 3, 9. 5. Ματθ. 16, 27. 6. Δαν. 7, 13-14. 7. Δαν. 7, 9-10. 8. Δαν. 7, 14.

μή τις ὑπολάβῃ ὅτι πρόσκαιρος αὐτοῦ ἢ ἐπίγειος ἡ δοθεῖσα αὐτῷ ὑπὸ τοῦ πατρὸς βασιλεία, λέγει ὁ προφήτης· «ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται, καὶ ἡ | βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται.[1]» τῷ οὖν ἰδίῳ υἱῷ ὁ πατὴρ πάντα ὑποτάξας τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ «ἐπὶ τῆς γῆς καὶ» τὰ «ὑποκάτω τῆς γῆς»[2] διὰ πάντων ἐπέδειξεν αὐτὸν πρωτότοκον ἐν πᾶσιν γινόμενον· πρωτότοκον ἐκ θεοῦ, ἵνα δεύτερος μετὰ τὸν πατέρα υἱὸς θεοῦ ὢν ἀποδειχθῇ· πρωτότοκον πρὸ ἀγγέλων, ἵνα καὶ ἀγγέ|λων κύριος φανῇ· πρωτότοκον ἐκ παρθένου, ἵνα τὸν πρωτόπλαστον Ἀδὰμ ἐν ἑαυτῷ ἀναπλάσσων δειχθῇ· «πρωτότοκον [καὶ] ἐκ νεκρῶν»[3], ἵνα «ἀπαρχὴ»[4] τῆς ἡμετέρας ἀναστάσεως αὐτὸς γενηθῇ.

XII. Ἐπεὶ οὖν τοῦτον πάντες οἱ προφῆται καὶ ἀπόστολοι μαρτυροῦσιν, οἱ δὲ ἄνομοι ἀπειθοῦντες αὐτὸν βλασφημοῦσιν καὶ τὰ λεγόμενα ἐξουθενοῦσιν καὶ τοὺς δούλους αὐτοῦ διώκοντες καταπονοῦσιν, καὶ ὡς μηδὲ ἐσόμενα ταῦτα οὐ προσδοκῶσιν, ἴδωμεν ἡμεῖς οἱ τῷ τῆς ἀληθείας λόγῳ πιστεύοντες καὶ ὑπ' αὐ|τοῦ τοῦ λόγου εἰς τὴν αἰώνιον ζωὴν ὁδηγούμενοι, ὑπὸ δὲ τῶν προφητῶν διδασκόμενοι καὶ ὑπὸ τοῦ πνεύματος φωτιζόμενοι, ἵνα διὰ τῆς χάριτος αὐτοῦ σοφισθέντες ἐπιγνῶμεν τὰ πάλαι μὲν προκεκηρυγμένα κατὰ καιροὺς δὲ συμβάντα καὶ συμβησόμενα· τήν τε κρίσιν τοῦ θεοῦ πρὸ ὀφθαλμῶν ἔχοντες φυλάξωμεν ἑαυτοὺς ἀπὸ παντὸς κακοῦ, ἵνα ἐκφύγωμεν τὸ πῦρ τὸ αἰώνιον καὶ τὴν κόλασιν τὴν ἀκατάπαυστον. εἰ γὰρ καὶ νῦν | ἐφ' ἡμῶν οὐ συμβαίνει ταῦτα διὰ τὸ μήπω τοὺς χρόνους πεπληρῶσθαι, ἀλλὰ γοῦν εὔχεσθαι δεῖ μηδὲ εὑρεθῆναι ἡμᾶς ἐν τοῖς τοιούτοις καιροῖς, ἐν οἷς ταῦτα συμβήσεται, μήποτε ἀτονήσας τις ἀπὸ τῆς θλίψεως τῆς μεγάλης τῆς ἐπερχομένης τῷ κόσμῳ ἐκπέσῃ τῆς αἰωνίου ζωῆς. ἐνορᾶν γὰρ χρὴ τί λέγει ὁ προφήτης· «καὶ ἐζήτουν ἀκριβῶς περὶ τοῦ θηρίου τοῦ τετάρτου, ὅτι ἦν διαφέρον παρὰ | πᾶν θηρίον, φοβερὸν περισσῶς· οἱ ὀδόντες αὐτοῦ σιδηροῖ καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ, ἐσθίον καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει· καὶ περὶ τῶν κεράτων αὐτοῦ τῶν δέκα τῶν ἐν τῇ κεφαλῇ αὐτοῦ καὶ τοῦ μικροῦ τοῦ ἀναβάντος καὶ ἐκτινάξαντος ἐκ τῶν προτέρων τρία, οὗ οἱ ὀφθαλμοὶ καὶ τὸ στόμα λαλοῦν μεγάλα, καὶ ἡ ὅρασις αὐτοῦ ἐγένετο μείζων τῶν λοιπῶν. ἐθεώρουν, καὶ τὸ κέρας ἐκεῖνο ἐποίει πόλεμον μετὰ τῶν ἁγίων καὶ ἴσχυσεν πρὸς αὐτούς, ἕως οὗ ἦλθεν ὁ παλαιὸς τῶν ἡμερῶν καὶ τὸ κρίμα ἔδωκεν ἁγίοις ὑψίστου, καὶ ὁ καιρὸς ἔφθασεν καὶ τὴν βασιλείαν κατέσχον οἱ ἅγιοι.[5]» ἐπεὶ οὖν, | καθὼς φθάσαντες εἴπαμεν, τὴν τετάρτην βασιλείαν ταύτην δηλοῖ, παρ' ἣν ἑτέρα ἄλλη μείζων [καὶ τοιαύτη] βασιλεία ἐπὶ τῆς γῆς οὐκ ἐγήγερται, ἐξ ἧς μέλλει ἀναφύεσθαι δέκα κέρατα, [καὶ] αὐτὴ μερισθήσεται εἰς δέκα διαδήματα | καὶ ἐν αὐτοῖς ἑτε-

1. Δαν. 7, 14. 2. Α' Κορ. 15, 27. Ἐφ. 1, 22. Ἑβρ. 2, 8. 3. Κολ. 1, 18. 4. Α' Κορ. 15, 23. 5. Δαν. 7, 19-22.

ρον μικρὸν κέρας ἀναβήσεται, ὅπερ ἐστὶν τὸ τοῦ ἀντιχρίστου, καὶ ἐκριζώσει τρία τῶν ἔμπροσθεν αὐτοῦ, τοῦτ' ἔστιν τοὺς τρεῖς βασιλεῖς ἀνελεῖ Αἰγύπτου, Λιβύων τε καὶ Αἰθιόπων, βουλόμενος ἑαυτῷ περιποιεῖσθαι τὴν πᾶσαν βασιλείαν. ὃς περικρατήσας τῶν λοιπῶν κεράτων ἑπτά, ἄρχεται λοιπὸν ὑπὸ τοῦ ἐν αὐτῷ ἀλλοτρίου καὶ πονηροῦ πνεύματος φυσιωθεὶς πόλεμον ἐγείρειν κατὰ τῶν ἁγίων καὶ πάντας πανταχοῦ διώκειν, βουλόμενος ὑπὸ πάντων δοξάζεσθαι καὶ προσκυνεῖσθαι ὡς θεός. καθὼς καὶ Ἰεζεκιὴλ περὶ αὐτοῦ λέγει· «ἀνθ' ὧν ὑψώθη ἡ καρδία σου καὶ εἶπας· θεός εἰμι ἐγώ[1]», καὶ πάλιν «μὴ λέγων ἐρεῖς τοῖς ἀναιροῦσίν σε· θεός εἰμι ἐγώ; σὺ δὲ εἶ ἄνθρωπος καὶ οὐ θεός.[2]» καὶ Ἡσαΐας ὁμοίως· «σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου· εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω| τῶν νεφελῶν τοῦ οὐρανοῦ στήσω τὸν θρόνον μου, καθιῶ ἐν τῷ ὄρει» τῷ ἁγίῳ, «ἔσομαι ὅμοιος τῷ ὑψίστῳ.[3]»

XIII. Εἰ μὲν οὖν βούλεταί τις λε|πτομερῶς ἐντυχεῖν περὶ αὐτοῦ, ἐν ἑτέρᾳ βίβλῳ σαφέστερον ταῦτα ἐπιδέδεικται, ἵνα μηδὲ ἐκ δευτέρου περὶ αὐτοῦ τὸν λόγον ποιεῖσθαι μέλλωμεν. νυνὶ δὲ πρὸς τὸ προκείμενον ἐροῦμεν περὶ τοῦ νῦν ἐνεστῶτος θηρίου. λέγει γὰρ Δανιὴλ οὕτως· «καὶ εἶπέ» μοι ὁ ἄγγελος· «τὸ θηρίον τὸ τέταρτον βασιλεία τετάρτη ἔσται ἐν τῇ γῇ, ἥτις ὑπερέξει πάσας τὰς βασιλείας, καὶ καταφάγεται πᾶσαν τὴν γῆν, καὶ συμπατήσει αὐτὴν καὶ κατακόψει. καὶ τὰ δέκα κέρατα αὐτοῦ δέκα βασιλεῖς ἀναστήσονται καὶ ὀπίσω αὐτῶν ἀναβήσεται ἕτερος, ὃς ὑπεροίσει κακοῖς πάντας τοὺς ἔμπροσθεν καὶ λόγους πρὸς τὸν ὕψιστον λαλήσει καὶ τοὺς ἁγίους ὑψίστου πλανήσει καὶ ὑπονοήσει τοῦ ἀλλοιῶσαι καιροὺς καὶ νόμον, καὶ δοθήσεται ἐν χειρὶ αὐτοῦ ἕως καιροῦ καὶ καιρῶν καὶ ἥμισυ καιροῦ. καὶ τὸ κριτήριον ἐκάθισεν καὶ τὴν ἀρχὴν | μεταστήσουσιν τοῦ ἀφανίσαι καὶ τοῦ ἀπολέσαι ἕως τέλους, | καὶ ἡ βασιλεία καὶ ἡ ἐξουσία καὶ ἡ μεγαλωσύνη [ἡ] τῶν βασιλέων τῶν ὑποκάτω παντὸς τοῦ οὐρανοῦ ἐδόθη ἁγίοις ὑψίστου, καὶ ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, καὶ πᾶσαι αἱ ἀρχαὶ αὐτῷ δουλεύσουσιν καὶ ὑπακούσονται. ἕως ὧδε τὸ πέρας τοῦ λόγου.[4]»

XIV. Ἐπεὶ οὖν βουλόμενος ὁ προφήτης κατὰ πάντα πεῖσαι ἡμᾶς καὶ συμβιβάσαι πρὸς τὴν ἀλήθειαν τῶν ὑπ' αὐτοῦ ἑωραμένων πυνθάνεται παρ' ἑνὸς τῶν ἑστηκότων ἀγγέλων, ὅπως καὶ αὐτὸς ἀκριβέστερον ἐκδιδαχθῇ περὶ τοῦ θηρίου τοῦ τετάρτου· «ἐζήτουν» γάρ φησιν «ἀκριβέστερον περὶ» αὐτοῦ «ὅτι ἦν» «φοβερὸν» καὶ ἔκθαμβον. τοῦτον οὖν ἐκδιδάσκων ὁ ἄγγελος, μᾶλλον δὲ δι' αὐτοῦ πείθων καὶ ἡμᾶς πιστεύειν τοῖς ὑπ' αὐτοῦ, καλῶς ἑωραμένοις, διηγεῖται αὐτῷ ἅπαντα τὰ μέλλοντα ἔσχατον γίνεσθαι, | τόν τε μερισμὸν τοῦ θηρίου τοῦ τετάρτου τῶν δέκα κεράτων τῶν ἐξ αὐτοῦ ἐγειρομένων, τήν τε τοῦ ἀντιχρίστου ἐν αὐτοῖς φανέρωσιν καὶ τὸν τούτου πρὸς τοὺς ἁγίους πόλεμον καὶ τὸν χρόνον αὐτοῦ, ὃν μελλήσει περικρατεῖν. | «δοθήσεται»

1. Ἰεζ 28, 2. 2. Ἰεζ. 28, 9. 3. Ἡσ. 14, 13-14. 4. Δαν. 7, 23-28.

γάρ φησιν «ἐν χειρὶ αὐτοῦ ἕως καιροῦ καὶ καιρῶν καὶ ἥμισυ καιροῦ[1]», ὅπερ σημαίνει τρία ἥμισυ ἔτη, καὶ μετὰ ταῦτα» τὸ κριτήριον τὸ ἐσόμενον· «θρόνοι» γάρ φησιν «ἐτέθησαν» «καὶ κριτήριον ἐκάθισεν» «καὶ ἡ βασιλεία» «ἐδόθη ἁγίοις ὑψίστου», τὸ δὲ «σῶμα» τοῦ θηρίου δοθήσεται «εἰς καῦσιν πυρός.» ὁ γὰρ «καιρὸς ἔφθασεν», τοῦτ' ἔστιν ὁ σύμπας χρόνος ἐπληρώθη, «καὶ τὴν [δὲ] βασιλείαν καθέξουσιν οἱ ἅγιοι», παραγινομένου λοιπὸν ἀπ' οὐρανοῦ τοῦ κριτοῦ τῶν κριτῶν καὶ τοῦ βασιλέως τῶν βασιλέων, ὃς μεταστήσει πᾶσαν τὴν τοῦ ἀντικειμένου ἀρχὴν καὶ δύναμιν καὶ καταφλέ|ξει πάντας αἰωνίῳ πυρὶ κολάζων τοὺς ἀδίκους, τοῖς δὲ δούλοις αὐτοῦ προφήταις τε καὶ μάρτυσι καὶ πᾶσιν τοῖς φοβουμένοις αὐτὸν δώσει τὸ αἰώνιον βασίλειον. ὡς ὁ προφήτης λέγει· «ἕως ὧδε τὸ πέρας τοῦ λόγου. ἐγὼ Δανιήλ, οἱ διαλογισμοὶ ἐπὶ πλεῖον συνετάρασσόν με καὶ ἡ μορφή μου ἠλλοιώθη καὶ τὸ ῥῆμα [μου] ἐν τῇ καρδίᾳ μου διετήρησα.[2]»

XV. Δεῖ οὖν πάντα ἄνθρωπον τὸν ἐντυγχάνοντα ταῖς θείαις γραφαῖς μιμεῖσθαι τὸν προφήτην Δανιὴλ | καὶ μὴ εἶναι εἰκαῖόν τε καὶ προαλῆ, πρὸ καιροῦ καιρὸν ἐπιζητοῦντα καὶ «τοὺς ὀλύνθους» τῆς συκῆς ἰδεῖν ἐπιθυμοῦντα[3], ἀλλὰ κατέχειν μετὰ φόβου «τὸ μυστήριον τοῦ θεοῦ[4]» ἐν καρδίᾳ, ἵνα μὴ αὐτὸς ὑφ' ἑαυτοῦ τοῖς ἰδίοις χείλεσιν παγιδευθεὶς ἔνοχος γένηται τῆς ἰδίας ψυχῆς. ἥξει γὰρ ὁ καιρός, ὅτε «ἀνθήσει τὸ ἀμύγδαλον» καὶ τραχυνθῇ «ἡ κάππαρις» «καὶ πλη|θυνθῇ ἡ ἀκρίς[5]» καὶ βλαστήσει ἡ συκῆ καὶ προκόψουσιν οἱ τῆς ἀποστασίας καρποί. τότε «κλεισθήσεται ἡ θύρα[6]» τῆς ζωῆς καὶ συντριβήσεται «ἡ ὑδρία ἐπὶ τὴν πηγὴν καὶ συντροχάσει ὁ τροχὸς ἐπὶ τὸν λάκκον[7]» καὶ ἀργήσουσιν «αἱ ἀλήθουσαι, ὅτι ὠλιγώθησαν[8]» καὶ ἐξεγερθήσονται πάντες ἀπὸ «φωνῆς τοῦ στρουθίου[9]» καὶ ταραχθήσονται «πᾶσαι αἱ θυγατέρες τοῦ ᾄσματος[10]» καὶ συναχθήσονται «ἐν ἀγορᾷ οἱ κοπτόμενοι[11]» καὶ ἀπελεύσεται «ἄνθρωπος εἰς οἶκον αἰῶνος αὐτοῦ.[12]»

XVI. Ἀλλ' ἐρεῖ τις, καὶ «πότε ταῦτα ἔσται[13]»; ποίῳ δὲ καιρῷ ἢ χρόνῳ μέλλει γὰρ ὁ πλάνος ἀποκαλύπτεσθαι; καὶ ποία ἡ ἡμέρα τῆς τοῦ κυρίου ἐπιφανείας; ἐπε|ζήτησαν ταῦτα μαθεῖν παρὰ τοῦ κυρίου ὁμοίως καὶ οἱ μαθηταί, ἀλλ' ἀπέκρυψεν ἀπ' αὐτῶν τὴν ἡμέραν, ἵνα ἐγρηγόρους αὐτούς τε καὶ πάντας πρὸς τὰ μέλλοντα καταστήσῃ, ἀεὶ| μεριμνῶντας καὶ προσδοκῶντας τὸ καθ' ἡμέραν τὸν ἐπουράνιον νυμφίον, μή ποτε διὰ τὴν μακροημερίαν ἀμελήσαντες τῶν ὑπ' αὐτοῦ προστεταγμένων, «χρονίζοντος[14]» αὐτοῦ, ἀπονυστάξαντες οἱ ἄνθρωποι ἐκπέσωσιν τῆς ἐπουρανίου ζωῆς. «γρηγορεῖτε» γὰρ λέγει «οὐ γὰρ οἴδατε ποίᾳ ἡμέρᾳ ἢ ὥρᾳ ὁ κύριος ὑμῶν ἔρχεται, ἢ ὀψέ, ἢ μεσονυκτίῳ,

1. Δαν. 7, 25. 2. Δαν. 7, 28. 3. Πρβλ. Λουκ. 21, 29 ἑξ. 4. Ἀποκ. 10, 7. 5. Ἐκκλ. 12, 5. 6. Ματθ. 25, 10. 7. Ἐκκλ. 12, 6. 8. Ἐκκλ. 12, 3. 9. Ἐκκλ. 12, 4. 10. Ἐκκλ. 12, 4. 11. Ἐκκλ. 12, 5. 12. Πρβλ. Ἐκκλ. 12, 7. 13. Ματθ. 24, 3. 14. Ματθ. 25, 5.

ἢ πρωΐ.[1]» δια τοῦτο λέγει· «μακάριος ὁ δοῦλος ἐκεῖνος ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει γρηγοροῦντα· ἀμὴν λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσιν τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐν τῇ καρδίᾳ αὐτοῦ, χρονίζει ὁ κύριός μου ἔρχεσθαι, καὶ ἄρξηται [δὲ] τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε καὶ πίνειν μετὰ τῶν μεθυόντων, ἥξει ὁ κύριος αὐτοῦ ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει καὶ διχοτομήσει | αὐτὸν καὶ τὸ μέρος αὐτοῦ μετὰ | τῶν ἀπίστων θήσει· ἐκεῖ γὰρ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.[2]» «διὰ τοῦτο» «λέγω ὑμῖν· γρηγορεῖτε.» ταῦτα μὲν οὖν ἐν τῷ εὐαγγελίῳ αὐτὸς ὁ κύριος ἡμῶν διδάσκων τοὺς μαθητὰς ἀπεφήνατο. ὁμοίως δὲ καὶ μετὰ τὴν ἀνάστασιν αὐτοῦ τὰ αὐτὰ προσελθόντες οἱ μαθηταὶ «ἐπηρώτων αὐτὸν λέγοντες· κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τοῦ Ἰσραήλ; ὁ δὲ εἶπεν πρὸς αὐτούς· οὐχ ὑμῶν ἐστὶν γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ, ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ ἐν τῇ Γαλιλαίᾳ καὶ πάσῃ χώρᾳ τῆς Σαμαρείας καὶ ἕως ἐσχάτου τῆς γῆς.[3]»

XVII. Ἐπεὶ οὖν ἀπέκρυψεν ἀπ' αὐτῶν τὴν ἡμέραν, διὰ δὲ τῶν σημείων τῶν γινομένων, δι' ὧν εὐκόλως ἐπιγνώσεται ὁ ἄνθρωπος, ἐξεῖπεν, νοεῖν ὀφείλομεν τὰ κατὰ καιρὸν συμβαί|νοντα καὶ εἰδότες σιωπᾶν. δεῖ δὲ αὐτὰ γενέσθαι κἂν ἡμεῖς μὴ θέλωμεν· ἡ γὰρ ἀλήθεια οὐδέποτε ψεύδεται. ὥσπερ δὲ εἶπεν | περὶ τῆς Ἱερουσαλὴμ πόλεως, καὶ ἐπῆλθεν ἐπ' αὐτὴν τὰ εἰρημένα· [ἐν τῷ εἰπεῖν] «ὅταν γὰρ ἴδητε, φησί, κυκλουμένην τὴν Ἱερουσαλὴμ ὑπὸ στρατοπέδων, τότε γινώσκετε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς[4]», οὕτως καὶ τὸ νῦν προσδοκᾶν χρή. «ὅταν γὰρ ἴδητε, φησίν, τὸ βδέλυγμα τῆς ἐρημώσεως ἑστὸς ἐν τόπῳ ἁγίῳ [αὐτοῦ] — ὁ ἀναγινώσκων νοείτω —, τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, καὶ ὁ ἐπὶ τοῦ δώματος μὴ καταβάτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω ἆραι τὸ ἱμάτιον αὐτοῦ. οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐκ ἐγένετο ἀπ' ἀρχῆς κόσμου οὐ|δὲ μὴ γένηται. καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ.[5]» φανερὸν οὖν ἐν τούτῳ ἐποίησεν ἡμῖν, ἵνα μηκέτι ἐν μηδενὶ ἀμφιβάλλωμεν. καὶ πάλιν λέγει· ὅταν «ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως» ἑστὸς «ἐν τόπῳ ἁγίῳ» καὶ ὅταν ἴδητε τὴν συκῆν προβάλλουσαν «τὰ φύλλα αὐτῆς, γινώσκετε ὅτι ἐγγύς ἐστιν τὸ θέρος· οὕτως καὶ ὑμεῖς ὅταν ἴδητε | ταῦτα πάντα γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις.[6]» τοῦ οὖν βδελύγματος μηδέπω παραγενομένου, ἀλλ' ἔτι τοῦ τετάρτου θηρίου μόνου κρατοῦντος, πῶς δύναται ἡ ἐπιφάνεια τοῦ κυρίου γενέσθαι; ἀλλ' ἐρεῖ τις· γέγραπται,

1. Ματθ. 24, 42. 25, 13. 2. Ματθ. 24, 46-51. 3. Πράξ. 1, 6-8. 4. Λουκ. 21, 20. 5. Ματθ. 24, 15-22. 6. Ματθ. 24, 32-33.

ὅταν ἴδητε «πολέμους καὶ ἀκαταστασίας», τότε «γινώσκετε ὅτι ἐγγύς ἐστιν.[1]» ναί, γέγραπται· «ἐγερθήσεται γάρ, φησίν, ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν καὶ ἔσονται σεισμοὶ κατὰ τόπους καὶ λιμοὶ | καὶ λοιμοί[2]», ἅτινα ἤδη ἐγένοντο καὶ γενήσεται. «ταῦτα δὲ πάντα», φησίν, «ἀρχαὶ ὠδίνων[3]», «ἀλλ' οὔπω τὸ τέλος» [ἐν αὐτοῖς]. «πρῶτον» γὰρ «δεῖ κηρυχθῆναι τὸ εὐαγγέλιον» τοῦ κυρίου ἐν ὅλῳ τῷ κόσμῳ «εἰς μαρτύριον πᾶσιν τοῖς ἔθνεσιν, καὶ οὕτως ἥξει τὸ τέλος[4]», ὅταν ὁ σύμπας χρόνος πληρωθῇ.

XVIII. Διηγήσομαι γὰρ καὶ τὸ συμβὰν οὐ πρὸ πολλοῦ χρόνου ἐν τῇ Συρίᾳ. προεστὼς γάρ τις τῆς ἐκεῖ ἐκκλησίας καὶ μὴ ἐμπόνως ἐντυγχάνων ταῖς θείαις γραφαῖς μηδὲ τῇ φωνῇ τοῦ κυρίου ἀκολουθήσας ἐπλανήθη καὶ αὐτὸς καὶ ἑτέρους ἐπλάνησεν. τοῦ γὰρ κυρίου εἰπόντος, «ἐξεγερθήσονται | πολλοὶ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσιν σημεῖα καὶ τέρατα, ὥστε πλανῆσαι εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς·[5]» «τότε ἐάν τις εἴπῃ ὑμῖν· ἰδοὺ ὧδε ὁ Χριστός, ἢ ὧδε, μὴ πιστεύσητε»· «ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστίν, μὴ ἐξέλθητε· ἰδοὺ ἐν τοῖς ταμεί|οις, μὴ εἰσέλθητε[6]», ταῦτα μὴ νοήσας ἐκεῖνος, ἔπεισε πολλοὺς τῶν ἀδελφῶν μετὰ γυναικῶν καὶ τέκνων εἰς συνάντησιν τῷ Χριστῷ ἐξελθεῖν εἰς τὴν ἔρημον, οἳ καὶ ἐπλανῶντο ἐν τοῖς ὄρεσιν καὶ ἐν ταῖς ὁδοῖς εἰκῇ πλαζόμενοι· ὥστε μικροῦ δεῖν ὡς λῃστὰς αὐτοὺς συλληφθέντας πάντας ὑπὸ τοῦ ἡγεμόνος ἀναιρεθῆναι, εἰ μὴ ἔτυχεν ἡ τούτου γυνὴ οὖσα πιστή, καὶ ὑπ' αὐτῆς παρακληθεὶς κατέστειλε τὸ πρᾶγμα, ἵνα μὴ δι' αὐτοὺς διωγμὸς πᾶσιν ἐπιγένηται. πόση αὐτῶν μωρία καὶ ἀπαιδευσία, ἵνα ἐν τῇ ἐρήμῳ [πορευόμενοι] τὸν Χριστὸν ζητῶσιν, ὃν τρόπον καὶ ἐπὶ Ἐλισαίου τοῦ προφήτου οἱ υἱοὶ τῶν προφητῶν ἀναληφθέντα τὸν Ἠλίαν ἐπὶ τρεῖς ἡμέρας ἐν τοῖς ὄρεσιν ἐζήτουν. εἰπόντος οὖν τοῦ κυρίου, «ὥσπερ ἡ ἀστραπὴ | ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνει ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου[7]», — ἐν | τούτῳ σημαίνων ἑαυτὸν εὐδήλως καὶ προφανῶς «μετὰ δυνάμεως καὶ δόξης» πατρικῆς ἀπὸ οὐρανῶν μέλλειν παραγίνεσθαι, — οὗτοι ἐν τοῖς ὄρεσιν καὶ ἐν τῇ ἐρήμῳ αὐτὸν ἐζήτουν. οὐ γὰρ οὕτως ἔσται ἡ δευτέρα αὐτοῦ παρουσία ὁποία ἡ πρώτη ἐγένετο. τότε γὰρ ὡς εὐτελὴς ἄνθρωπος μόνον ἐφαίνετο, νυνὶ δὲ κριτὴς τοῦ παντὸς κόσμου παραγίνεται. καὶ τότε παρεγένετο σῶσαι τὸν ἄνθρωπον, νῦν δὲ παραγίνεται κολάσαι πάντας ἁμαρτωλοὺς καὶ τοὺς εἰς αὐτὸν ἠσεβηκότας. ταῦτα δὲ λέγομεν πρὸς στηριγμὸν τῶν πιστῶν ἀδελφῶν, ἵνα μὴ προλαμβάνωσιν τὴν βουλὴν τοῦ θεοῦ, γινώσκων εἷς ἕκαστος ὅτι [ἐν] ᾗ ἂν ἡμέρᾳ ἐξέλθῃ ἐκ τοῦ κόσμου τούτου «ἤδη κέκριται·[8]» ἔφθασεν γὰρ ἐπ' αὐτὸν ἡ συντέλεια.

XIX. Ἕτερος δέ τις ὁμοίως ἐν τῷ Πόντῳ καὶ αὐτὸς προεστὼς

1. Λουκ. 21, 9, 31. 2. Ματθ. 24, 7. 3. Ματθ. 24, 8. Μάρκ. 13, 8. 4. Ματθ. 24, 14. 5. Ματθ. 24, 24. 6. Ματθ. 24, 25. 7. Ματθ. 24, 27. 8. Ἰω. 3, 18.

ἐκκλησίας, εὐλαβὴς μὲν ἀνὴρ καὶ ταπεινόφρων, μὴ προσέχων δὲ ἀσφαλῶς ταῖς γραφαῖς, ἀλλὰ τοῖς ὁράμασιν οἷς αὐτὸς ἑώρα μᾶλλον ἐπίστευεν. ἐπιτυχὼν γὰρ ἐ|φ' ἑνὶ καὶ δευτέρῳ καὶ τρίτῳ ἐνυπνίῳ, ἤρξατο λοιπὸν προλέγειν τοῖς ἀδελφοῖς ὡς προφήτης· τόδε εἶδον καὶ τόδε μέλλει γίνεσθαι. καὶ δή πο<τ>ε πλανηθεὶς εἶπεν· γινώσκετε, ἀδελφοί, ὅτι μετὰ ἐνιαυτὸν ἡ κρίσις μέλλει γίνεσθαι. οἱ δὲ ἀκούσαντες αὐτοῦ προλέγοντος, ὡς ὅτι «ἐνέστηκεν ἡ ἡμέρα τοῦ κυρίου[1]», μετὰ κλαυθμῶν καὶ ὀδυρμῶν ἐδέοντο τοῦ κυρίου νυκτὸς καὶ ἡμέρας πρὸ ὀφθαλμῶν ἔχοντες τὴν ἐπερχομένην τῆς κρίσεως ἡμέραν. καὶ εἰς τοσοῦτον ἤγαγεν φόβον καὶ δειλίαν τοὺς ἀδελφούς, ὥστε ἐᾶσαι αὐτῶν τὰς χώρας καὶ τοὺς ἀγροὺς ἐρήμους τά τε κτήματα αὐτῶν οἱ πλείους κατεπώλεσαν. ὁ δὲ ἔφη αὐτοῖς· ἐὰν μὴ γένηται καθὼς εἶπον, μηκέτι μηδὲ ταῖς γραφαῖς πιστεύσητε, ἀλλὰ ποιείτω ἕκαστος ὑμῶν ὃ βούλεται. τῶν δὲ προσδοκώντων μὲν τὸ ἀποβησόμενον καὶ τοῦ ἐνιαυτοῦ πληρωθέντος, μηδενὸς δὲ ὧν ἐκεῖνος ἔλεγεν συμβάντος, αὐτὸς | μὲν κατῃσχύνθη ὡς ψευσάμενος, αἱ δὲ γραφαὶ ἐφάνησαν ἀληθεύουσαι, οἱ δὲ ἀδελφοὶ | εὑρέθησαν σκανδαλιζόμενοι, ὥστε λοιπὸν τὰς παρθένους αὐτῶν γῆμαι καὶ τοὺς ἄνδρας ἐπὶ τὴν γεωργίαν χωρῆσαι· οἱ δὲ εἰκῇ τὰ ἑαυτῶν κτήματα πωλήσαντες εὑρέθησαν ὕστερον ἐπαιτοῦντες.

XX. Ταῦτα συμβαίνει τοῖς ἰδιώταις καὶ ἐλαφροῖς ἀνθρώποις, ὅσοι ταῖς μὲν γραφαῖς ἀκριβῶς οὐ προσέχουσιν, ταῖς δὲ ἀνθρωπίναις παραδόσεσιν καὶ ταῖς ἑαυτῶν πλάναις καὶ τοῖς ἑαυτῶν ἐνυπνίοις καὶ μυθολογίαις καὶ λόγοις γραώδεσι μᾶλλον [ἡδέως] πείθονται. καὶ γὰρ τοῖς υἱοῖς Ἰσραὴλ τὸ ὅμοιον συνέβη· τὸν μὲν «τοῦ θεοῦ» νόμον ἐξουθενοῦντες παρεγράφοντο, ταῖς δὲ τῶν «πρεσβυτέρων[2]» παραδόσεσιν εὐαρεστοῦντες ὑπετάσσοντο. καὶ [γὰρ] νῦν δέ τινες τὰ ὅμοια τολμῶσιν «προσέχοντες» ὁράμασι ματαίοις «καὶ διδασκαλίαις δαιμονίων[3]» καὶ ἐν σαββάτῳ καὶ κυριακῇ πολλάκις νηστείαν ὁρίζοντες, ἥνπερ ὁ Χριστὸς οὐχ ὥρισεν, ἵνα τὸ τοῦ Χριστοῦ εὐαγγέλιον ἀτιμάσωσιν.

XXI. Ἐπεὶ οὖν | τὰ τοῦ κυρίου ῥήματά ἐστιν ἀληθῆ, «πᾶς δὲ ἄνθρωπος ψεύστης[4]», καθὼς γέ|γραπται, ἴδωμεν εἰ καὶ ὁ ἀπόστολος Παῦλος σύμφωνός ἐστιν τοῖς τοῦ κυρίου ῥήμασιν. γράφων γὰρ πρὸς Θεσσαλονικεῖς καὶ παραινῶν τούτοις ἀεὶ μὲν γρηγορεῖν καὶ προσκαρτερεῖν ταῖς εὐχαῖς, μηδέπω δὲ τὴν ἡμέραν τῆς κρίσεως προσδοκᾶν διὰ τὸ τὸν καιρὸν μήπω πεπληρῶσθαι, οὕτως ἔφη [πρὸς αὐτούς]· «ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ τῆς παρουσίας τοῦ κυρίου, ἵνα μὴ θορυβῆσθε μήτε διὰ λόγου μήτε δι' ἐπιστολῆς ὡς ἐξ ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα κυρίου. μηδεὶς ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον· ὅτι ἐὰν μὴ πρῶτον ἔλθῃ ἡ ἀποστασία καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ὑπὲρ πάντα [τὸν] θεὸν λε-

1. Β' Θεσσ. 2, 2. 2. Πρβλ. Α' Τιμ. 4, 7. 3. Α' Τιμ. 4, 1. 4. Ψαλμ. 115, 2.

γόμενον, ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἐστὶν θεός. οὐ μνημονεύετε, | ὅτι ἔτι ὢν πρὸς ὑ|μᾶς ταῦτα ἔλεγον ὑμῖν; καὶ νῦν τὸ κατέχον οἴδατε εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ. τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς πλάνης, μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται· καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ κύριος Ἰησοῦς ἀνελεῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ, οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ σατανᾶ.[1]» τίς οὖν ἐστιν ὁ κατέχων ἕως ἄρτι, ἀλλ' ἢ τὸ τέταρτον θηρίον, οὗ μετατεθέντος καὶ ἐκ μέσου γεναμένου ἐλεύσεται ὁ πλάνος; ἀλλὰ πάντως ζητεῖς περίεργος ὢν πόσα ἔτη περιλείπεται τῷ θηρίῳ, ἵνα μεταρθῇ, μὴ νοῶν, ὅτι ταῦτα ζητῶν ἑαυτῷ τὸν κίνδυνον ἐπιζητεῖς καὶ τάχιον τὴν κρίσιν ἰδεῖν ἐπιθυμεῖς. «οὐαί», γάρ φησιν, «οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν κυρίου», «καὶ αὕτη ἐστὶν σκότος καὶ οὐ φῶς. ὃν τρόπον ἐάν τις ἐκφύγῃ ἀπὸ προ|σώπου λέοντος, καὶ ἀπαντήσῃ αὐτῷ ἄρκτος, καὶ εἰσπηδήσῃ εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀπερείσῃ τὰς χεῖρας [αὐτοῦ] πρὸς τὸν τοῖχον καὶ δάκνῃ αὐτὸν ὄφις. οὐχὶ τοιαύτη ἡ ἡμέρα τοῦ κυρίου σκότος καὶ οὐ φῶς; <καὶ γνόφος> οὐκ ἔχων φέγγος;[2]»

XXII. Τί δέ σοι καὶ τοὺς χρόνους περιεργάζεσθαι | καὶ τὴν ἡμέραν [τοῦ κυρίου] ἐπιζητεῖν, ὁπότε ἀπέκρυψεν ἀφ' ἡμῶν ταύτην ὁ σωτήρ; εἰπέ μοι εἰ γινώσκεις τὴν ἡμέραν τῆς ἐξόδου σου, ἵνα τὴν συντέλειαν τοῦ παντὸς κόσμου πολυπραγμονήσῃς. εἰ μὴ δὲ ἐμακροθύμει ὁ θεὸς ἐφ' ἡμῖν διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ εὐσπλαγχνίαν, πάλαι ἂν τὰ πάντα ἐξήλειπτο. ἀνάγνωθι τὸ εἰρημένον [καὶ] ὑπὸ Ἰωάννου ἐν τῇ Ἀποκαλύψει· «καὶ εἶδον τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ τὸ ὄνομα Ἰησοῦ ὑποκάτω τοῦ θυσιαστηρίου καὶ ἐβόησαν καὶ εἶπαν πρὸς τὸν θεόν· ἕως πότε, κύριε ὁ θεὸς ἡμῶν, οὐ κρίνεις καὶ ἐκδικεῖς τὸ αἷμα ἡμῶν ἀπὸ | τῶν κατοικούντων ἐπὶ τῆς γῆς; καὶ ἐδόθησαν αὐτοῖς στολαὶ λευκαὶ καὶ ἐρρέθη αὐτοῖς, ἵνα περιμείνωσιν χρόνον ἔτι μικρόν, ὅπως [καὶ] οἱ σύνδουλοι αὐτῶν πληρώσωσιν τὴν μαρτυρίαν αὐτῶν οἱ μέλλοντες ἀποκτείνεσθαι ὡς καὶ αὐτοί.[3]» εἰ οὖν τοῖς μάρτυσι προσετάγη μακροθυμεῖν, οἵτινες τὸ ἴδιον αἷμα ὑπὲρ τοῦ Χριστ|οῦ ἐξέχεαν, διὰ τί καὶ σὺ οὐ μακροθυμεῖς, ἵνα καὶ ἕτεροι σωθῶσιν καὶ ὁ ἀριθμὸς τῶν κλητῶν [καὶ] ἁγίων πληρωθῇ;

XXIII. Ἵνα δὲ μηδὲ ἐν τούτῳ ἀναπόδεικτον καταλείψωμεν τὸ προ|κείμενον διὰ τὸ λίχνον εἶναι τὸν ἄνθρωπον, ἀναγκαζόμενοι ὃ μὴ ἔξεστιν εἰπεῖν παρὰ βίαν λέγομεν. οἱ γὰρ χρόνοι ἀπὸ καταβολῆς κόσμου καὶ ἀπὸ Ἀδὰμ καταριθμούμενοι εὔδηλα ἡμῖν παριστῶσι τὰ ζητούμενα. ἡ γὰρ πρώτη παρουσία τοῦ κυρίου ἡμῶν ἡ ἔνσαρκος, ἐν ᾗ γεγέννηται ἐν Βηθλεέμ, [πρὸ τεσσάρων ἀπριλίων] ἐγένετο πρὸ | ὀκτὼ καλανδῶν ἰανουαρίων, ἡμέρᾳ τετράδι, βασιλεύοντος Αὐγούστου τεσσαρακοστὸν καὶ

1. Β' Θεσσ. 2, 1-9. 2. Ἀμ. 5, 18-20. 3. Ἀποκ. 6, 9-11.

δεύτερον ἔτος, ἀπὸ δὲ Ἀδὰμ πεντακισχιλιοστῷ καὶ πεντακοσιοστῷ ἔτει· ἔπαθεν δὲ τριακοστῷ τρίτῳ ἔτει πρὸ ὀκτὼ καλανδῶν ἀπριλίων, ἡμέρᾳ παρασκευῇ, ὀκτωκαιδεκάτῳ ἔτει Τιβερίου Καίσαρος, ὑπατεύοντος Ῥούφου καὶ Ῥουβελλίωνος [καὶ Γαΐου Καίσαρος τὸ τέταρτον <καὶ> Γαΐου Κεστίου Σατορνίνου]. δεῖ οὖν ἐξ ἀνάγκης τὰ ἑξακισχίλια ἔτη πληρωθῆναι, ἵνα ἔλθῃ τὸ σάββατον, ἡ κατάπαυσις, ἡ ἁγία ἡμέρα, ἐν ᾗ «κατέπαυσεν» ὁ θεὸς «ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ποιεῖν.[1]» τὸ σάββατον τύπος ἐστὶν καὶ εἰκὼν τῆς μελλούσης βασιλείας τῶν ἁγίων, ἡνίκα συμβασιλεύσουσιν τῷ Χριστῷ, παραγινομένου αὐτοῦ ἀπ᾽ οὐρανῶν, ὡς [καὶ] Ἰωάννης ἐν τῇ Ἀποκαλύψει αὐτοῦ διηγεῖται. ἡμέρα γὰρ κυρίου «ὡς χίλια ἔτη.[2]» ἐπεὶ οὖν ἐν ἓξ ἡμέραις ἐποίησεν ὁ θεὸς | τὰ πάντα, δεῖ τὰ ἑξακισχίλια ἔτη πληρωθῆναι· οὐδέπω γὰρ πεπλήρωνται, ὡς Ἰωάννης λέγει· «οἱ πέντε ἔπεσον, ὁ [δὲ] εἷς ἔστιν», τοῦτ᾽ ἔστιν ὁ ἕκτος, «ὁ ἄλλος οὔπω ἦλθεν[3]», τὸν ἄλλον δὲ | λέγων τὸν ἕβδομον διηγεῖται, ἐν ᾧ ἔσται ἡ κατάπαυσις.

XXIV. Ἀλλὰ πάντως ἐρεῖ τις· πῶς μοι ἀποδείξεις εἰ πεντακισχιλιοστῷ καὶ πεντακοσιοστῷ ἔτει ἐγεννήθη ὁ σωτήρ; εὐκόλως διδάχθητι, ὦ ἄνθρωπε· τὰ γὰρ ἐν τῇ ἐρήμῳ πάλαι ὑπὸ Μωϋσέως περὶ τὴν σκηνὴν γεγενημένα τύποι καὶ εἰκόνες τῶν πνευματικῶν ἐτελοῦντο μυστηρίων, ἵνα ἐλθούσης ἐπ᾽ ἐσχάτων τῆς ἀληθείας ἐν Χριστῷ, ταῦτα πεπληρωμένα νοῆσαι δυνηθῇς. φησὶν γὰρ πρὸς αὐτόν· «καὶ ποιήσεις τὴν κιβωτὸν ἐκ ξύλων ἀσήπτων», «καὶ καταχρυσώσεις αὐτὴν χρυσίῳ καθαρῷ ἔσωθεν καὶ ἔξωθεν, καὶ ποιήσεις» «τὸ μῆκος» αὐτῆς «δύο πήχεων καὶ ἡμίσεως» καὶ τὸ εὖρος αὐτῆς «πήχεως καὶ ἡμίσεως» καὶ «τὸ ὕψος» αὐτῆς «πήχεως καὶ ἥμισυ.[4]» ὅπερ συναγόμενον τὸ μέτρον ποιεῖ πήχεις πέντε ἥμισυ, ἵνα δειχθῇ τὰ πεντακισχίλια πεντακόσια ἔτη, | ἐν ᾧ χρόνῳ παρὼν ὁ σωτὴρ ἐκ τῆς παρθένου τὴν κιβωτόν, τὸ ἴδιον σῶμα, ἐν τῷ κόσμῳ προσήνεγκεν [ἐν] χρυσίῳ καθαρῷ κεχρυσωμένην ἔνδοθεν μὲν τῷ λόγῳ, ἔξωθεν δὲ τῷ πνεύματι τῷ ἁγίῳ. ὥστε ἀποδέδεικται ἡ ἀλήθεια καὶ πεφανέρωται ἡ κιβωτός. ἀπὸ γενέσεως οὖν Χριστοῦ δεῖ ψηφίζειν πεντακόσια ἔτη τὰ ἐπίλοιπα εἰς συμπλήρωσιν τῶν ἑξακισχιλίων ἐτῶν, καὶ οὕτως ἔσται τὸ τέλος. ὅτι δὲ πέμπτῳ καὶ ἡμίσει καιρῷ παρῆν ὁ σωτὴρ ἐν τῷ κόσμῳ φέρων τὴν ἄσηπτον κιβωτόν, τὸ ἴδιον σῶμα, λέγει ὁ Ἰωάννης «ἦν δὲ ὥρα ἕκτη[5]», ἵνα τὸ ἥμισυ τῆς ἡμέρας ἐπιδείξῃ, ἡμέρα δὲ κυρίου «χίλια ἔτη»· τούτων οὖν τὸ ἥμισυ γίνεται πεντακόσια. οὐ γὰρ ἐνεδέχετο τάχιον αὐτὸν παρεῖναι· ἔτι γὰρ βάρος νόμου ἦν· οὐδὲ <αὖ> ἕκτης πεπληρωμένης· κλείεται γὰρ τὸ λουτρόν· ἀλλὰ πέμπτης καὶ ἡμισείας, ἵνα ἐν τῷ | ἐπιλοίπῳ ἡμίσει χρόνῳ εἰς πάντα τὸν κόσμον τὸ εὐαγγέλιον κηρυχθῇ καὶ πληρωθείσης τῆς ἕκτης ἡμέρας παύσῃ τὸν νῦν βίον. ἐπειδὴ γὰρ οἱ μὲν Πέρσαι διεκρά-

1. Γεν. 2, 3. 2. Ψαλμ. 89, 4. Β΄ Πέτρ. 3, 8. 3. Ἀποκ. 17, 10. 4. Ἔξ. 25, 10-11. 5. Ἰω. 19, 14.

τησαν βασιλεύοντες ἔτη διακόσια τριάκοντα, καὶ μετὰ τούτους οἱ Ἕλληνες ἅτε δὴ ἐνδοξότεροι ὑπάρχοντες [ἐπὶ] ἔτη τριακόσια, ἐξ ἀνάγκης δεῖ τὸ τέταρτον θηρίον ὡς ἰσχυρὸν καὶ μεῖζον | πάντων τῶν ἔμπροσθεν αὐτοῦ γενομένων βασιλεῦσαι ἔτη πεντακόσια, ὧν καιρῶν συμπληρουμένων καὶ τῶν δέκα κεράτων ἐπ᾽ ἐσχάτων ἐξ αὐτοῦ ἐγειρομένων, ἀναφανήσεται ἐν αὐτοῖς ὁ ἀντίχριστος, περὶ οὗ ἔμπροσθεν λόγον ἐποιησάμεθα. τούτου πολεμοῦντος [τότε] καὶ διώκοντος τοὺς ἁγίους, τότε δεῖ προσδοκᾶν ἀπ᾽ οὐρανῶν τὴν ἐπιφάνειαν τοῦ κυρίου, ἵνα ὁ «βασιλεὺς τῶν βασιλέων[1]» φανερῶς πᾶσιν ἐπιδειχθῇ καὶ ὁ κριτὴς τῶν κριτῶν μετὰ παρρησίας [καὶ δόξης] ἐρχόμε|νος σημανθῇ. ὅσα γὰρ ἤδη παρὰ θεοῦ προωρίσθη γενέσθαι, καὶ ἀπὸ τῶν προφητῶν προκεκήρυκται, ταῦτα οὕτως καιροῖς ἰδίοις πληρωθήσεται.

XXV. Παυσάμενος οὖν ὁ προφήτης τοῦ προκειμένου, ἐκδιδάξας ἡμᾶς μετὰ πάσης ἀκριβείας τῶν ἐσομένων τὴν ἀσφάλειαν, μετέβη πάλιν ἐπὶ [τε] τὴν τῶν Περσῶν καὶ Ἑλλήνων βασιλείαν, ἑτέραν ὅρασιν ἡμῖν διηγούμενος, ἥτις ἐγένετο καὶ ἐπληρώθη ἐν τοῖς ἰδίοις καιροῖς, ὅπως ἐν τούτῳ πιστοὺς ἡμᾶς καταρτίσας καὶ πρὸς τὰ μέλλοντα γίνεσθαι πιστοτέρους τῷ θεῷ παραστῆσαι δυνηθῇ. φησὶν γὰρ οὕτως· «ἐν ἔτει τρίτῳ τῆς βασιλείας Βαλτάσαρ τοῦ βασιλέως, ὅρασις ὤφθη [πρός με ἐγὼ] ἐμοὶ Δανιὴλ μετὰ τὴν ὀφθεῖσάν μοι τὴν ἀρχήν. καὶ ἤμην ἐν Σούσοις τῇ βάρει, ἥ ἐστιν ἐν χώρᾳ Αἰλάμ, καὶ ἤμην ἐπὶ τοῦ Οὐβάλ. καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον, | καὶ ἰδοὺ κριὸς εἷς ἑστηκὼς ἐπὶ τοῦ Οὐβάλ, καὶ αὐτῷ κέρατα ὑψηλά, καὶ τὸ ἕτερον ὑψηλότερον τοῦ ἑτέρου, καὶ τὸ ὑψηλὸν ἀνέβαινεν ἐπ᾽ ἐσχάτων. καὶ εἶδον τὸν κριὸν κερατίζοντα κατὰ θάλασσαν καὶ βορρᾶν καὶ νότον· καὶ πάντα τὰ θηρία οὐ στήσεται ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἐκ χειρὸς αὐτοῦ· καὶ ἐποίησεν κατὰ τὸ θέλημα αὐτοῦ καὶ ἐμεγαλύνθη. καὶ ἐγὼ ἤμην συνιῶν, καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο ἀπὸ λιβὸς ἐπὶ πρόσωπον πάσης τῆς γῆς, καὶ τῷ τράγῳ κέρας ἀνὰ μέσον τῶν ὀφθαλμῶν, καὶ ἦλθεν ἕως τοῦ κριοῦ τοῦ τὰ κέρατα ἔχοντος, οὗ εἶδον ἑστῶς ἀνὰ μέσον τοῦ Οὐβάλ, καὶ ἔδραμε πρὸς αὐτὸν ἐν ὁρμῇ τῆς ἰσχύος αὐτοῦ. καὶ εἶδον αὐτὸν φθάνοντα ἕως τοῦ κριοῦ, καὶ ἐξηγριώθη πρὸς αὐτὸν καὶ ἔπαισεν τὸν κριόν, | καὶ συνέτριψεν ἀμφότερα τὰ κέρατα αὐτοῦ, καὶ οὐκ ἦν ἰσχὺς τῷ κριῷ | τοῦ στῆναι ἐνώπιον αὐτοῦ· καὶ ἔρριψεν αὐτὸν ἐπὶ τὴν γῆν καὶ συνεπάτησεν αὐτόν, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος τὸν κριὸν ἐκ χειρὸς αὐτοῦ. καὶ ὁ τράγος τῶν αἰγῶν ἐμεγαλύνθη ἕως σφόδρα, καὶ ἐν τῷ ἰσχῦσαι αὐτὸν συνετρίβη τὸ κέρας αὐτοῦ τὸ μέγα, καὶ ἀνέβη τέσσαρα κέρατα ὑποκάτω αὐτοῦ εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ. καὶ ἐκ τοῦ ἑνὸς αὐτῶν ἐξῆλθεν κέρας ἓν ἰσχυρὸν καὶ ἐμεγαλύνθη περισσῶς πρὸς τὸν νότον καὶ πρὸς τὴν δύναμιν, καὶ ἐμεγαλύνθη ἕως τῆς δυνάμεως τοῦ οὐρανοῦ· καὶ ἔπεσεν ἐπὶ τὴν γῆν ἀπὸ τῆς δυνάμεως καὶ ἀπὸ

1. Ἀποκ. 17, 14.

τῶν ἄστρων καὶ συνεπάτησεν αὐτά. καὶ ἕως ὁ ἀρχιστράτηγος ῥύσεται τὴν αἰχμαλωσίαν, καὶ δι' αὐτὸν θυσία ἐταράχθη καὶ ἐγενήθη καὶ εὐωδώθη αὐτῷ. καὶ τὸ ἅγιον ἐρημωθήσεται, καὶ ἐδόθη ἐπὶ τὴν θυσίαν ἁμαρτία, καὶ ἐρρίφη χαμαὶ ἡ δικαιοσύνη, καὶ ἐποίησεν καὶ κατευωδώθη. καὶ ἤκουσα ἑνὸς ἁγίου | λαλοῦντος, καὶ εἶπεν εἷς ἅγιος τῷ φελμουνὶ τῷ λα|λοῦντι· ἕως πότε ἡ ὅρασις στήσεται καὶ ἡ θυσία ἀρθεῖσα καὶ ἡ ἁμαρτία ἐρημώσεως ἡ δοθεῖσα καὶ τὸ ἅγιον καὶ ἡ δύναμις συμπατηθήσεται; καὶ εἶπεν αὐτῷ· ἕως ἑσπέρας καὶ πρωΐ ἡμέραι χίλιαι τριακόσιαι, καὶ ἀρθήσεται τὸ ἅγιον.[1]»

XXVI. Ὅσα μὲν οὖν ἐν τῇ πρώτῃ ὁράσει διηγήσατο, ταῦτα πάλιν ἐκ δευτέρου ἄνωθεν ἐπεξηγεῖται πρὸς οἰκοδομὴν τῶν πιστευόντων. τὸν γὰρ «κριὸν τὸν κερατίζοντα κατὰ θάλασσαν καὶ βορρᾶν καὶ νότον [2]» Δαρεῖον λέγει τὸν βασιλέα τῶν Περσῶν, ὃς περιεγένετο πάντων τῶν ἐθνῶν· «πάντα» γάρ φησιν «τὰ θηρία οὐ στήσονται ἐνώπιον αὐτοῦ.[3]» τὸν δὲ τράγον τῶν αἰγῶν τὸν ἐρχόμενον ἀπὸ λιβὸς Ἀλέξανδρον λέγει τὸν Μακεδόνα τὸν βασιλέα τῶν Ἑλλήνων. τὸ οὖν ἐλθεῖν τὸν τράγον πρὸς τὸν κριὸν καὶ ἀγριωθῆναι πρὸς | αὐτὸν καὶ τύψαι αὐτὸν ἐπὶ τὸ πρόσωπον καὶ συντρῖψαι καὶ ῥῖψαι αὐτὸν ἐπὶ τὴν γῆν καὶ καταπατῆσαι, τοῦτο σημαίνει, ὅπερ καὶ ἐγένετο· συνάψας γὰρ πόλεμον πρὸς τὸν Δαρεῖον ὁ Ἀλέξανδρος, | ἴσχυσεν κατ' αὐτοῦ καὶ περιεγένετο πάσης τῆς δυνάμεως αὐτοῦ, ἀνελὼν καὶ καταπατήσας τὸ στρατόπεδον αὐτοῦ. ἔπειτα μετὰ τὸ ὑψωθῆναι τὸν τράγον τῶν αἰγῶν «συνετρίβη τὸ κέρας αὐτοῦ τὸ μέγα καὶ ἀνέβη τέσσαρα κέρατα ὑποκάτω αὐτοῦ εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ.[4]» κρατήσας γὰρ ὁ Ἀλέξανδρος πάσης τῆς γῆς Περσίδος καὶ ὑποτάξας αὐτούς, ὕστερον τελευτᾷ, διελὼν τὴν βασιλείαν αὐτοῦ εἰς τέσσαρας ἀρχάς, ὡς ἐπάνω δέδεικται, τοῦτ' ἔστιν Σελεύκῳ, Δημητρίῳ, Πτολεμαίῳ καὶ Φιλίππῳ, ἐξ ὧν ὑψώθη «κέρας ἓν» «καὶ ἐμεγαλύνθη ἕως τῆς δυνάμεως τοῦ οὐρανοῦ.» «καὶ δι' αὐτὸν | θυσία, φησίν, ἐταράχθη» «καὶ ἐρρίφη χαμαὶ ἡ δικαιοσύνη». γεγένηται γὰρ Ἀντίοχος, ὁ ἐπικληθεὶς Ἐπιφανής, ὢν ἐκ τοῦ γένους Ἀλεξάνδρου, βασιλεύς· βασιλεύσας δὲ τῆς Συρίας καὶ διαλαβὼν ὑφ' ἑαυτὸν πᾶσαν τὴν Αἴγυπτον ὕστερον «ἀνέβη [καὶ] ἐπὶ Ἱερουσαλήμ», «καὶ εἰσῆλθεν εἰς τὸ ἁγίασμα» «καὶ ἔλαβεν» πάντας «τοὺς θησαυροὺς» τοὺς ἐν οἴκῳ κυρίου «καὶ τὴν λυχνίαν» τὴν χρυσῆν «καὶ τὴν τράπεζαν» καὶ «τὸ θυσιαστήριον», καὶ «ἐποίησεν» μεγάλην «φονοκτονίαν» ἐν τῇ γῇ «καὶ ἐλάλησεν» ὑπέρογκα ῥήματα[5] καὶ ἐκώλυσεν θυσίαν καὶ προσφοράν, καὶ ᾠκοδόμησεν «τεμένη καὶ εἰδωλεῖα» κατὰ τὴν πόλιν, καὶ ἔθυσαν «ὕεια καὶ κτήνη κοινά[6]», ἵνα πληρωθῇ τὸ εἰρημένον ὑπὸ τοῦ προφήτου· «καὶ δι' αὐτὸν θυσία ἐταράχθη», «καὶ ἐρρίφη χαμαὶ ἡ δικαιοσύνη» «καὶ τὸ ἅγιον καὶ ἡ δύναμις συμπατηθή-

1. Δαν. 8, 1-14. 2. Δαν. 8, 4. 3. Δαν. 8, 4. 4. Δαν. 8, 8. 5. Α' Μακκ. 1, 20-24. 6. Α' Μακκ. 1, 45-47.

σεται», «ἕως ἑσπέρας καὶ πρωΐ ἡμέραι χίλιαι τριακόσιαι.[1]» | συνέβη γὰρ κατ' ἐκεῖνον τὸν καιρὸν τρία ἥμισυ ἔτη ἔρημον διαμεῖναι τὸ ἁγίασμα, ὡς πληρωθῆναι ἡμέρας χιλίας τριακοσίας, μέχρις οὗ ἀναστὰς Ἰούδας ὁ Μακκαβαῖος μετὰ τὴν τελευτὴν Ματταθίου τοῦ πατρὸς αὐτοῦ ἀντέστη αὐτῷ καὶ ἐξέκοψεν τὰς παρεμβολὰς Ἀντιόχου καὶ ἠλευθέρωσε τὴν πόλιν καὶ ἀνεκτήσατο τὰ ἅγια, καὶ ἀνεκαίνισαν αὐτὰ ποιήσαντες ἅπαντα κατὰ τὸν νόμον.

XXVII. Ὅτι δὲ ἀληθῆ ταῦτα γεγένηται, καθὼς εἴρηται, αὐτὸς Δανιὴλ μαρτυρεῖ. φησὶν γὰρ οὕτως· «καὶ ἐγένετο ἐν τῷ ἰδεῖν με τὴν ὅρασιν καὶ ἐζήτουν σύνεσιν | καὶ ἰδοὺ ἔστη ἐνώπιόν μου ὡς ὅρασις ἀνδρός, καὶ ἤκουσα φωνῆς ἀνδρὸς ἀνὰ μέσον τοῦ Οὐβάλ, καὶ ἐκάλεσεν καὶ εἶπεν· Γαβριὴλ συνέτισον τὴν ὅρασιν ἐκεῖνον· καὶ ἦλθεν καὶ ἔστη ἐχόμενος τῆς στάσεώς μου, καὶ ἐν τῷ ἐλθεῖν αὐτὸν ἐθαμβήθην καὶ πίπτω ἐπὶ πρόσωπόν μου, καὶ εἶπεν πρός με· | σύνες, υἱὲ ἀνθρώπου· ἔστι γὰρ εἰς καιροῦ πέρας ἡ ὅρασις. καὶ ἐν τῷ λαλεῖν αὐτὸν μετ' ἐμοῦ ἐθαμβήθην καὶ πίπτω ἐπὶ πρόσωπόν μου ἐπὶ τὴν γῆν, καὶ ἥψατό μου καὶ ἔστησέ με ἐπὶ τοὺς πόδας μου καὶ εἶπεν· ἰδοὺ ἐγὼ γνωρίζω σοι τὰ ἐσόμενα ἐπ' ἐσχάτων τῆς ὀργῆς· ἔστι γὰρ εἰς καιροῦ πέρας ἡ ὅρασις. ὁ κριός, ὃν εἶδες, ὁ ἔχων τὰ κέρατα, βασιλεὺς Περσῶν καὶ Μήδων ἐστίν· καὶ ὁ τράγος τῶν αἰγῶν βασιλεὺς Ἑλλήνων ἐστίν· καὶ τὸ κέρας τὸ μέγα ὃ ἦν ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ αὐτός ἐστιν ὁ βασιλεὺς ὁ πρῶτος. καὶ τούτου συντριβέντος ἀνέστησαν ὑποκάτω αὐτοῦ κέρατα τέσσαρα· τέσσαρες βασιλεῖς ἐκ τοῦ ἔθνους αὐτοῦ ἀναστήσονται καὶ οὐκ ἐν τῇ | ἰσχύϊ αὐτοῦ. καὶ ἐπ' ἐσχάτων τῆς βασιλείας αὐτῶν πληρουμένων τῶν ἁμαρτιῶν αὐτῶν ἀναστήσεται βασιλεὺς ἀναιδὴς προσώπῳ καὶ συνιῶν προβλήματα, καὶ κραταιὰ ἡ ἰσχὺς αὐτοῦ καὶ οὐκ ἐν τῇ ἰσχύϊ αὐτοῦ καὶ θαυμαστὰ διαφθερεῖ καὶ κατευθυνεῖ καὶ ποιήσει, καὶ διαφθερεῖ ἰσχυροὺς καὶ λαὸν ἅγιον, καὶ ὁ ζυγὸς τοῦ κλοιοῦ αὐτοῦ [καὶ] κατευθυνεῖ. δόλος ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐν τῇ καρδίᾳ αὐτοῦ μεγαλυνθήσεται, καὶ δόλῳ δια|φθερεῖ πολλοὺς καὶ ἐπὶ ἀπωλείᾳ πολλῶν στήσεται καὶ ὡς ᾠὰ ἐν χειρὶ συντρίψει. καὶ ἡ ὅρασις τῆς ἑσπέρας καὶ τῆς πρωΐας τῆς ῥηθείσης ἀληθής ἐστιν· καὶ σὺ σφράγισον τὴν ὅρασιν, ὅτι εἰς ἡμέρας πολλάς. καὶ ἐγὼ Δανιὴλ ἐκοιμήθην καὶ ἐμαλακίσθην, καὶ ἀνέστην καὶ ἐποίουν τὰ ἔργα τοῦ βασιλέως, καὶ ἐθαύμαζον τὴν ὅρασιν καὶ οὐκ ἦν ὁ συνιῶν.[2]»

XXVIII. Ἐπειδὴ οὖν καὶ ὁ ἄγγελος Γαβριὴλ καθὼς ὑφ' ἡμῶν νενόηται οὕτως ταῦτα διηγήσατο τῷ προφήτῃ, καθὼς καὶ ἐγένετο καὶ ἐν τοῖς Μακκαβαϊκοῖς σαφῶς πάντα ἀναγέγραπται, ἴδωμεν [καὶ] ἐν ταῖς ἑβδομάσιν τί λέγει. | οὗτος γὰρ ἀναγνοὺς τὴν βίβλον Ἱερεμίου τοῦ προφήτου, ἐν ᾗ γέγραπται «ἑβδομήκοντα ἔτη[3]» ἔρημον ἔσεσθαι τὸ ἁγίασμα, ἐν νηστείαις καὶ δεήσεσιν ἐξομολογούμενος ἱκέτευεν, τά-

1. Δαν. 8, 11-14. 2. Δαν. 8, 15-27. 3. Ἰερ. 25, 11.

χιον ἐπιστρέψαι τὸν λαὸν ἐκ τῆς αἰχμαλωσίας εἰς τὴν Ἱερουσαλὴμ πόλιν. οὕτως | οὖν διηγούμενος λέγει· «ἐν τῷ πρώτῳ ἔτει Δαρείου τοῦ υἱοῦ Ἀσουήρου ἀπὸ τοῦ σπέρματος Μήδων, ὃς ἐβασίλευσεν ἐπὶ τὴν βασιλείαν τῶν Χαλδαίων, ἐγὼ Δανιὴλ συνῆκα ἐν ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, ὡς ἐγενήθη λόγος κυρίου πρὸς Ἱερεμίαν τὸν προφήτην εἰς συμπλήρωσιν ἐρημώσεως Ἱερουσαλὴμ ἑβδομήκοντα ἔτη. καὶ ἔδωκα τὸ πρόσωπόν μου πρὸς κύριον τὸν θεόν, <τοῦ ἐκζητῆσαι προσευχὴν καὶ δεήσεις ἐν νηστείαις καὶ σάκκῳ· καὶ προσευξάμην πρὸς κύριον τὸν θεόν> μου καὶ ἐξωμολογησάμην καὶ εἶπα· κύριε, ὁ θεὸς ὁ μέγας καὶ θαυμαστός, ὁ φυλάσσων τὴν διαθήκην σου καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσίν σε καὶ τοῖς φυλάσσουσιν τὰς ἐντολάς σου, ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν, καὶ ἀπέστημεν καὶ ἐξεκλίναμεν [καὶ ἀπέστημεν] ἀπὸ τῶν ἐντολῶν σου καὶ ἀπὸ τῶν κριμάτων σου, καὶ <οὐκ> εἰσηκούσαμεν τῶν δούλων σου [καὶ ἀπὸ τῶν κριμάτων] τῶν προφητῶν, οἳ ἐλάλουν ἐν τῷ ὀνόματί σου πρὸς τοὺς βασιλεῖς ἡμῶν καὶ τοὺς ἄρχοντας | ἡμῶν | καὶ πατέρας ἡμῶν καὶ πάντα τὸν λαὸν τῆς γῆς. σοὶ δέ, κύριε, ἡ δικαιοσύνη καὶ ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου, ὡς ἡ ἡμέρα αὕτη ἀνδρὶ Ἰούδα καὶ τοῖς κατοικοῦσιν Ἱερουσαλήμ.[1]»

XXIX. Ταῦτα μὲν οὖν ἐκ προσώπου τοῦ λαοῦ ἐξομολογούμενος διηγεῖται, ἀναγγέλλων τὰ τοῦ λαοῦ καὶ τὰ τῶν πατέρων αὐτῶν ἁμαρτήματα, οἳ οὐκ ἤκουον «τῶν δούλων αὐτοῦ τῶν προφητῶν», οἳ ἐπέμποντο πρὸς αὐτοὺς λαλεῖν ἐν τῷ ὀνόματι τοῦ κυρίου. καὶ διεξαγγέλλοντος αὐτοῦ πᾶσαν τὴν δέησιν ἐν ταπεινοφροσύνῃ καὶ νηστείαις καὶ σάκκῳ, ἐξαπεστάλη πρὸς αὐτὸν ὁ ἄγγελος Γαβριήλ, ὅπως αὐτὸν συνετίσῃ πρὸς τὰ ὑπ' αὐτοῦ ζητούμενα. φησὶν γὰρ Δανιὴλ οὕτως· «καὶ ἔτι μου λαλοῦντος καὶ προσευχομένου καὶ ἐξαγορεύοντος τὰς ἁμαρτίας μου καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου καὶ ῥιπτοῦντος τὸν ἔλεόν μου ἐναντίον κυρίου τοῦ θεοῦ μου περὶ τοῦ ὄρους τοῦ ἁ|γίου, καὶ ἔτι μου λαλοῦντος ἐν τῇ προσευχῇ, καὶ ἰδοὺ ἀνὴρ Γαβριήλ, ὃν εἶδον ἐν τῇ ὁράσει ἐν τῇ ἀρχῇ, πετόμενος, καὶ | ἥψατό μου ὡσεὶ ὥρᾳ θυσίας ἑσπερινῆς καὶ συνέτισέν με καὶ ἐλάλησεν μετ' ἐμοῦ καὶ εἶπεν· Δανιήλ, <νῦν> ἐξῆλθον συμβιβάσαι σε σύνεσιν· ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθεν λόγος, καὶ ἐγὼ ἦλθον τοῦ ἀναγγεῖλαί σοι, ὅτι ἀνὴρ ἐπιθυμιῶν σὺ εἶ.[2]»

XXX. Ὅρα πῶς ὁ προφήτης τὴν ὀξύτητα τῶν ἀγγέλων πετεινῷ πτερωτῷ ὡμοίωσεν διὰ τὸ κοῦφον καὶ ἐλαφρὸν τῶν ἀγγέλων, οἵτινές «εἰσιν» «πνεύματα» πετόμενα ταχέως, πρὸς τὰ κελευόμενα ὑπακούοντα, ὡς Σολομῶν λέγει· «μὴ καταράσῃ ἐν ταμείῳ σου βασιλέα, μή ποτε πετεινὸν πτερωτὸν ἀποίσει τοὺς λόγους σου πρὸς αὐτόν.[3]» φησὶν οὖν πρὸς αὐτὸν Γαβριὴλ [ὁ ἄγγελος] οὕτως· ἀφ' ἧς ἡμέρας ἔδωκας τὸ πρόσωπόν σου ταπεινωθῆναι πρὸ προ|σώπου κυρίου τοῦ θεοῦ σου

1. Δαν. 9, 1-7. 2. Δαν. 9, 20-23. 3. Ἐκκλ. 10, 20.

εἰσηκούσθη ἡ δέησίς σου καὶ ἀπεστάλην ἐγὼ συνετίσαι σε, ἵνα μὴ πρὸ καιροῦ καιρὸν ἐπιζητῇς· «ἀνὴρ» γὰρ «ἐπιθυμιῶν σὺ εἶ»· ταῦτα γὰρ ἰδεῖν ἐπιθυμεῖς, ἅπερ μέλλεις δι' ἐμοῦ διακονεῖσθαι· καιρῷ δὲ ἰδίῳ ταῦτα πληρωθήσεται. καὶ ἐπήνεγκεν λέγων· «ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου | καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τοῦ συντελεσθῆναι ἁμαρτίας καὶ τοῦ σφραγίσαι ἁμαρτίας καὶ τοῦ ἀπαλεῖψαι ἀδικίας <καὶ τοῦ ἐξιλάσασθαι ἀνομίας> καὶ τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώνιον καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων· καὶ γνώσει καὶ συνήσεις ἀπὸ ἐξόδου λόγων τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως χριστοῦ ἡγουμένου ἑβδομάδες ἑπτὰ καὶ ἑβδομάδες ἑξήκοντα δύο.[1]» ἑβδομήκοντα οὖν ἑβδομάδας ὀνομάσας διεῖλεν αὐτὰς εἰς δύο, ἵνα μᾶλλον νοηθῇ τὸ ὑπ' αὐτοῦ πρὸς τὸν προφήτην | λαλούμενον. φησὶν γὰρ οὕτως· «ἕως χριστοῦ ἡγουμένου ἑβδομάδες ἑπτά», ἅ ἐστιν ἔτη τεσσαράκοντα ἐννέα· εἰκοστῷ γὰρ καὶ πρώτῳ ἔτει θεωρεῖ ταῦτα ἐν Βαβυλῶνι Δανιήλ. τῶν οὖν τεσσαράκοντα ἐννέα ἐτῶν πρὸς τῷ εἰκοστῷ πρώτῳ ἔτει ψηφιζομένων, πληροῦνται ἑβδομήκοντα ἔτη, ἅπερ εἴρηκεν ὁ μακάριος προφήτης Ἱερεμίας, ὅτι «ἑβδομήκοντα ἔτη[2]» ἔσται ἔρημον τὸ ἁγίασμα ἀπὸ τῆς αἰχμαλωσίας τῆς γενομένης αὐτοῖς ἐπὶ Ναβουχοδονόσορ, καὶ μετὰ ταῦτα ἐπιστρέψει ὁ λαός, καὶ | προσενεχθήσεται θυσία καὶ προσφορὰ «χριστοῦ ἡγουμένου» αὐτῶν. χριστοῦ δὲ τίνος λέγει, ἀλλ' ἢ Ἰησοῦ τοῦ Ἰωσεδέκ, ὃς ὑπέστρεψεν ἅμα τῷ λαῷ τότε, καὶ ἑβδομηκοστῷ ἔτει οἰκοδομηθέντος τοῦ ἁγιάσματος προσήνεγκεν θυσίαν κατὰ τὸν νόμον; πάντες γὰρ οἱ βασιλεῖς καὶ οἱ ἱερεῖς χριστοὶ προσηγορεύοντο διὰ τὸ χρίεσθαι αὐτοὺς τῷ ἐλαίῳ τῷ ἁγίῳ, ὃ ἐσκεύασεν πάλαι Μωσῆς. οὗτοι οὖν τὸ κύριον | ὄνομα ἔφερον μεθ' ἑαυτῶν τὸν τύπον προμηνύοντες καὶ τὴν εἰκόνα προφαίνοντες, ἕως οὗ ὁ ἀπ' οὐρανῶν τέλειος βασιλεὺς καὶ ἱερεὺς παρεγένετο, ὃς μόνος τὸ θέλημα τοῦ πατρὸς ἐποίησεν, ὡς ἐν ταῖς Βασιλείαις γέγραπται· «καὶ ἀναστήσω ἐμαυτῷ ἱερέα πιστόν, ὃς ποιήσει πάντα κατὰ τὴν καρδίαν μου.[3]»

XXXI. Ἵνα οὖν ἐπιδείξῃ τὸν χρόνον πότε μέλλει παραγίνεσθαι, ὃν ἐπεθύμει ὁ μακάριος Δανιὴλ ἰδεῖν, λέγει· «καὶ μετὰ τὰς» ἑπτὰ ἑβδομάδας ἄλλαι «ἑβδομάδες ἑξήκοντα δύο», αἳ περιέχουσιν χρόνον ἐτῶν τετρακοσίων τριάκοντα τεσσάρων. μετὰ γὰρ τὸ ἐπιστρέψαι τὸν λαὸν ἐκ Βαβυλῶνος ἡγουμένου αὐτῶν | Ἰησοῦ τοῦ Ἰωσεδὲκ καὶ Ἔσδρα τοῦ γραμματέως καὶ Ζοροβάβελ τοῦ Σαλαθιήλ, ὄντος ἐκ φυλῆς Ἰούδα, τετρακόσια τριάκοντα τέσσαρα ἔτη γεγένηται, ἕως τῆς παρουσίας τοῦ Χριστοῦ, ἵνα ὁ ἱερεὺς τῶν ἱερέων ἐν κόσμῳ φανῇ καὶ «ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου[4]» φανερῶς ἐπιδειχθῇ, ὡς [ὁ] Ἰωάννης περὶ αὐτοῦ λέγει· «ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ

1. Δαν. 9, 24-25. 2. Ἱερ. 25, 12. 3. Α' Βασ. 2, 35. 4. Ἰω. 1, 29.

κόσμου.[1]» ὁμοίως δὲ καὶ Γαβριὴλ λέγει, «καὶ τοῦ ἀπαλεῖψαι ἀδικίας καὶ τοῦ ἐξιλάσασθαι ἁμαρτίας.» τίς δὲ ἀπήλειψεν τὰς ἀδικίας ἡμῶν, διδάσκει σε Παῦλος ὁ ἀπόστολος λέγων· «αὐτὸς ἐγενήθη ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ διαλύσας, τὴν ἔχθραν ἐν τῇ σαρκί, τὸν νόμον τῶν ἐντολῶν [ἐν] τοῖς δόγμασιν καταργήσας» καὶ «ἀπαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον τῶν ἁμαρτιῶν, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ σταυρῷ», τοῦ «ἀπαλεῖψαι» οὖν «τὰς ἀδικίας καὶ τοῦ ἐξιλάσασθαι τὰς ἁμαρτίας.[2]» τίνες δέ εἰσιν οἱ τὰς ἀδικίας αὐτῶν ἐξιλασκόμενοι, εἰ μὴ οἱ εἰς | τὸ ὄνομα αὐτοῦ πιστεύοντες καὶ δι' ἀγαθοεργίας τὸ πρόσωπον αὐτοῦ ἐξιλασκόμενοι;

XXXII. Ὅτι δὲ μετὰ τὸ ἐπιστρέψαι τὸν λαὸν ἐκ Βαβυλῶνος τετρακό|σια τριάκοντα καὶ τέσσαρα ἔτη γεγένηται ἕως γενέσεως Χριστοῦ, εὐκόλως ἐστὶ νοῆσαι <κατὰ> τὰ προκείμενα. ἐπειδὴ γὰρ ἡ πρώτη διαθήκη τοῖς υἱοῖς Ἰσραὴλ «μετὰ τετρακόσια τριάκοντα» τέσσαρα «ἔτη» ἐδόθη, ἀναγκαίως ἔδει καὶ τὴν δευτέραν ὁμοίως τῷ αὐτῷ χρόνῳ ὁρίζεσθαι, ἵνα ὑπὸ τοῦ λαοῦ προσδόκιμος γενηθῇ καὶ ὑπὸ τῶν πιστευόντων εὐκόλως ἐπιγνωσθῇ. καὶ διὰ τοῦτο Γαβριὴλ λέγει· «καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων.» ἅγιος δὲ ἁγίων οὐδείς, εἰ μὴ μόνος ὁ υἱὸς τοῦ θεοῦ, ὃς παρὼν καὶ ἐπιδεικνὺς ἑαυτὸν εἶναι τὸν κεχρισμένον ὑπὸ τοῦ πατρὸς καὶ «εἰς τὸν κόσμον» ἀπεσταλμένον, ἔφη πρὸς αὐτούς· «πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέν με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέν με, ἰάσασθαι τοὺς συντετριμμένους τῇ καρδίᾳ, κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, κηρύξαι ἐνιαυ|τὸν κυρίου δεκτόν.[3]» ὅσοι οὖν | ἐπίστευον τῷ ἐπουρανίῳ ἱερεῖ, ὑπ' αὐτοῦ τοῦ ἱερέως ἐκαθαρίζοντο, καὶ τούτων αἱ ἁμαρτίαι ἀπηλείφοντο· ὅσοι δὲ ἠπίστουν αὐτῷ, ὡς ἄνθρωπον αὐτὸν ἐξουδενοῦντες, τούτων αἱ ἁμαρτίαι ὡς ἀναφαίρετοι ἐσφραγίζοντο. ὅθεν προορῶν ὁ ἄγγελος, ὅτι οὐ πάντες μέλλουσι πιστεύειν αὐτῷ, ἔφη· «τοῦ συντελέσαι ἁμαρτίας καὶ τοῦ σφραγίσαι ἁμαρτίας.» ὅσοι γὰρ ἕως τέλους ἠπείθησαν αὐτῷ, τούτων οὖν οὐ συνετελέσθησαν αἱ ἁμαρτίαι ἀλλ' ἐσφραγίσθησαν εἰς κρίσιν τηρούμεναι· ὅσοι δὲ ἤμελλον πιστεύειν αὐτῷ καὶ ἐξομολογεῖσθαι αὐτῷ ὡς δυναμένῳ ἀφιέναι ἁμαρτίας, τούτων ἀπηλείφοντο [αἱ ἁμαρτίαι. καί].

XXXIII. Διὰ τοῦτο λέγει· «καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην.» ἐπειδὴ γὰρ πλήρωμα νόμου καὶ προφητῶν αὐτὸς παρῆν, «ὁ νόμος γὰρ καὶ οἱ προφῆται ἕως Ἰωάννου[4]», ἔδει τὰ ὑπ' ἐκείνων λαλούμενα σφραγίζεσθαι, ἵνα ἐν τῇ τοῦ κυρίου παρουσίᾳ πάντα λυθέντα φωτισθῇ καὶ τὰ ἐσφραγισμένα καὶ γνωσθῆναι μὴ δυνάμενα εὐκόλως ἐπιγνωσθῇ, | καὶ τὰ πάλαι δεδεμένα νῦν ὑπ' αὐτοῦ λυθῇ. ὡς αὐτὸς ὁ κύριος εἴρηκεν πρὸς τοὺς ἄρχοντας τοῦ λαοῦ, | οἳ ἡνίκα εἶδον αὐτὸν δυνάμεις ἐπιτελοῦντα ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου καὶ θεραπεύοντα «πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν[1]» ἠγανάκτουν· ὁ δὲ πρὸς αὐτοὺς ἔφη· «ὑποκριταί, ἕκαστος ὑμῶν τὸν βοῦν καὶ τὸν ὄνον λύει ἀπὸ τῆς φάτνης καὶ ἀπαγαγὼν ποτίζει· ταύτην δὲ θυγατέρα Ἀβραὰμ οὖσαν, ἣν ἔδησεν ὁ σατανᾶς ἔτη δέκα καὶ ὀκτώ, οὐκ ἔδει λυθῆναι [ἐν] τῇ ἡμέρᾳ τοῦ σαββάτου;[2]» ὅσους οὖν ὁ σατανᾶς ἔδησεν βροχίσας, τούτους ἐλθὼν ὁ κύριος ἔλυσεν ἐκ τῶν τοῦ θανάτου δεσμῶν, αὐτὸν μὲν τὸν καθ' ἡμῶν «ἰσχυρὸν» δήσας, τὴν δὲ ἀνθρωπότητα ἐλευθερώσας· ὡς καὶ Ἡσαΐας λέγει· «τότε ἐρεῖ τοῖς ἐν δεσμοῖς [ἀνθρώποις]· ἐξέλθατε, καὶ τοῖς ἐν τῷ σκότει· φωτίσθητε.[3]» ὅτι δὲ τὰ πάλαι διὰ νόμου καὶ προφητῶν | λελαλημένα πάντα ἦν ἐσφραγισμένα καὶ ἄγνωστα τοῖς ἀνθρώποις ὑπάρχοντα Ἡσαΐας λέγει· «καὶ δώσουσιν τὸ βιβλίον τὸ ἐσφραγισμένον ἀνθρώπῳ ἐπισταμένῳ γράμματα καὶ ἐροῦσιν αὐτῷ· ἀνάγνωθι τοῦτο, καὶ ἐρεῖ· οὐ δύναμαι | ἀναγνῶναι, ἐσφράγισται γάρ.[4]» ἀναγκαίως· ἔδει γὰρ τὰ πάλαι διὰ προφητῶν λελαλημένα τοῖς μὲν ἀπίστοις Φαρισαίοις, οἳ ἐδόκουν τὰ τοῦ νόμου γράμματα γινώσκειν, ἐσφραγίσθαι, τοῖς δὲ πιστεύουσιν [τὰ] πάντα ἠνεῷχθαι.

XXXIV. Τὰ μὲν οὖν πάλαι ἐσφραγισμένα νῦν [δὲ] διὰ τῆς χάριτος τοῦ κυρίου πάντα τοῖς ἁγίοις ἀνέῳγεν· αὐτὸς γὰρ ἦν ἡ τελεία σφραγὶς καὶ ἡ κλεὶς ἡ ἐκ «Δαυΐδ, ὁ ἀνοίγων καὶ οὐδεὶς κλείει καὶ κλείων καὶ οὐδεὶς ἀνοίγει.[5]» ὡς καὶ Ἰωάννης λέγει· «καὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ καθημένου ἐπὶ τὸν θρόνον βιβλίον γεγραμμένον ἔσωθεν καὶ ἔξωθεν, ἐσφραγισμένον σφραγῖσιν ἑπτά. καὶ εἶδον ἄγγελον κηρύσσοντα [ἐν] φωνῇ με|γάλῃ· τίς ἄξιος ἀνοῖξαι τὸ βιβλίον καὶ λῦσαι τὰς σφραγῖδας αὐτοῦ; καὶ οὐδεὶς ἠδύνατο ἐν τῷ οὐρανῷ οὔτε ἐπὶ τῆς γῆς οὔτε ὑποκάτω τῆς γῆς ἀνοῖξαι τὸ βιβλίον οὐδὲ βλέπειν αὐτό· καὶ ἔκλαιον πολλοί, ὅτι οὐδεὶς ἄξιος εὑρέθη ἀνοῖξαι τὸ βιβλίον οὔτε βλέπειν αὐτό. καὶ εἷς ἐκ τῶν πρεσβυτέρων λέγει μοι· μὴ κλαῖε· ἰδοὺ ἐνίκησεν ὁ λέων ὁ ἐκ τῆς φυλῆς Ἰούδα, ἡ ῥίζα καὶ τὸ γένος Δαυΐδ, | ἀνοῖξαι τὸ βιβλίον καὶ λῦσαι τὰς ἑπτὰ σφραγῖδας αὐτοῦ. καὶ εἶδον ἐν μέσῳ τοῦ θρόνου καὶ ἐν μέσῳ τῶν πρεσβυτέρων ἀρνίον ἑστηκὸς ἐσφαγμένον, ἔχον κέρατα ἑπτὰ καὶ ὀφθαλμοὺς ἑπτά, ἅ ἐστιν τὰ ἑπτὰ πνεύματα τοῦ θεοῦ τὰ ἀπεσταλμένα εἰς πᾶσαν τὴν γῆν. καὶ ἦλθεν καὶ ἔλαβεν τὸ βιβλίον ἐκ τῆς δεξιᾶς τοῦ καθημένου ἐπὶ τοῦ θρόνου· καὶ ὅτε ἔλαβεν τὸ βιβλίον, τὰ τέσσαρα ζῷα καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἔπεσον ἐνώπιον τοῦ ἀρνίου, ἔχοντες ἕκαστος κιθάραν καὶ φιάλας χρυσᾶς γεμούσας | θυμιαμάτων, ἅ εἰσιν προσευχαὶ τῶν ἁγίων, καὶ ᾄδουσιν ᾠδὴν καινὴν λέγοντες· ἄξιος εἶ λαβεῖν τὸ βιβλίον καὶ ἀνοῖξαι τὰς σφραγῖδας αὐτοῦ, ὅτι ἐσφάγης καὶ ἠγόρασας ἡμᾶς

1. Ἰω. 1, 29. 2. Ἐφ. 2, 14-15. Κολ. 2, 14. 3. Ἡσ. 61, 1-2. 4. Ματθ. 11, 13.

1. Ματθ. 4, 23. 2. Λουκ. 13, 15-16. 3. Ἡσ. 49, 9. 4. Ἡσ. 29, 11. 5. Ἀποκ. 3, 7.

τῷ θεῷ ἐν τῷ αἵματί σου ἐκ πάσης φυλῆς καὶ γλώσσης καὶ λαοῦ καὶ ἔθνους καὶ ἐποίησας τῷ θεῷ ἡμῶν βασιλείαν καὶ ἱερεῖς καὶ βασιλεύσουσιν ἐπὶ τῆς γῆς.[1]» ἔλαβεν οὖν τὸ βιβλίον καὶ ἔλυσεν, ἵνα τὰ πάλαι περὶ αὐτοῦ ἀποκρύφως λαλούμενα νῦν μετὰ παρρησίας | «ἐπὶ τῶν δωμάτων[2]» κηρυχθῇ. καὶ διὰ τοῦτο τῷ μὲν Δανιὴλ ἔλεγεν ὁ ἄγγελος· «σφράγισον» «τοὺς λόγους» τούτους, «ὅτι εἰς» καιροῦ πέρας ἡ ὅρασις· τῷ δὲ Χριστῷ οὐκ ἐλέγετο σφράγισον, ἀλλά· λῦσον τὰ πάλαι δεδεμένα, ἵνα διὰ τῆς χάριτος αὐτοῦ ἐπιγνῶμεν ἡμεῖς «τὸ θέλημα τοῦ πατρὸς» καὶ πιστεύσωμεν «εἰς ὃν ἐκεῖνος ἀπέστειλεν[3]» Ἰησοῦν Χριστὸν τὸν κύριον ἡμῶν ἐπὶ τῇ τῶν ἀνθρώπων σωτηρίᾳ.

XXXV. Λέγει γοῦν «καὶ ἐπιστρέψει καὶ οἰκοδομηθήσεται | πλατεῖα καὶ τεῖχος.[4]» καὶ ὄντως γεγένηται. ἐπιστρέψας γὰρ ὁ λαὸς ᾠκοδόμησεν τὴν πόλιν καὶ τὸν ναὸν καὶ τὸ τεῖχος αὐτῆς κύκλῳ. ἔπειτα λέγει· «μετὰ τὰς ἑβδομάδας τὰς ἑξήκοντα δύο» «ἐκκενωθήσονται οἱ καιροὶ» «καὶ διαθήσει διαθήκην πολλοῖς ἑβδομὰς μία· καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεται θυσία καὶ σπονδὴ καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων.[5]» τῶν γὰρ ἑξήκοντα δύο ἑβδομάδων πληρωθεισῶν καὶ Χριστοῦ παραγενομένου καὶ τοῦ εὐαγγελίου ἐν παντὶ τόπῳ κηρυχθέντος ἐκκενωθέντων τῶν καιρῶν μία ἑβδομὰς περιλειφθήσεται ἡ ἐσχάτη, | ἐν ᾗ παρέσται Ἠλίας καὶ Ἐνὼχ καὶ ἐν τῷ ἡμίσει αὐτῆς ἀναφανήσεται «τὸ βδέλυγμα τῆς ἐρημώσεως[6]» ὁ ἀντίχριστος, ἐρήμωσιν τῷ κόσμῳ καταγγέλλων· οὗ παραγενομένου «ἀρθήσεται θυσία καὶ σπονδὴ» ἡ νῦν κατὰ πάντα τόπον ὑπὸ τῶν ἐθνῶν τῷ θεῷ προσφερομένη.

XXXVI. Τούτων [γὰρ] οὕτως εἰρημένων ἑτέραν πάλιν ὀπτασίαν διηγεῖται ἡμῖν ὁ προφήτης· οὐδὲν γὰρ ἕτερον ἐμερίμνησεν ὁ μακάριος Δανιήλ, εἰ μὴ ἵνα [τὰ] πάντα ἀκριβῶς ἐκδιδαχθεὶς τὰ μέλλοντα καὶ ἡμᾶς πάλιν αὐτὸς διδάσκων φανῇ. λέγει γοῦν· «ἐν ἔτει τρίτῳ Κύρου βασιλέως Περσῶν λόγος ἀπεκαλύφθη τῷ Δανιήλ, οὗ τὸ ὄνομα ἐπεκλήθη Βαλτάσαρ, καὶ ἀληθινὸς ὁ λόγος, καὶ δύναμις μεγάλη καὶ σύνεσις ἐδόθη αὐτῷ ἐν τῇ ὀπτασίᾳ. ἐν ταῖς ἡμέραις ἐκείναις ἐγὼ Δανιὴλ ἤμην πενθῶν τρεῖς ἑβδομάδας ἡμερῶν, ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον, καὶ κρέας καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ στόμα μου, καὶ ἄλειμμα οὐκ ἠλειψάμην ἕως πληρώσεως τριῶν ἑβδομάδων ἡμερῶν. ἐν ἡμέρᾳ εἰκοστῇ καὶ τετ|άρτῃ τοῦ μηνὸς τοῦ πρώτου.[7]» ἐταπεινοφρόνησα, φησίν, εἴκοσι καὶ μίαν ἡμέ|ραν εὐχόμενος τῷ θεῷ τῷ ζῶντι, ἀπαιτῶν παρ' αὐτοῦ ἀποκάλυψιν μυστηρίων. καὶ δὴ εἰσακούσας ὁ πατὴρ ἀπέστειλεν λόγον ἴδιον, ἐνδεικνύμενος τὸ μέλλον ἀποβῆναι δι' αὐτοῦ, καὶ δὴ ἐγένετο παρὰ τὸν ποταμὸν τὸν μέγαν· ἔδει γὰρ ἐκεῖ τὸν παῖδα δείκνυσθαι, ὅπου καὶ ἁμαρτίας ἀφίειν ἔμελλεν. «καὶ ἦρα, φησίν, τοὺς

1. Ἀποκ. 5, 1-10. 2. Ματθ. 10, 27. 3. Ἰω. 6, 29. 4. Δαν. 9, 25. 5. Δαν. 9, 26, 25, 27. 6. Δαν. 9, 27. 7. Δαν. 10, 1-4.

ὀφθαλμούς μου καὶ εἶδον, καὶ ἰδοὺ ἀνὴρ εἷς ἐνδεδυμένος βαδδίν.[1]» ἐν μὲν οὖν τῇ πρώτῃ ὀπτασίᾳ φησίν· «ἰδού, ἄγγελος Γαβριὴλ» «πετόμενος», ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' αὐτὸν τὸν κύριον ὁρᾷ, οὔπω μὲν τελείως ἄνθρωπον, ἐν δὲ σχήματι ἀνθρώπου φαινόμενον καθὼς λέγει «καὶ ἰδοὺ ἀνὴρ εἷς ἐνδεδυμένος βαδδίν.» τὸ γὰρ ποικίλον τῆς κλήσεως τῶν χαρισμάτων ἐνδεδυμένος ὁ Χριστὸς ποικίλον χιτῶνα μυστηρίῳ ἐπεδείκνυεν· ὅτι ἐκ διαφόρων χρωμάτων ἦν κατηρτισμένος ὁ ἱερατικὸς χιτὼν εἰς ἔνδειξιν τῶν ποικίλων ἐ|θνῶν τὴν παρουσίαν Χριστοῦ προσδεχομένων, ἵνα ποικίλοις χαρίσμασιν καταρτισθῆναι | δυνηθῶμεν.

XXXVII. «Καὶ ἡ ὀσφὺς αὐτοῦ περιεζωσμένη ἐν χρυσίῳ Ὠφάζ.[2]» τὸ δὲ Ὠφὰζ χρυσίον καθαρὸν σημαίνει ἐκ τῆς ἑβραΐδος εἰς τὴν ἑλληνίδα μετατιθέμενον. καθαρὰν οὖν ἦν περιεζωσμένος περὶ τὴν ὀσφὺν [αὐτοῦ] ζώνην· πάντας γὰρ ἡμᾶς ἤμελλεν ὁ λόγος περὶ τὸ ἑαυτοῦ σῶμα τῇ ἰδίᾳ ἀγάπῃ, ὡς ζώνην σφίγξας, βαστάζειν· τὸ γὰρ σῶμα [αὐτοῦ] τὸ τέλειον αὐτὸς ἦν, ἡμεῖς δὲ αὐτοῦ μέλη, ὡς ἐν τελείῳ σώματι ἡνωμένοι καὶ ὑπ' αὐτοῦ τοῦ λόγου βασταζόμενοι. «καὶ τὸ σῶμα αὐτοῦ ὡς Θαρσεῖς.[3]» Θαρσεῖς δὲ ἑρμηνεύεται Αἰθίοπες· τὸ γὰρ δυσεπίγνωστον αὐτοῦ ἤδη ὁ προφήτης προκατήγγειλεν, ὡς μελλήσει ὁ λόγος ἔνσαρκος ἐν κόσμῳ φανεὶς δύσγνωστος ἔσεσθαι πολλοῖς. «καὶ τὸ πρόσωπον αὐτοῦ ὡς ἡ ἀστραπὴ καὶ οἱ ὀφθαλμοὶ | αὐτοῦ ὡσεὶ λαμπάδες πυρός.[4]» ἔδει γὰρ τὸ πυρῶδες καὶ τὸ κριτικὸν τοῦ λόγου προσημαίνεσθαι, ἵνα τοῖς μὲν ἀσεβέσιν δικαίως τὸ πῦρ ἐπενέγκας τούτους καταφλέξῃ, τοῖς δὲ δικαίοις καὶ εἰς αὐτὸν ἠλπικόσιν | τὴν αἰώνιον ἀθανασίαν παράσχῃ. προσέθηκεν δὲ λέγων, «καὶ οἱ βραχίονες αὐτοῦ καὶ οἱ πόδες ὅμοιοι χαλκῷ στίλβοντι[5]», ἵνα τὴν πρώτην τῶν πατέρων κλῆσιν καὶ τὴν δευτέραν τὴν ἐξ ἐθνῶν ὁμοίαν σημάνῃ· ἔσονται γὰρ «τὰ ἔσχατα ὡς τὰ πρῶτα[6]», «θήσω γάρ, λέγει, τοὺς ἄρχοντάς σου ὡς τὸ ἀπ' ἀρχῆς καὶ τοὺς ἡγουμένους σου ὡς τὸ πρότερον.[7]» «καὶ ἡ φωνὴ αὐτοῦ ὡς φωνὴ ὄχλου πολλοῦ.[8]» πάντες γὰρ σήμερον οἱ εἰς αὐτὸν πιστεύοντες τὰ λόγια Χριστοῦ φθεγγόμεθα ὡς διὰ στόματος αὐτοῦ λαλοῦντες τὰ ὑπ' αὐτοῦ προστεταγμένα.

XXXVIII. «Καὶ εἶδον ἐγὼ Δανιὴλ μόνος τὴν ὀπτασίαν.[9]» τοῖς γὰρ ἁγίοις καὶ | τοῖς φοβουμένοις αὐτὸν ἀποκαλύπτει. εἰ γάρ τις δοκεῖ νῦν καὶ ἐν ἐκκλησίᾳ πολιτεύεσθαι, φόβον δὲ θεοῦ μὴ ἔχει, οὐδὲν τοῦτον ὠφελεῖ ἡ πρὸς τοὺς ἁγίους σύνοδος, τὴν δύναμιν τοῦ πνεύματος ἐν ἑαυτῷ μὴ κεκτημένος. καὶ γὰρ τότε πολλοὶ μὲν ἦσαν οἱ μετὰ Δανιὴλ ἑστῶτες, ἀλλ' οὐκ εἶδαν τὴν ὀπτασίαν, οὐ γὰρ ἦσαν ἄξιοι, «ἀλλ' ἔκστασις μεγάλη ἐπέπεσεν ἐπ' αὐτοὺς | καὶ ἔφυγον ἐν φόβῳ.» «κἀγώ, φησίν, ὑπελείφθην μόνος[10]» καὶ πίπτω ἐπὶ «πρόσωπόν μου ἐπὶ τὴν γῆν, καὶ

1. Δαν. 10, 5. 2. Δαν. 10, 5. 3. Δαν. 10, 6. 4. Δαν. 10, 6. 5. Δαν. 10, 6. 6. Γραφικόν; Πρβλ. Ἐπιστ. Βαρνάβα 6. Ματθ. 20, 16. 7. Πρβλ. Ἠσ. 1, 26. 8. Δαν. 10, 6. 9. Δαν. 10, 7. 10. Δαν. 10, 8.

ἰδοὺ ὡσεὶ χεὶρ[1]» ἀνθρώπου ἥψατό μου. χείρ, φησίν, ἀνθρώπου, οὔπω ἄνθρωπος, ἀλλὰ τὸ μέλλον τῆς οἰκονομίας διὰ τῆς χειρὸς σημαίνων.

XXXIX. Καὶ ἀνέστησέν «με ἐπὶ τὰ γόνατά [μου] καὶ εἶπέν μοι· Δανιήλ, ἀνὴρ ἐπιθυμιῶν, σύνες ἐν τοῖς λόγοις, οἷς ἐγὼ λαλῶ πρὸς σέ· καὶ στῆθι ἐπὶ τῇ στάσει σου, ὅτι νῦν ἀπεστάλην πρὸς σέ. καὶ ἐν τῷ λαλῆσαι αὐτὸν τὸν λόγον τοῦτον ἀνέστην ἔντρομος, καὶ εἶπεν πρός με· μὴ φοβοῦ Δανιήλ, | ὅτι ἀπὸ τῆς πρώτης ἡμέρας, ἧς ἔδωκας τὴν καρδίαν σου τοῦ συνιέναι καὶ κακωθῆναι ἐναντίον τοῦ θεοῦ, εἰσηκούσθησαν οἱ λόγοι σου.[2]» ὅρα πόσον ἰσχύει εὐλάβεια ἀνδρὸς δικαίου, ἵνα τὰ μήπω μέλλοντα φανεροῦσθαι ἐν τῷ κόσμῳ τούτῳ μόνῳ ὡς ἀξίῳ ἀποκαλυφθῇ. καὶ τὸ μὲν πρῶτον ὑπὸ τοῦ ἀγγέλου Γαβριὴλ συνετίσθη, ἔπειτα ὑπ' αὐτοῦ τοῦ κυρίου ἐκ δευτέρου ἐσοφίσθη. φησὶν γὰρ οὕτως· «καὶ εἶδον, καὶ ἰδοὺ ὅρασις ὡς υἱοῦ ἀνθρώπου ἥψατό μου.[3]» τὸ μὲν οὖν πρῶτον εἶπεν | ὡς χεὶρ ἀνθρώπου, νῦν δὲ λέγει ὡς ὅρασις υἱοῦ ἀνθρώπου, ἵνα πρῶτον μερικῶς αὐτὸν ἀποδείξῃ, ἐκ δευτέρου δὲ τὴν καθ' ὅλου ἐνανθρώπησιν. προεκηρύσσετο γὰρ [εἰπεῖν] ὁ λόγος τοῦ θεοῦ ὡς ἄνθρωπος ἐν σχήματι ἀνθρώπου, ἄνθρωπος ἔνσαρκος ἐν κόσμῳ φανησόμενος, οὔπω τότε [τέλειος] υἱὸς ἀνθρώπου ὤν· ἡνίκα δὲ «τὸ πλήρωμα τοῦ χρόνου» παρῆν, «ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός[4]», ἵνα τὸν ἐκ τῆς παρθένου ἄνθρωπον ἐπενδυσάμενος | υἱὸς θεοῦ καὶ υἱὸς ἀνθρώπου ὢν ἀποδειχθῇ. «καὶ ἤνοιξα, φησίν, τὸ στόμα μου καὶ ἐλάλησα πρὸς τὸν ἑστῶτα ἐναντίον μου· κύριε, ἐν τῇ ὀπτασίᾳ σου ἐστράφη τὰ ἐντός μου ἐν ἐμοὶ καὶ οὐκ ἔσχον ἰσχύν.[5]» ἔδει γὰρ ἐπὶ τῇ παρουσίᾳ τοῦ κυρίου τὰ ἄνω κάτω γενέσθαι, ἵνα καὶ τὰ κάτω εἰς τὰ ἄνω ἐλθεῖν δυνηθῇ. «καὶ προσέθετο, φησίν, καὶ ἥψατό μου ὡς ὅρασις ἀνθρώπου καὶ ἐνίσχυσέν με καὶ εἶπέν μοι· μὴ φοβοῦ ἀνὴρ ἐπιθυμιῶν· εἰρήνη σοι, ἀνδρίζου καὶ ἴσχυε.[6]» ὁπότε γὰρ παραλυθῇ πᾶσα ἡ τοῦ βίου ἡμῶν ἰσχὺς καὶ δόξα, τότε ἐνδυναμούμεθα ὑπὸ Χριστοῦ | τοῦ ὀρέγοντος χεῖρα καὶ ἐγείροντος ἡμᾶς «ὡς ἐκ νεκρῶν ζῶντας[7]» καὶ ὡς ἀπὸ ᾅδου εἰς ἀνάστασιν ζωῆς.

XL. «Καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ ἴσχυσα καὶ εἶπα· λαλείτω ὁ κύριός μου ὅτι ἐνίσχυσάς με.[8]» ὁπότε γὰρ εὐέλπιδας ἐποίησεν ἡμᾶς ὁ λόγος πρὸς τὰ μέλλοντα, | εὐκόλως καὶ τῆς τούτου φωνῆς ἀκούειν δυνάμεθα. φησὶν οὖν πρὸς αὐτόν· «εἰ οἶδας τί ἦλθον πρὸς σέ; καὶ νῦν ἐπιστρέψω τοῦ πολεμῆσαι μετὰ ἄρχοντος Περσῶν» «ἀλλ' ἢ ἀναγγελῶ σοι τὸ ἐγγεγραμμένον ἐν γραφῇ ἀληθείας, καὶ οὐκ ἔστιν οὐδεὶς ὁ ἀντεχόμενος μετ' ἐμοῦ περὶ τούτων, ἀλλ' ἢ Μιχαὴλ ὁ ἄρχων ὑμῶν[9]», «καὶ τοῦτον κατέλιπον ἐκεῖ.[10]» «ἀφ' ἧς γὰρ ἡμέρας ἔδωκας τὸ πρόσωπόν σου κακωθῆναι ἐναντίον κυρίου τοῦ θεοῦ σου, εἰσηκούσθη

---

1. Δαν. 10, 9-10. 2. Δαν. 10, 10-12. 3. Δαν. 10, 16. 4. Γαλ. 4, 4. 5. Δαν. 10, 16. 6. Δαν. 10, 18-19. 7. Ῥωμ. 6, 13. 8. Δαν. 10, 19. 9. Δαν. 10, 20-21. 10. Δαν. 10, 13.

ἡ δέησίς σου», καὶ ἀπεστάλην ἐγὼ «τοῦ πολεμῆσαι μετὰ ἄρχοντος Περσῶν»· βουλὴ γάρ τις ἐγεγόνει μὴ ἀποστέλλειν τὸν λαόν· ἵνα οὖν ἐν τάχει τὸ αἴτημά σου γενηθῇ, ἀντέστην τούτῳ ἐγὼ καὶ «κατέλιπον ἐκεῖ» Μιχαὴλ τὸν ἄρχοντα ὑμῶν. τίς δὲ ἔστιν Μιχαὴλ ἀλλ' ἢ ὁ ἄγγελος ὁ τῷ λαῷ παραδεδομένος, ὡς λέγει τῷ Μωϋσῇ· «οὐ μὴ πορευθῶ μεθ' ὑμῶν ἐν τῇ ὁδῷ διὰ τὸ τὸν λαὸν σκληροτράχηλον εἶναι, ἀλλ' ἢ ὁ ἄγγελός μου πορεύσεται μεθ' ὑμῶν.[1]» οὗτος ἀντέστη «ἐν τῷ καταλύματι» Μωϋσῇ, ἡνίκα ἔφερεν τὸ παιδίον ἀκρόβυστον εἰς Αἴγυπτον·[2] οὐ γὰρ ἦν ἐφικτὸν τὸν πρέσβυν καὶ μεσίτην[3] νόμου γινόμενον Μωϋσῆν καὶ διαθήκην πατέρων καταγγέλλοντα ἐπάγεσθαι παιδίον ἀκρόβυστον, ἵνα μὴ ὡς ψευδοπροφήτης καὶ πλάνος ὑπὸ τοῦ λαοῦ εἶναι νομισθῇ.

XLI. «Καὶ νῦν, φησίν, ἀλήθειαν ἀναγγελῶ σοι.[4]» ἠδύνατο οὖν ἡ ἀλήθεια ἕτερόν τι παρὰ τὴν ἀλήθειαν ἀναγγεῖλαι; ἀλήθεια ἦν ὁ τῷ Δανιὴλ ὀφθεὶς καὶ ἀλήθειαν ἀνήγγειλεν· αὐτὸς πάλιν ἀλήθεια ἐν τῷ κόσμῳ φανεὶς ἀλήθειαν ἐδίδαξεν. ὢ μακαρίων μαθητῶν ἀλήθειαν ὑπὸ Χριστοῦ διδασκομένων. φησὶν οὖν πρὸς αὐτόν. «ἰδοὺ ἔτι τρεῖς βασιλεῖς ἀναστήσονται ἐν τῇ Περσίδι, καὶ ὁ τέταρτος πλουτήσει πλοῦτον μέγαν παρὰ πάντας· καὶ μετὰ τὸ κρατῆσαι αὐτὸν τοῦ πλούτου αὐτοῦ | ἐπαναστήσεται | πάσαις ταῖς βασιλείαις τῶν Ἑλλήνων. καὶ ἀναστήσεται βασιλεὺς δυνατός, καὶ κυριεύσει κυρείας πολλῆς καὶ ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ· καὶ ὡς ἀναστῇ ἡ βασιλεία αὐτοῦ συντριβήσεται καὶ διαιρεθήσεται εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ.[5]» ταῦτα μὲν οὖν ἤδη ἀνωτέρω διηγησάμεθα, ἡνίκα περὶ τῶν τεσσάρων θηρίων τὸν λόγον ἐποιούμεθα· ἀλλ' ἐπειδὴ λεπτῶς ἡ γραφὴ νῦν [τὰ πάντα] ταῦτα πάλιν διηγεῖται, ἐξ ἀνάγκης δεῖ καὶ ἡμᾶς ἐκ δευτέρου τὸν λόγον ποιεῖσθαι, ἵνα μὴ ἀργὴν τὴν γραφὴν καὶ ἀναπόδεικτον καταλίπωμεν. «ἔτι τρεῖς, φησίν, βασιλεῖς ἀναστήσονται ἐν τῇ Περσίδι καὶ ὁ τέταρτος πλουτήσει πλοῦτον μέγαν.» γεγένηται. μετὰ γὰρ Κῦρον ἀνέστη Δαρεῖος, ἔπειτα Ἀρταξέρξης, εἶτα Ξέρξης. τρεῖς οὗτοι γεγένηνται βασιλεῖς· πεπλήρωται ἡ γραφή. «καὶ ὁ τέταρτος πλουτήσει πλοῦτον μέγαν». τίς οὗτος ἀλλ' ἢ Δαρεῖος, ὃς βασιλεύσας καὶ ἔνδοξος | γενηθεὶς ἐπλούτησεν καὶ ἐπανέστη πάσαις βασιλείαις Ἑλλήνων. τούτῳ ἐπανέστη Ἀλέξανδρος ὁ Μακεδών, υἱὸς Φιλίππου γεγονώς, καὶ | καθεῖλεν τὸ τούτου βασίλειον· καὶ μετὰ τὸ ὑποτάξαι αὐτὸν τοὺς Πέρσας διῃρέθη ἡ τούτου βασιλεία εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ. τελευτῶν γὰρ Ἀλέξανδρος διεῖλεν τὴν βασιλείαν αὐτοῦ εἰς τέσσαρας ἀρχάς.

XLII. «Καὶ ἀναστήσεται βασιλεὺς ἕτερος δυνατὸς» «καὶ εἰσελεύσεται εἰς τὰ ὑποστηρίγματα [τοῦ] βασιλέως Αἰγύπτου.» Ἀντίοχος γὰρ [τις] γεγένηται βασιλεὺς τῆς Συρίας. οὗτος «ἐβασίλευσεν ἐν ἑκατοστῷ

---

1. Ἔξ. 33, 3. 32, 34. 2. Ἔξ. 4, 24-25. 3. Πρβλ. Γαλ. 3, 19. 4. Δαν. 11, 2. 5. Δαν. 11, 2-4.

καὶ τριακοστῷ καὶ ἑβδόμῳ ἔτει βασιλείας Ἑλλήνων.[1]» καὶ δὴ τοῖς τότε καιροῖς «πόλεμον» συνάπτει «πρὸς Πτολεμαῖον βασιλέα Αἰγύπτου[2]» καὶ ὑπερισχύσας αὐτοῦ κρατεῖ. οὗτος ὑποστρέφων ἐξ Αἰγύπτου «ἀνέβη ἐπὶ Ἱερουσα|λὴμ[3]» ἔτει «ἑκατοστῷ καὶ τεσσαρακοστῷ τρίτῳ», «καὶ λαβὼν» πάντας τοὺς θησαυροὺς τοὺς ὄντας ἐν οἴκῳ κυρίου ἐπορεύθη εἰς Ἀντιόχειαν. τούτων οὕτως γενομένων, «μετὰ δύο ἔτη ἡμερῶν ἀποστέλλει ὁ βασιλεὺς» ἴδιον φορολόγον «εἰς τὰς πόλεις τῆς Ἰουδαίας[4]» ἀναγκάζειν τοὺς Ἰουδαίους μεταβαίνειν ἀπὸ τῶν πατρῴων νόμων, τοῖς δὲ τοῦ βασιλέως δόγμασιν καὶ νόμοις| ὑποτάσσεσθαι. καὶ δὴ παραγενομένου αὐτοῦ ἐν Μωδεεὶμ τῇ πόλει, προσκαλεῖταί τινα ὀνόματι Ματταθίαν ἄνδρα εὐλαβῆ καὶ δίκαιον, ὄντα ἐκ τοῦ ἱερατικοῦ γένους, πρὸς ὃν ἀποκριθεὶς ἔφη· δεῦρο δή, ὦ Ματταθία, ἐπίθυσον καὶ «ποίησον τὸ πρόσταγμα τοῦ βασιλέως» καθὼς «ἐποίησαν πάντα τὰ ἔθνη»· ὅτι σὺ «ἄρχων» «μέγας» καὶ ἡγούμενος ἐν τῇ πόλει καὶ «ἐστηριγμένος» ἐν τέκνοις, «καὶ ἔσῃ» φίλος «τοῦ βασιλέως.» ὁ δὲ ἀποκριθεὶς | ἔφη· «εἰ πάντα τὰ ἔθνη» καὶ πᾶς ἄνθρωπος πορεύσεται ὀπίσω τοῦ βασιλέως ποιῆσαι κατὰ τὸ πρόσταγμα αὐτοῦ, «ἀλλ' ἐγὼ καὶ» ὁ οἶκός μου καὶ ὁ οἶκος τοῦ πατρός μου οὐ μὴ ποιήσωμεν κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως. «ἵλεως ἡμῖν» ἀποστῆναι ἀπὸ νόμου καὶ διαθήκης «πατέρων ἡμῶν», [ἢ] «τῶν λόγων τοῦ βασιλέως οὐκ ἀκουσόμεθα τοῦ» ἐκκλῖναι τὴν ὁδὸν ἡμῶν δεξιὰ ἢ ἀριστερά.[5] ἔτι λαλοῦντος αὐτοῦ τὰ ῥήματα ταῦτα [αὐτῷ], ἰδοὺ «ἀνὴρ Ἰουδαῖος» ἐλθὼν κατὰ πρόσωπον αὐτοῦ προσῆλθεν ἐπιθῦσαι ἐπὶ τὸν βωμὸν Μωδεείμ· ἰδὼν δὲ Ματταθίας «ἐζήλωσεν» κατὰ τὸν νόμον «καὶ ἐτρόμασαν | οἱ νεφροὶ αὐτοῦ, καὶ ἀνήγαγεν θυμὸν κατὰ τὸ κρίμα», καὶ ἐπιστὰς ἐφόνευσεν τὸν ἄνδρα τὸν Ἰουδαῖον καὶ τὸν δυνάστην τοῦ βασιλέως τὸν καταναγκάζοντα, «καὶ τὸν βωμὸν καθεῖλεν», καὶ ἐκραύγαζεν «ἐν τῇ πόλει» λέγων· εἴ τις | πρὸς κύριον «ἱστῶν διαθήκην» ἁγίαν ἐκπορευέσθω «ὀπίσω μου.» καὶ κατέλιπον πάντα τὰ «ἐν τῇ πόλει» καὶ ἔφυγον ἐν τοῖς ὄρεσιν, καὶ προσεκολλήθησαν αὐτῷ «συναγωγὴ ἀνδρῶν ἰσχυρῶν δυνάμει», καὶ ἐγενήθησαν αὐτῷ «στήριγμα.[6]»

XLIII. Τότε δὴ αἱ δυνάμεις αἱ κατοικοῦσαι τὴν Συρίαν ἀκούσασαι τὰ γενόμενα ἔδραμον πρὸς αὐτοὺς καὶ «συνεστήσαντο πόλεμον πρὸς αὐτοὺς ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου.[7]» οἱ δὲ νόμον θεοῦ φοβούμενοι καὶ τῇ ἐντολῇ τοῦ θεοῦ κρατούμενοι οὐκ ἐπῆραν χεῖρα πρὸς αὐτοὺς «οὐδὲ λίθον ἐξετίναξαν αὐτοῖς, οὐδὲ ἐπέφραξαν τοὺς κρυφίους.[8]» καὶ ἀπεκρίθησαν αὐτοῖς ἐκεῖνοι καὶ εἶπαν· καὶ ἕως νῦν «ἐξέλθατε καὶ ποιήσατε» τὸ πρόσταγμα «τοῦ βασιλέως καὶ ζήσεσθε.[9]» οἱ δὲ

1. Α' Μακκ. 1, 20. 2. Α' Μακκ. 1, 19. 3. Α' Μακκ. 1, 20. 4. Α' Μακκ. 1, 29. 5. Α' Μακκ. 2, 19-22. 6. Α' Μακκ. 2, 23 ἑξ. 7. Α' Μακκ. 2, 32. 8. Α' Μακκ. 2, 36. 9. Α' Μακκ. 2, 33.

«εἶπαν· οὐκ ἐξελευσόμεθα, οὐδὲ ποιήσομεν» τὸ πρόσταγμα «τοῦ βασιλέως[1]», «ἀποθα|νούμεθα» «ἐν τῇ ἁπλότητι ἡμῶν· μαρτυρεῖ ἐφ' ἡμᾶς ὁ οὐρανὸς καὶ ἡ γῆ, ὅτι ἀκρίτως ἀπό|λλυτε ἡμᾶς.[2]» τότε ἐπέπεσον αὐτοῖς ἐν πυρὶ καὶ ἐν φόνῳ καὶ ἐν αἰχμαλωσίᾳ καὶ ἀπέκτειναν ἐξ αὐτῶν «ἕως χιλίων ψυχῶν.[3]» πληροῦνται οὖν τὰ πρὸς τὸν μακάριον Δανιὴλ λελαλημένα· καὶ εἰσελεύσεται ἐν ἐξοδίαις καὶ ἐπαρθήσεται ἡ καρδία αὐτοῦ ἐπὶ «διαθήκην ἁγίαν[4]», καὶ θελήσει πάντα ποιῆσαι κατὰ τὴν καρδίαν αὐτοῦ, καὶ θλιβήσονται «καὶ ἀσθενήσουσιν» οἱ δοῦλοί μου ἐν λιμῷ καὶ ἐν μαχαίρᾳ καὶ «ἐν αἰχμαλωσίᾳ.[5]»

XLIV Ἤκουσεν δὲ ταῦτα «Ματταθίας καὶ οἱ υἱοὶ αὐτοῦ καὶ ἐπένθησαν» περὶ τῶν ἀδελφῶν αὐτῶν καὶ εἶπαν πρὸς ἀλλήλους λέγοντες· «ἐὰν πάντες ποιήσωμεν» καθὼς «ἐποίησαν οἱ ἀδελφοὶ ἡμῶν», ἐλεύσονται οἱ ἐχθροὶ ἡμῶν καὶ «τάχιον» ἐξαροῦσιν ἡμᾶς ἐκ «τῆς γῆς.[6]» ἐὰν οὖν ἐπιστῇ ἐφ' ἡμᾶς πόλεμος ἐν σαββάτῳ, στῶμεν καὶ «πολεμήσωμεν» ὑπὲρ τῶν ψυχῶν ἡμῶν καὶ ὑπὲρ τῶν νομίμων ἡμῶν.» τότε δὴ κατέδραμον ἐπ' αὐτοὺς καὶ κα|τεδίωξαν αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν, καὶ εἰσῆλθαν | εἰς τὴν πόλιν καὶ «περιέτεμαν τὰ παιδάρια ὅσα εὗραν ἀπερίτμητα» καὶ «καθεῖλαν τοὺς βωμούς» καὶ πάντα τὰ τεμένη «καὶ κατευωδώθη τὸ ἔργον ἐν χειρὶ αὐτῶν.[7]» λέγει δὲ Δανιήλ· «καὶ βοηθήσονται βοήθειαν μικράν.[8]» ἀνέστη γὰρ τότε Ματταθίας, «ἀνέστη Ἰούδας ὁ Μακκαβαῖος[9]», καὶ ἐβοήθησαν αὐτοῖς καὶ ἐρρύσαντο αὐτοὺς ἐκ χειρὸς Ἑλλήνων καὶ ἐπληρώθη τὸ εἰρημένον ἐν τῇ γραφῇ.

XLV. Λέγει πάλιν· «Καὶ εἰσελεύσεται» «θυγάτηρ βασιλέως τοῦ νότου» «πρὸς τὸν βασιλέα τοῦ βορρᾶ, τοῦ ποιῆσαι μετ' αὐτοῦ συνθήκας»· «καὶ οὐ στήσονται βραχίονες τοῦ ἄγοντος αὐτήν, καὶ συντριβήσεται καὶ πεσεῖται καὶ αὐτὴ καὶ ὁ ἄγων αὐτήν.[10]» καὶ γεγένηται καὶ τοῦτο. Πτολεμαῒς γάρ τις βασιλεύουσα Αἰγύπτου [τότε δὴ] ἐκπορεύ|εται ἅμα τοῖς δυσὶν υἱοῖς αὐτῆς Πτολεμαίῳ καὶ Φιλομήτορι, συνθήκας ποιησομένη πρὸς Ἀντίοχον τὸν βασιλέα τῆς Συρίας. καὶ δὴ ἐλθοῦσα κατὰ Σκυθόπολιν ἐκεῖ ἀναιρεῖται· ὁ γὰρ ἄγων αὐτὴν προέδωκεν αὐτήν. τότε δὴ οἱ δύο ἀδελφοὶ πρὸς ἀλλήλους πόλεμον συμβάλλουσιν | καὶ ἀναιρεῖται ὁ Φιλομήτωρ, κρατεῖ δὲ ὁ Πτολεμαῖος. συμβολὴ τοίνυν πάλιν γίνεται Πτολεμαίῳ πρὸς Ἀντίοχον· λέγει γὰρ οὕτως ἡ γραφή· καὶ ἐπαναστήσεται βασιλεὺς τοῦ νότου πρὸς βασιλέα τοῦ βορρᾶ, καὶ ἐπαναστήσεται σπέρμα ἐξ αὐτῆς. ποῖον δὲ σπέρμα ἀλλ' ἢ Πτολεμαῖος, ὃς συνῆψεν πόλεμον πρὸς Ἀντίοχον; τούτῳ ἐπεξέρχεται ὁ Ἀντίοχος καὶ μὴ κατισχύσας αὐτοῦ φυγὰς γενόμενος ἀνέστρεψεν πάλιν εἰς Ἀντιόχειαν συνάγων ὄχλον πλείονα. λαμβάνει τοίνυν

1. Α' Μακκ. 2, 34. 2. Α' Μακκ. 2, 36. 3. Α' Μακκ. 2, 38. 4. Δαν. 11, 30. 5. Δαν. 11, 33. 6. Α' Μακκ. 2, 39-41. 7. Α' Μακκ. 2, 44 ἑξ. 8. Δαν. 11, 34. 9. Α' Μακκ. 3, 1. 10. Δαν. 11, 6.

πᾶσαν τὴν πανοπλίαν αὐτοῦ Πτολε|μαῖος καὶ ἄγει εἰς Αἴγυπτον· καὶ πληροῦται ἡ γραφὴ καθὼς λέγει Δανιήλ· «καί γε τοὺς θεοὺς αὐτῶν καὶ τὰ χωνευτὰ αὐτῶν καὶ πᾶν χρυσίον» «ἐπιθυμητὸν οἴσει εἰς Αἴγυπτον.[1]»

XLVI. Μετὰ ταῦτα ἐξέρχεται ὁ Ἀντίοχος ἐκ δευτέρου πόλεμον ἐγείρων κατ' αὐτοῦ καὶ ἥττησεν τὸν Πτολεμαῖον. καὶ δὴ τούτων γενομένων ἐπεγείρεται πάλιν ἐπὶ τοὺς υἱοὺς Ἰσραὴλ ὁ Ἀντίοχος καὶ ἐξαποστέλλει τινὰ Νικάνορα μετὰ δυνάμεως πολλῆς, ὅπως ἐκπολεμήσῃ τοὺς | Ἰουδαίους, ἡνίκα Ἰούδας μετὰ τὴν τελευτὴν Ματταθίου τοῦ πατρὸς αὐτοῦ ἦρχεν τοῦ λαοῦ. παραγενάμενος οὖν ὁ Νικάνωρ εἰς Ἱερουσαλὴμ ἡττᾶται ὑπὸ τοῦ Μακκαβαίου, καὶ ἀναγγέλλεται ταῦτα τῷ βασιλεῖ Ἀντιόχῳ· ὁ δὲ ἀκούσας μετεπέμψατο πάσας τὰς δυνάμεις αὐτοῦ, «καὶ ἔδωκεν» αὐτοῖς «ὀψώνια εἰς ἐνιαυτὸν καὶ» ἐκέλευσεν «αὐτοὺς ἑτοίμους» εἶναι πρὸς τὰς χρείας.[2] καὶ δὴ | ὑστερηθεὶς τοῖς ὀψωνίοις «ἐβουλεύσατο πορευθῆναι εἰς τὴν Περσίδα», ὅπως λάβῃ «τοὺς φόρους.[3]» μέλλων τοίνυν ἀπιέναι προσκαλεῖταί τινα τῶν ἑαυτοῦ φίλων ὀνόματι Λυσίαν καὶ παρατίθεται αὐτῷ τὸν ἴδιον υἱὸν Ἀντίοχον καὶ «ἐνετείλατο αὐτῷ» πάντα ὅσα «ἠβούλετο», καὶ ἐκέλευσεν αὐτὸν «δύναμιν» ἐξαποστεῖλαι εἰς «τὴν Ἰουδαίαν» «καὶ ἐξᾶραι» τὸ ἔθνος.[4] ἀναστὰς τοίνυν ὁ Λυσίας ἅμα τῷ παιδίῳ Ἀντιόχῳ πορεύεται μετὰ δυνάμεως πολλῆς ἐκπολεμήσων τὴν Ἱερουσαλήμ. καὶ ἐλθὼν ἡττᾶται ὑπὸ τοῦ Μακκαβαίου καὶ ἀναγγέλλεται ταῦτα ἐν τῇ Περσίδι τῷ Ἀντιόχῳ, ὅτι κατεκόπησαν πᾶσαι αἱ δυνάμεις αἱ πεμφθεῖσαι εἰς τὴν Ἰουδαίαν, καὶ ὅτι | «Λυσίας ἐπορεύθη» μετὰ δυνάμεως πρὸς αὐτοὺς «καὶ ἀνετράπη ἀπὸ προσώπου αὐτῶν, καὶ ἴσχυσαν ὅπλοις» καὶ πάσῃ παραθέσει ἐκ πασῶν «παρεμ|βολῶν ὧν ἐξέκοψαν», «καὶ ὠχύρωσαν» τὸ ὄρος Σιὼν καὶ ἐτείχισαν αὐτὸ τείχεσιν ὑψηλοῖς καὶ μεγάλοις. ὁ δὲ ἀκούσας «ἀπὸ λύπης» «ἔπεσεν εἰς ἀρρωστίαν», διότι μὴ καθὼς ἠθέλησεν οὕτως καὶ ἐγένετο, μηδὲ καθ' ἃ ἐβούλετο οὕτως καὶ συνέβη.[5] καὶ δὴ μέλλων τελευτᾶν προσκαλεῖται Φίλιππον τὸν ἑαυτοῦ φίλον, καὶ δίδωσιν αὐτῷ τὸ διάδημα, ὅπως ἀποκαταστήσῃ αὐτὸ τῷ παιδὶ αὐτοῦ Ἀντιόχῳ.[6] ὃς παραγενόμενος καὶ εἰσελθὼν εἰς Ἀντιόχειαν ἑαυτῷ περιεποιήσατο τὸ βασίλειον, ἦσαν γὰρ αἱ πλεῖσται δυνάμεις σὺν αὐτῷ. ἀναγγέλλεται οὖν ταῦτα τῷ Λυσίᾳ καὶ τῷ παιδίῳ Ἀντιόχῳ — ἐτύγχανεν γὰρ χαρακώσας τὴν Ἱερουσαλὴμ περικαθίσας τε ὁ Λυσίας—, ὅτι πάρεστιν Φίλιππος φέρων τὸ διάδημα καὶ ὅτι κρατεῖ τῆς πόλεως. ὁ δὲ ἀκούσας ταράσσεται καὶ φησίν· «δῶμεν δεξιὰς τοῖς ἀνθρώποις τούτοις | καὶ ποιήσωμεν μετ' αὐτῶν εἰρήνην·[7]» ὁ γὰρ «τόπος ἐστὶν ὀχυρὸς καὶ ἐπίκειται ἡμῖν καὶ τὰ τῆς | βασιλείας.[8]» καὶ δοὺς δεξιὰς

---

1. Δαν. 11, 8. 2. Α' Μακκ. 3, 28. 3. Α' Μακκ. 3, 31. 4. Α' Μακκ. 3, 32 ἑξ. 5. Α' Μακκ. 6, 8. 6. Α' Μακκ. 6, 14 ἑξ. 7. Α' Μακκ. 6, 58. 8. Α' Μακκ. 6, 57.

πορεύεται καὶ πληροῦται τὸ εἰρημένον ἐν τῇ γραφῇ· «καὶ ἀκοὴ καὶ σπουδαὶ ταράξουσιν αὐτὸν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν.[1]»

XLVII. Τούτων γενομένων λέγει πάλιν ἡ γραφή· καὶ ἐπαναστήσεται ἕτερος βασιλεὺς καὶ οὗτος κατισχύσει ἐπὶ τῆς γῆς, καὶ ἐπαναστήσεται βασιλεὺς τοῦ νότου, καί γε τῶν θυγατέρων αὐτοῦ λήψεται εἰς γυναῖκα. γίνεται γάρ τινα Ἀλέξανδρον ἀναστῆναι υἱὸν Φιλίππου· οὗτος κατὰ τὸν καιρὸν ἐκεῖνον ἐπανίσταται Ἀντιόχῳ καὶ πολεμήσας αὐτὸν ἀναιρεῖ, κρατεῖ δὲ τῆς βασιλείας· τότε ἀποστέλλει «πρὸς Πτολεμαῖον βασιλέα Αἰγύπτου λέγων·» «δός μοι τὴν θυγατέρα σου» Κλεοπάτραν «εἰς γυναῖκα»· ἰδοὺ γὰρ «ἐκάθισα ἐπὶ θρόνου» βασιλείας τῶν «πατέρων μου.[2]» | καὶ δὴ λαβὼν τὴν θυγατέρα αὐτοῦ Πτολεμαῖος ἄγει εἰς Πτολεμαΐδα καὶ δίδωσιν τῷ Ἀλεξάνδρῳ εἰς γυναῖκα· καὶ πληροῦται ἡ γραφὴ ὡς λέγει· καὶ λήψεται τῶν θυγατέρων αὐτοῦ εἰς γυναῖκα. λέγει δὲ καί· διαφθερεῖ αὐτήν, «καὶ οὐκ αὐτῷ ἔσται.[3]» ἀληθῶς καὶ τοῦτο πεπλήρωται· ἡνίκα γὰρ ἔδωκεν αὐτῷ Πτολεμαῖος τὴν ἰδίαν θυγατέρα ἐπιστρέφων εἶδεν τὴν | βασιλείαν Ἀλεξάνδρου θαυμαστὴν καὶ ἔνδοξον, ἧς κατεπίθυμος γενηθεὶς ὑπούλως ἐλάλει τῷ Ἀλεξάνδρῳ. λέγει δὲ ἡ γραφή· «καὶ ἐπὶ μιᾷ τραπέζῃ ψευδῆ λαλήσουσιν ἀμφότεροι οἱ βασιλεῖς.[4]» ὁ γὰρ Πτολεμαῖος ἐπιθυμῶν τὴν βασιλείαν Ἀλεξάνδρου ἐσθίων μετ' αὐτοῦ ἐπὶ τραπέζῃ ἐκακοηθίζετο μὴ ἔχων σύμφωνα πρὸς αὐτόν. πληροῦται οὖν ἡ γραφή. καὶ δὴ πορευθεὶς Πτολεμαῖος εἰς Αἴγυπτον καὶ στρατολογήσας δύναμιν πολλήν, ἐπῆλθε τῇ χώρᾳ, ἡνίκα Ἀλέξανδρος ἐπορεύθη εἰς Κιλικίαν· ἔτυχε γὰρ Ταρσεῖς καὶ Μαλλεώτας τότε στασιάζειν· ὃς βουλόμενος καταστεῖλαι αὐτοὺς ἧκεν κατὰ σπουδήν, καταλείψας τὴν ἰδίαν γυναῖκα Κλεοπάτραν ἐκεῖ. ἐπιβαίνων τοίνυν «ὁ Πτολεμαῖος» τῇ χώρᾳ «φρουρὰν» ἐξέταξεν κατὰ πόλεις.[5] κρατήσας δὲ τῆς Ἰουδαίας ἦλθεν πρὸς τὴν ἰδίαν θυγατέρα, καὶ ἐξαπέστειλεν γράμματα πρὸς Δημήτριον ἐν ταῖς νήσοις λέγων· ἔξελθε καὶ ἐλθὲ ἐνθάδε «καὶ δώσω σοι τὴν θυγα|τέρα μου» Κλεοπάτραν εἰς γυναῖκα, ὅτι Ἀλέξανδρος «ἐζήτησεν ἀποκτεῖναί με.» ταῦτα δὲ τὰ ῥήματα ἐπλάσατο βουλόμενος ψόγον ἐπενεγκεῖν τῷ Ἀλεξάνδρῳ. ἔρχεται τοίνυν ὁ Δημήτριος καὶ λαβὼν ὁ Πτολεμαῖος δίδωσιν αὐτῷ τὴν ἰδίαν θυγατέρα εἰς γυναῖκα, τὴν γενομένην Ἀλεξάνδρου. καὶ πληροῦται τὸ εἰρημέ|νον· «διαφθερεῖ αὐτήν» «καὶ οὐκ αὐτῷ ἔσται[6]» οὐδὲ αὐτῷ μενεῖ. ὅτι «ἀμφότεροι οἱ βασιλεῖς αἱ καρδίαι αὐτῶν εἰς πονηρίαν καὶ ἐπὶ μιᾷ τραπέζῃ ψευδῆ λαλήσουσιν» «ἀμφότεροι οἱ βασιλεῖς.[7]» τούτων οὕτως γενομένων, ἀκούσας ὁ Ἀλέξανδρος συνάπτει πόλεμον μετὰ Πτολεμαίου, καὶ μὴ κατισχύσας αὐτοῦ φυγὰς γίνεται πρὸς τὸν βασιλέα τῶν Ἀράβων· ὁ δὲ ἀφελὼν «τὴν κεφαλὴν Ἀλεξάνδρου» πέμπει «τῷ Πτολεμαίῳ», καὶ λαβὼν ἐκεῖνος περιτί-

---

1. Δαν. 11, 44. 2. Α' Μακκ. 10, 54, 52. 3. Δαν. 11, 17. 4. Δαν. 11, 27. 5. Α' Μακκ. 11, 3. 6. Δαν. 11, 17. 7. Δαν. 11, 27.

θεται τὰ «δύο διαδήματα» τῆς τε Συρίας καὶ Αἰγύπτου, ἅτινα περιθέμενος τῇ τρίτῃ ἡμέρᾳ τελευτᾷ. καὶ πληροῦται τὸ εἰρημένον ἐν τῇ γραφῇ· «καὶ οὐ δώσουσιν αὐτῷ δόξαν βασιλείας.[1]» | ἀπέθανεν γὰρ καὶ οὗτος καὶ οὐκ ἔλαβεν δόξαν ὑπὸ πάντων ὡς βασιλεύς.

XLVIII. Διηγησάμενος οὖν ὁ προφήτης τὰ ἤδη συμβάντα καὶ χρόνοις ἰδίοις [καὶ] τελεσθέντα, ἕτερον ἡμῖν μυστήριον καταγγέλλει, ἐσχάτων καιρῶν ἔνδειξιν ποιούμε|νος. λέγει γὰρ οὕτως· καὶ ἀναστήσεται ἕτερος βασιλεὺς ἀναιδὴς καὶ «ὑψωθήσεται» ὑπὲρ «πάντα θεὸν» «καὶ μεγαλυνθήσεται καὶ λαλήσει ὑπέρογκα καὶ κατευθυνεῖ μέχρις οὗ συντελεσθῇ ἡ ὀργή· εἰς γὰρ συντέλειαν γίνεται. καὶ ἐπὶ πάντα θεὸν τῶν πατέρων αὐτοῦ οὐ συνήσει καὶ ἐπιθυμίαν γυναικῶν, καὶ ἐπὶ πάντα θεὸν οὐ συνήσει, ὅτι ἐπὶ πάντας μεγαλυνθήσεται. καὶ θεὸν Μαζωεὶμ ἐπὶ τοῦ τόπου αὐτοῦ δοξάσει καὶ θεόν, ὃν οὐκ ἔγνωσαν οἱ πατέρες αὐτοῦ, δοξάσει ἐν χρυσῷ καὶ ἀργύρῳ καὶ λίθῳ τιμίῳ[2]», «καὶ πληθυνεῖ δόξαν καὶ ὑποτάξει αὐτοῖς πολλοὺς καὶ γῆν διελεῖ ἐν δώροις.[3]» «καὶ οὗτοι διασωθήσονται ἐκ χειρὸς αὐτοῦ Ἐδὼμ καὶ Μωὰβ καὶ ἀρχὴ υἱῶν Ἀμμών. καὶ ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ ἡ γῆ Αἰγύπτου οὐκ ἔσται εἰς σωτηρίαν· καὶ κυριεύσει ἐν τοῖς ἀποκρύφοις τοῦ χρυσίου καὶ | τοῦ ἀργυρίου καὶ ἐν πᾶσιν τοῖς ἐπιθυμητοῖς Αἰγύπτου καὶ Λιβύων | καὶ Αἰθιόπων ἐν τοῖς ὀχυρώμασιν αὐτῶν.[4]» «καὶ πήξει τὴν σκηνὴν αὐτοῦ Ἐφαδανῶ ἀνὰ μέσον τῶν θαλασσῶν ἐπ' ὄρος Σαβεὶν ἅγιον καὶ ἥξει ἕως μέρους αὐτοῦ.[5]»

IL. Ταῦτα μὲν οὖν οὕτως ὁ προφήτης διηγεῖται περὶ τοῦ ἀντιχρίστου, ὡς ἔσται ἀναιδὴς καὶ πολεμοτρόφος καὶ τύραννος τολμῶν ὑπὲρ «πάντα θεὸν» ἑαυτὸν ὑπεραίρειν, ὃς ἐπὶ τῇ ἰδίᾳ δυνάμει καυχώμενος καὶ τὰ ὀχυρώματα τῶν πολεμίων ἐκπορθῶν, ἐπὶ «χρυσῷ καὶ ἀργύρῳ καὶ λίθῳ τιμίῳ» ὑψηλὰ φρονῶν, «λαλήσει ὑπέρογκα» ῥήματα πρὸς θεόν, ἑαυτὸν μόνον ὡς θεὸν προσκυνεῖσθαι θέλων. περὶ τούτου πᾶσα γραφὴ οὐκ ἐσιώπησεν, καὶ προφῆται τοῦτον ἐπ' ἀπωλείᾳ πολλῶν ἐρχόμενον προκατήγγειλαν, καὶ ὁ κύριος τούτοις ἐμαρτύρησεν, καὶ ἀπόστολοι ταὐτὰ περὶ αὐτοῦ ἐδίδαξαν, καὶ τὸ τούτου ὄνομα δι' ἀριθμοῦ μυστικῶς Ἰωάννης ἐν τῇ Ἀποκαλύψει ἐφανέρωσεν.[6] τοῦτον «βδέλυγμα ἐρημώσεως» ὁ κύριος ἀπεφήνατο[7], καὶ ὁ ἀπόστολος υἱὸν | διαβόλου «κατ' ἐνέργειαν τοῦ σατανᾶ[8]» τοῦτον παρεσόμενον ἐδίδαξεν. οὗτος πόλιν Τυρίων πατάξας ἐρημώσει καὶ γῆν Αἰγύπτου ἐκπολεμήσας καταστρώσει καὶ πᾶσαν χώραν Λιβύων κατασκάψει, τόν τε βασιλέα Αἰθιόπων σὺν τῇ δυνάμει αὐτοῦ φόνῳ μαχαίρας διολέσει. ὃς ὑπὲρ πάντας βασιλεῖς καὶ «πάντα θεὸν» ἐπαρθεὶς οἰκοδομήσει τὴν Ἱερουσαλὴμ πόλιν καὶ τὸν ναὸν τὸν ἐστραμμένον ἀναστήσει, πᾶσάν

1. Δαν. 11, 21. 2. Δαν. 11, 36-38. 3. Δαν. 11, 39. 4. Δαν. 11, 41-43. 5. Δαν. 11, 45. 6. Ἀποκ. 13, 17-18. 7. Ματθ. 24, 15. 8. Β' Θεσσ. 2, 9.

τε τὴν χώραν καὶ τὰ ὅρια αὐτῆς τοῖς Ἰουδαίοις ἀποδώσει, καὶ τὸν λαὸν αὐτῶν ἐκ τῆς τῶν ἐθνῶν δουλείας προσκαλεσάμενος βασιλέα αὐτοῖς ἑαυτὸν ἀποδείξει, καὶ τούτῳ προσκυνήσουσιν ὡς θεῷ οἱ ἀπειθεῖς καὶ τούτῳ γόνυ κλινοῦσιν, ὑπονοοῦντες αὐτὸν εἶναι τὸν Χριστόν, μὴ νοοῦντες τὸ ὑπὸ τοῦ προφήτου εἰρημένον, πῶς ἐστιν πλάνος καὶ οὐκ ἀληθής. Ἱερεμίας γὰρ λέγει· «ἀνθ' ὧν» ἠπείθησαν τῇ ἀληθείᾳ τότε λαλήσει «τῷ λαῷ τούτῳ καὶ τῇ Ἱερουσαλὴμ πνεῦμα πλανήσεως.[1]» ὅθεν εἰδὼς ὁ ἀπόστολος τὴν τοῦ λαοῦ πλάνην καὶ τὴν ἐσομένην «ἐνέργειαν τοῦ σατανᾶ» ἐν αὐτοῖς | ἔφη· «ὅταν λέγωσιν· εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνιδίως αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδίνη τικτούσῃ καὶ οὐ μὴ ἐκφύγωσιν.[2]»

L. Οὗτος ἀνελεῖ τοὺς δύο μάρτυρας καὶ προδρόμους Χριστοῦ κηρύσσοντας τὴν ἔνδοξον αὐτοῦ ἀπ' οὐρανῶν παρουσίαν, ὡς λέγει διὰ τοῦ προφήτου· «καὶ δώσω τοῖς δυσὶ μάρτυσί μου καὶ προφητεύσουσιν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα περιβεβλημένοι σάκκους.[3]» καθ' ἃ καὶ τῷ Δανιὴλ εἴρηκεν· «καὶ διαθήσει διαθήκην πολλοῖς ἑβδομὰς μία, καὶ ἔσται ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεταί μου θυσία καὶ σπονδή·[4]» ἵνα δειχθῇ ἡ μία ἑβδομὰς εἰς δύο μεριζομένη, τῶν μὲν δύο μαρτύρων τρία ἥμισυ ἔτη κηρυσσόντων, τοῦ δὲ ἀντιχρίστου τὸ ἐπίλοιπον τῆς ἑβδομάδος τοὺς ἁγίους πολεμοῦντος καὶ πάντα τὸν κόσμον ἐρημοῦντος· ἵνα πληρωθῇ τὸ εἰρημένον· «καὶ δώσουσιν βδέλυγμα ἐρημώσεως ἡμέρας χιλίας διακοσίας ἐνενήκοντα· μακάριος ὁ ὑπομείνας εἰς Χριστὸν καὶ φθάσας εἰς ἡμέρας χιλίας τριακοσίας | τριάκοντα πέντε.[5]» τότε γὰρ «ἔσται θλῖψις μεγάλη, οἵα οὐ γέγονεν τοιαύτη ἀπὸ καταβολῆς κόσμου[6]», ἄλλων ἀλλαχῇ κατὰ πᾶσαν πόλιν καὶ χώραν εἰς τὸ ἀναιρεῖν τοὺς πιστοὺς πεμπομένων, καὶ τῶν μὲν Ἰουδαίων ἐπὶ τῇ τούτων ἀπωλείᾳ εὐφραινομένων, καὶ τῶν ἐθνῶν ἐπιχαιρομένων καὶ τῶν ἀπίστων αὐτοῖς συναιρομένων, τῶν δὲ ἁγίων ἀπὸ δύσεως εἰς ἀνατολὴν πορευομένων, καὶ ἑτέρων ἀπὸ ἀνατολῶν εἰς μεσημβρίαν διωκομένων, ἄλλων δὲ ἐν τοῖς ὄρεσιν καὶ ἐν τοῖς σπηλαίοις κρυ|πτομένων, πανταχοῦ αὐτοὺς τοῦ βδελύγματος πολεμοῦντος καὶ διὰ θαλάσσης καὶ διὰ ξηρᾶς τούτους διὰ τοῦ προστάγματος ἀναιροῦντος καὶ κατὰ πάντα τρόπον ἐκ τοῦ κόσμου ἐκθλίβοντος, μὴ δυναμένων αὐτῶν μήτε «πωλῆσαί» τι τῶν ἰδίων μήτε «ἀγοράσαι» παρὰ τῶν ἀλλοτρίων, χωρὶς ἐὰν μή τις «τὸ ὄνομα τοῦ θηρίου «ἐν χειρὶ περιφέρῃ, ἢ τὸ τούτου «χάραγμα» ἐπὶ [τῷ] μετώπῳ βαστάζῃ.[7] πάντες γὰρ <οἱ> πιστοὶ τότε ἐκ παντὸς τόπου ἐκδιωχθήσονται καὶ ἐκ | τῶν οἰκιῶν κατασπασθήσονται καὶ ἐκ τῶν πόλεων ἐξελασθήσονται καὶ ἐν τῷ δημοσίῳ συρήσονται καὶ πάσῃ κολάσει κολασθήσονται καὶ ἐκ παντὸς τοῦ κόσμου ἐκβληθήσονται.

LI. Χρὴ οὖν ἐνορᾶν τὴν ἐσομένην τῶν ἁγίων τότε θλῖψιν καὶ

1. Ἱερ. 4, 11. 2. Α' Θεσσ. 5, 3. 3. Ἀποκ. 11, 3. 4. Δαν. 9, 27. 5. Δαν. 12, 11-12. 6. Ματθ. 24, 21. 7. Ἀποκ. 13, 17.

ταλαιπωρίαν —δεῖ γὰρ ἡμᾶς ἐκ τῶν ἤδη μερικῶς γινομένων ἐννοεῖν τὰ ἐσόμενα—, τοιαύτης ζάλης καὶ ταράχου ἐν παντὶ | τῷ κόσμῳ γενησομένης, καὶ πάντων πιστῶν πανταχοῦ ἀναιρουμένων καὶ κατὰ πᾶσαν πόλιν καὶ χώραν σφαζομένων, καὶ δικαίων αἵματος ἐκχυνομένου, καὶ ζώντων ἀνθρώπων καιομένων, καὶ θηρίοις ἑτέρων παραβαλλομένων, καὶ νηπίων ἐν ἀφόδοις φονευομένων, καὶ ἀτάφων πάντων ῥιπτουμένων καὶ ὑπὸ κυνῶν βιβρωσκομένων, παρθένων τε καὶ γυναικῶν παρρησίᾳ φθειρομένων καὶ αἰσχρῶς ἐμπαιζομένων, καὶ ἀναρπαγῶν γινομένων, καὶ κοιμητηρίων ἁγίων ἀνασκαπτομένων, καὶ λειψάνων ἀνορυσσομένων καὶ ἐν πεδίῳ <ῥιπτουμένων>, καὶ βλασφημιῶν γινομένων. τάραχος ἔσται ἐν πόλεσιν τότε, | τῶν ἁγίων ἐκεῖθεν διωκομένων· τάραχος ἔσται ἐν ὁδοῖς καὶ ἐν ἐρημίαις, πάντων ἐκεῖ κρύβεσθαι βουλομένων· τάραχος ἔσται ἐν θαλάσσῃ, πάντων δι' ὕδατος φεύγειν πειρωμένων· τάραχος ἔσται ἐν νήσοις, πάντων ἐκεῖ ἐκζητουμένων. καὶ ἔσται ἡ γῆ τότε τοῖς ἁγίοις | ἄκαρπος καὶ πᾶσα πόλις ἀοίκητος καὶ θάλασσα ἄπλωτος καὶ πᾶς ὁ κόσμος ἔρημος, τῶν μὲν ὑπὸ λιμοῦ διαφθειρομένων, τῶν δὲ ἀπὸ δίψης ἐκλιμπανόντων, ἑτέρων δὲ ἀπὸ τοῦ φόβου καὶ τῆς πολλῆς θλίψεως ἀποθνῃσκόντων. ποῦ [δὲ] τότε κρυβήσεται ἄνθρωπος; τίνι δὲ τὰ ἴδια τέκνα παραθήσεται; ποῦ δὲ τὰ ὑπάρχοντα αὐτοῦ ἀποκομίσας διασώσει, ὁπότε μηδὲ τὴν ἰδίαν ψυχὴν σῶσαι δύναται; τότε ἔσονται οἰμωγαὶ νηπίων πολλαί, πατέρων τε καὶ μητέρων ὀδυρμοί, γυναικῶν τε καὶ παρθένων ὀλολυγμοί, ἀδελφῶν τε καὶ συγγενῶν κοπετοί. τίς τίνα πενθήσει τότε; οὐκ ἀδελφὸς ἀδελφόν, καὶ γὰρ αὐτὸς τὸν θάνατον προσδοκᾷ· οὐ μήτηρ θυγατέρα, καὶ αὐτὴ τὸν | θάνατον ὑφορωμένη· οὐ πατὴρ υἱόν, φοβούμενος μὴ καὶ αὐτὸς ἀναιρεθῇ.

LII. Διὰ τοῦτο προειδὼς ὁ κύριος ταῦτα λέγει· | «προσεύχεσθε, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος ἢ σαββάτου [1]», μήτε ἀργοῦντας ὑμᾶς ἀπὸ δικαιοσύνης, μήτε ἀσχολουμένους [ὑμᾶς] ἐν βιωτικοῖς πράγμασιν, ὡς ἐν χειμῶνι, μήπως «αἰφνιδίως ἐπιστῇ ἐφ' ὑμᾶς ἡ ἡμέρα ἐκείνη ὡς παγίς.[2]» «εἰ γὰρ μὴ ἐκολοβώθησαν, φησίν, αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι.[3]» ἀλλὰ «μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς καὶ οἱ ἀστέρες καίονται ἐκ τοῦ οὐρανοῦ ἐκπίπτοντες καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον μετὰ δυνάμεως καὶ δόξης πολλῆς.[4]» εἰ γὰρ ὁ διάβολος πρὸς ὀλίγον ἔλαβεν ἐξουσίαν ταράξαι τὴν γῆν, ὡς γέγραπται, «ἔδωκεν αὐτῷ [5]» ὁ θεὸς ἐξουσίαν «πειράσαι τοὺς κα|τοικοῦντας ἐπὶ τῆς γῆς [6]», πόσον μᾶλλον ὁ υἱὸς τοῦ θεοῦ ὁ λαβὼν τὴν πᾶσαν ἐξουσίαν τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων καὶ καταχθονίων ταράξει πάντα τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ στοι-

1. Ματθ. 24, 20. 2. Λουκ. 21, 34-35. 3. Ματθ. 24, 22. 4. Ματθ. 24, 29-30. 5. Ἀποκ. 13, 2, 5. 6. Ἀποκ. 3, 10.

χεῖα πρὸς | «ἐκδίκησιν τῶν [1]» ἁγίων μετὰ δυνάμεως ἀγγελικῆς καὶ δόξης πατρικῆς παραγινόμενος, «ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν πᾶσιν τοῖς ἁγίοις αὐτοῦ καὶ θαυμασθῆναι ἐν πᾶσιν τοῖς» ἐπικαλουμένοις αὐτόν, «ἀνταποδοῦναι τοῖς θλίβουσιν ἡμᾶς θλῖψιν, ἡμῖν δὲ τοῖς θλιβομένοις ἄνεσιν.[2]»

LIV. Δύο οὖν βδελύγματα προείρηκεν Δανιήλ, ἓν μὲν ἀφανισμοῦ, ἓν δὲ ἐρημώσεως. τί τὸ τοῦ ἀφανισμοῦ ἀλλ' ἢ ὃ ἔστησεν ἐκεῖ κατὰ τὸν καιρὸν ὁ Ἀντίοχος; καὶ τί τὸ τῆς ἐρημώσεως ἀλλ' ἢ τὸ καθ' ὅλου, ὡς παρέσται ὁ ἀντίχριστος; ὡς λέγει Δανιήλ· καὶ αὐτὸς ἐπὶ ἀπωλείᾳ πολλῶν στήσεται, «καὶ γῆν διελεῖ ἐν δώροις [3]» καὶ βαλεῖ εἰς αὐτὴν | χῶμα, «καὶ γῆ Αἰγύπτου οὐκ ἔσται εἰς σωτηρίαν [4]», «καὶ οὗτοι σωθήσονται ἐκ χειρὸς αὐτοῦ Ἐδὼμ καὶ Μωὰβ καὶ ἀρχὴ υἱῶν Ἀμμών.[5]» οὗτοι γὰρ εἰσιν οἱ συνερχόμενοι αὐτῷ διὰ τὴν συγγένειαν καὶ βασιλέα αὐτὸν πρῶτοι ἀναγορεύοντες. οἱ μὲν Ἐδὼμ εἰσιν οἱ υἱοὶ τοῦ Ἠσαῦ, οἱ κατοικοῦντες τὸ ὄρος Σηείρ· Μωὰβ δὲ καὶ Ἀμμὼν οἱ υἱοὶ τοῦ Λώτ, οἱ ἐκ τῶν δύο αὐτοῦ θυγατέρων γεγεννημένοι· ὡς καὶ Ἡσαΐας λέγει· «καὶ πετασθήσονται | ἐν πλοίοις ἀλλοφύλων θάλασσαν ἅμα προνομεύοντες», καὶ οἱ ἀπὸ «ἀνατολῶν» καὶ δυσμῶν καὶ οἱ ἀπὸ βορρᾶ δώσουσιν δόξαν, «οἱ δὲ υἱοὶ Ἀμμὼν πρῶτοι ὑπακούσονται.[6]»

LV. Οὗτος ὑπ' αὐτῶν βασιλεὺς ἀναγορευθεὶς καὶ ὑπὸ πάντων δοξασθεὶς καὶ βδέλυγμα ἐρημώσεως τῷ κόσμῳ γενηθείς, κρατήσει ἡμέρας χιλίας διακοσίας ἐνενήκοντα· <ὡς> καὶ Δανιὴλ λέγει· «καὶ δώσουσιν βδέλυγμα ἐρημώσεως ἡμέραι χίλιαι διακόσιαι ἐνενήκοντα· μακάριος ὁ ὑπομείνας καὶ φθάσας εἰς ἡμέρας χιλίας | τριακοσίας τριάκοντα πέντε.[7]» τοῦ γὰρ βδελύγματος παραγενομένου καὶ πολεμοῦντος τοὺς ἁγίους, ὃς ἂν ὑπερβῇ τὰς ἡμέρας αὐτοῦ καὶ ἐγγίσῃ εἰς ἡμέρας τεσσαράκοντα πέντε ἑτέρας ἐγγιζούσης πεντηκοστῆς, ἔφθασεν εἰς βασιλείαν οὐρανῶν. ἔρχεται γὰρ ὁ ἀντίχριστος εἰς μέρος πεντηκοστῆς ὡς τὴν βασιλείαν ἅμα Χριστῷ κληρονομεῖν μέλλων. καὶ διὰ τοῦτο Ἡσαΐας λέγει· «ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου.[8]» καὶ Παῦλος ἐν τῇ πρὸς Θεσσαλονικεῖς φησιν· «ὃν ὁ κύριος Ἰησοῦς ἀνελεῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ | καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ [9]», τὴν δὲ βασιλείαν οἱ ἅγιοι ἅμα Χριστῷ κληρονομεῖν μέλλουσιν.

LVI. Τούτων οὖν οὕτως ἐσομένων προσέθηκεν λέγων· «καὶ πολλοὶ τῶν ἐν γῆς χώματι καθευδόντων ἀναστήσονται, οὗτοι εἰς ζωὴν αἰώνιον καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον, καὶ οἱ συνιέντες ἐκλάμψουσιν | ὡς ἡ λαμπρότης τοῦ στερεώματος καὶ ἀπὸ τῶν δικαίων τῶν πολλῶν ὡς οἱ ἀστέρες εἰς τὸν αἰῶνα καὶ ἔτι.[10]» τίνες οὖν εἰσιν οἱ καθεύδοντες «ἐν γῆς χώματι» ἀλλ' ἢ τὰ τῶν ἀνθρώπων σώματα, ἅτινα ἀπολαμβάνοντα τὰς ἰδίας ψυχὰς ἀναστήσονται, οἱ μὲν «εἰς ἀνά-

1. Λουκ. 18, 7. 2. Β' Θεσσ. 1, 10, 6. 3. Δαν. 11, 39. 4. Δαν. 11, 42. 5. Δαν. 11, 41. 6. Ἡσ. 11, 14. 7. Δαν. 12, 11-12. 8. Ἡσ. 26, 10. 9. Β' Θεσσ. 2, 8. 10. Δαν. 12, 2-3.

στασιν ζωῆς[1]», καθαρὰ καὶ διαυγῆ καὶ λάμποντα «ὡς ἡ λαμπρότης τοῦ στερεώματος» ἀπολαμβάνοντες αὐτά, οἱ δὲ «εἰς ἀνάστασιν κρίσεως», αὐτάρκη πρὸς τὴν αἰώνιον κόλασιν αὐτὰ ἀπολαμβάνοντες· καθὼς καὶ ὁ Παῦλος λέγει· «αὐτὸς δὲ σωθήσεται ὡς διὰ πυρός.[2]» καὶ γὰρ ὁ κύριος [δὲ] ἐν τῷ εὐαγγελίῳ τὸ ὅμοιον εἴρηκεν· «τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος[3]» φαίνει ἐν τῇ δόξῃ αὐτοῦ. καὶ Ἡσαΐας λέγει· «ἔγειρε ὁ καθεύ|δων καὶ ἐξεγέρθητι ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός.[4]» καὶ ὁ κύριος πάλιν· «ἀμὴν λέγω ὑμῖν, ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσουσιν τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ καὶ ἀναστήσονται οἱ τὰ ἀγαθὰ πράξαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστα|σιν κρίσεως.[5]» οὗτοι, φησίν, ἀναστήσονται «εἰς ζωήν», οἱ τῇ ὄντως ζωῇ πεπιστευκότες καὶ «ἐν βίβλῳ ζωῆς» ἐγγεγραμμένοι· καὶ «οὗτοι εἰς ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον», οἱ τῷ ἀντιχρίστῳ συναιρόμενοι καὶ σὺν αὐτῷ εἰς τὴν αἰώνιον κόλασιν βαλλόμενοι. περὶ οὗ προφητεύει Ἡσαΐας λέγων· «ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον οὐκ ἔσται καθαρόν, οὕτως οὐδὲ σὺ [οὐκ] ἔσῃ καθαρός, ὅτι τὴν γῆν μου ἠρήμωσας καὶ τὸν λαόν μου ἀπέκτεινας· οὐ μὴ μείνῃς εἰς τὸν αἰῶνα χρόνον, σπέρμα πονηρόν· ἑτοίμασον τὰ τέκνα σου εἰς σφαγὴν ταῖς ἁμαρτίαις τοῦ πατρός σου, ἵνα μὴ ἀναστῶσιν καὶ τὴν γῆν μου κληρονομήσωσιν.[6]»

LVII. Τούτων οὕτως εἰρημένων λέγει ὁ Δανιήλ· «καὶ εἶδον, καὶ ἰδοὺ ἕτεροι δύο ἄνδρες ἑστήκεισαν εἷς ἐντεῦθεν τοῦ χείλους τοῦ ποταμοῦ καὶ εἷς ἐντεῦθεν[7]», | καὶ ἀπεκρίθησαν τῷ ἀνδρὶ τῷ ἑστῶτι «ἐπάνω τοῦ <ὕδατος> τοῦ ποταμοῦ[8]» καὶ εἶπαν αὐτῷ· «ἕως πότε τὸ πέρας» τῶν λόγων «τῶν θαυμαστῶν, ὧν ἐλάλησας; καὶ ἤκουσα τοῦ ἀνδρὸς τοῦ ἐνδεδυμένου τὸ βαδδίν, ὃς ἦν ἐπάνω τοῦ ὕδατος τοῦ ποταμοῦ καὶ ὕψωσεν τὴν δεξιὰν αὐτοῦ καὶ τὴν ἀριστερὰν αὐτοῦ εἰς τὸν οὐρανόν, καὶ ὤμοσεν τῷ ζῶντι εἰς τὸν αἰῶνα, ὅτι εἰς καιρὸν καὶ καιροὺς καὶ ἥμισυ καιροῦ ἐν τῷ συντελεσθῆναι διασκορπισμὸν γνώσονται ταῦτα πάντα.[9]» τίνες οὖν ἦσαν οἱ δύο ἄνδρες οἱ ἑστῶτες παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ, ἀλλ' ἢ «ὁ νόμος καὶ οἱ προφῆται[10]»; καὶ τίς ἦν ὁ ἑστὼς «ἐπάνω τοῦ ὕδατος» εἰ μὴ αὐτὸς οὗτος, περὶ οὗ αὐτοὶ [οὗτοι] πάλαι προεκήρυξαν, ὃς ἔμελλεν ἐπ' ἐσχάτων ἐπὶ τῷ Ἰορδάνῃ φανερῶς ὑπὸ τοῦ πατρὸς μαρτυρεῖσθαι καὶ ὑπὸ Ἰωάννου τῷ λαῷ παρρησίᾳ δείκνυσθαι, ὁ τὸ κάστ|υ τοῦ γραμματέως περὶ τὴν ὀσφὺν φορῶν καὶ τὸ βαδδίν, τὸν ποικίλον χιτῶνα ἐνδεδυμένος. οὗτοι πυνθάνονται αὐτοῦ εἰδότες, ὅτι αὐτῷ «ἐδόθη πᾶσα[11]» ἀρχὴ καὶ «ἐξουσία», ἵνα μάθωσιν | παρ' αὐτοῦ ἀκριβῶς, πότε μέλλει ἐπάγειν τῷ κόσμῳ τὴν κρίσιν καὶ πότε τὰ ὑπ' αὐτοῦ λελαλημένα πληρωθήσεται. ὁ δὲ κατὰ

1. Ἰω. 5, 29. 2. Α' Κορ. 3, 15. 3. Ματθ. 13, 43. 4. Ἐφεσ. 5, 14. 5. Ἰω. 5, 25, 29. 6. Ἡσ. 14, 19-21. 7. Δαν. 12, 5. 8. Δαν. 12, 6. 9. Δαν. 12, 6-7. 10. Λουκ. 16, 16. 11. Ματθ. 28, 18.

πάντα τρόπον πείθειν τούτους βουλόμενος ἐπῆρεν «τὴν δεξιὰν αὐτοῦ καὶ τὴν ἀριστερὰν [αὐτοῦ] εἰς τὸν οὐρανὸν καὶ ὤμοσεν κατὰ τοῦ ζῶντος εἰς τὸν αἰῶνα.[1]» τίς [καὶ] κατὰ τίνος ὤμοσεν; ὁ υἱὸς κατὰ τοῦ πατρός, λέγων ὅτι ζῇ «εἰς τὸν αἰῶνα» ὁ πατήρ· ἦ μὴν «εἰς καιρὸν καὶ καιροὺς καὶ ἥμισυ καιροῦ ἐν τῷ συντελεσθῆναι διασκορπισμὸν γνώσονται ταῦτα πάντα.[2]» τὸ οὖν ἐκτεῖναι αὐτὸν τὰς δύο χεῖρας [αὐτοῦ], διὰ τούτου τὸ πάθος ἐπέδειξεν. τὸ δὲ εἰπεῖν «εἰς καιρὸν καὶ καιροὺς καὶ ἥμισυ καιροῦ» τὰ τρία ἥμισυ ἔτη τὰ τοῦ ἀντιχρίστου ἐσήμανεν· | καιρὸν δὲ λέγει ἐνιαυτὸν καὶ καιροὺς δὲ δύο ἔτη, ἥμισυ δὲ καιροῦ ἥμισυ ἐνιαυτοῦ· αὗταί εἰσιν αἱ χίλιαι διακόσιαι ἐνενήκοντα ἡμέραι ἃς προεῖπεν Δανιήλ.

LVIII. «Ἐν τῷ οὖν συντελεσθῆναι» τὸ πάθος καὶ γενέσθαι «διασκορπισμὸν» παρόντος τοῦ ἀντιχρίστου ἐν ταῖς ἡμέραις ἐκείναις «γνώσονται ταῦτα πάντα.» τί οὖν ἔτι διστάζεις, ὦ ἄνθρωπε, ἐπὶ τοῖς εἰρημένοις, ἢ πῶς | ἀπιστεῖς τοῖς ὑπὸ τοῦ κυρίου λελαλημένοις, ὁπότε ἡ πρώτη αὐτοῦ παρουσία ἤδη γεγένηται, καὶ ὁ ἐπὶ «τοῦ ὕδατος» ἑστὼς τότε καὶ ὀφθεὶς τῷ Δανιὴλ τῷ κόσμῳ νῦν πεφανέρωται, καὶ τὸ πάθος αὐτοῦ πᾶσιν σεσήμανται, καὶ διασκορπισμὸς τῷ λαῷ τῶν Ἰουδαίων ὑπὸ Ῥωμαίων γεγένηται. ἐν τῷ γὰρ λέγειν «συντελεσθῆναι διασκορπισμὸν γνώσονται ταῦτα πάντα», παρόντος [τότε] τοῦ κυρίου πρὸς αὐτοὺς καὶ μὴ ἐπιγνωσ|θέντος ὑπ' αὐτῶν διεσκορπίσθησαν εἰς πάντα τὸν κόσμον ἔκβλητοι τῆς ἰδίας χώρας γενόμενοι[3], καὶ ὑπὸ τῶν ἐχθρῶν πολεμηθέντες ἐκ τῆς Ἱερουσαλὴμ [πόλεως] ἐξώσθησαν ἐπίχαρμα πᾶσιν τοῖς ἔθνεσιν γενάμενοι, ἵνα τὸ εὐαγγέλιον τοῦ κυρίου κατὰ πάντα τὸν κόσμον κηρυχθῇ[4] καὶ ὁ πᾶς χρόνος πληρωθῇ καὶ ἡ ἐσχάτη ἑβδομὰς περιληφθῇ καὶ οἱ δύο πρόδρομοι τοῦ Χριστοῦ ἀποσταλῶσιν καὶ τὸ «βδέλυγμα τῆς ἐρημώσεως» μετ' αὐτοὺς ἀναφανῇ καὶ ὁ κριτὴς τῶν κριτῶν ἀπὸ οὐρανῶν ἀποκαλυφθῇ καὶ ἡ ἀνάστασις τῶν ἁγίων γενηθῇ καὶ τὸ αἰώνιον βασίλειον τοῖς ἀξίοις δοθῇ καὶ τῶν ἀσεβῶν ἄσβεστον καὶ ἀκοίμητον πῦρ ἐξαφθῇ.

LIX. Τούτων οὕτως εἰρημένων, βουλόμενος ὁ προφήτης ἀκριβέστερον περιεργά|ζεσθαι ὁποῖα ἦν τὰ μετὰ τὴν ἀνάστασιν, ἀπεκρίθη πρὸς αὐτὸν | καὶ εἶπεν· «κύριε, τί τὰ ἔσχατα τούτων; καὶ εἶπεν· δεῦρο, Δανιήλ, ὅτι ἐμπεφραγμένοι καὶ ἐσφραγισμένοι οἱ λόγοι οὗτοι ἕως καιροῦ πέρας, ἕως ἂν ἐκλεγῶσιν καὶ ἐκλευκανθῶσιν καὶ ἐκπυρωθῶσιν πολλοὶ καὶ ἀνομήσουσιν ἄνομοι καὶ οἱ νοήμονες συνήσουσιν.[5]» «καὶ σὺ δεῦρο καὶ ἀναπαύου· ἔτι γὰρ ἡμέραι εἰς ἀναπλήρωσιν συντελείας καὶ ἀναστήσῃ εἰς τὸν κλῆρόν σου εἰς συντέλειαν ἡμερῶν.[6]» ἐπειδὴ γὰρ «ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἁγίοις» ἐκδιηγήσασθαι ἄνθρωπος νῦν οὐ δύναται — οὔτε γὰρ «ὀφθαλμὸς» αὐτοῦ «εἶδεν» οὔτε «οὖς ἤκουσεν» οὔτε «ἐπὶ καρδίαν ἀνθρώπου» «ἀνέβη[7]», «εἰς ἃ καὶ ἐπιθυμοῦσιν τότε ἄγγελοι

1. Δαν. 12, 7. 2. Δαν. 12, 7. 3. Πρβλ. Λουκ. 21, 24. 4. Πρβλ. Ματθ. 24, 14. 5. Δαν. 12, 8-10. 6. Δαν. 12, 13. 7. Α' Κορ. 2, 9.

παρακύψαι [1]»—, οὕτως ἔφη πρὸς αὐτὸν «ἐμπεφραγμένοι εἰσὶν οἱ λόγοι οὗτοι ἕως καιροῦ πέρας, ἕως ἂν ἐκλεγῶσιν καὶ ἐκλευκανθῶσιν καὶ ἐκπυρωθῶσιν πολλοί.» τίνες δὲ οἱ ἐκλεγόμενοι ἀλλ' ἢ οἱ ἄξιοι τῆς βασιλείας εὑρισκόμενοι; καὶ τίνες οἱ λευκαι|νόμενοι ἀλλ' ἢ οἱ τῷ τῆς «ἀληθείας» λόγῳ πιστεύοντες, ἵνα λευκανθῶσιν δι' αὐτοῦ καὶ ἀποβάλλοντες τὸν τῶν ἁμαρτιῶν ῥύπον ἐνδύσωνται τὸ ἀπ' οὐρανῶν καθαρὸν καὶ διαυγὲς ἅγιον πνεῦμα, | ἵνα παρόντος τοῦ νυμφίου εὐθέως συνεισέλθωσιν αὐτῷ. καὶ τίνες οἱ ἐκπυρούμενοι ἢ οἱ διερχόμενοι «διὰ πυρὸς καὶ ὕδατος [2]» διὰ τοῦ πνευματικοῦ «λουτροῦ τῆς παλιγγενεσίας [3]» καὶ «τὸ θέλημα» τοῦ θεοῦ διὰ πυρώσεως πολλῶν πειρασμῶν καὶ θλίψεων ποιοῦντες; «καὶ ἀνομήσουσιν ἄνομοι καὶ οἱ νοήμονες συνήσουσιν· [4]» οἱ διὰ τοῦ αὐτεξουσίου ἀνομοῦντες καὶ δι' αὐτοῦ πάλιν τινὲς συνιέντες καὶ εὐαρεστοῦντες.

LX. Τοῦ οὖν κυρίου διηγουμένου τοῖς μαθηταῖς περὶ τῆς μελλούσης τῶν ἁγίων βασιλείας ὡς εἴη ἔνδοξος καὶ θαυμαστή, καταπλαγεὶς ὁ Ἰούδας ἐπὶ τοῖς λεγομένοις ἔφη· καὶ τίς ἄρα ὄψεται ταῦτα; ὁ δὲ κύριος ἔφη· «ταῦτα ὄψονται οἱ ἄξιοι γενόμενοι.[5]» ἴδε νῦν, ὦ ἄνθρωπε, τὰ πάλαι ἐσφραγισμένα καὶ γνωσθῆναι μὴ δυνάμενα νῦν παρρησίᾳ «ἐπὶ τῶν δωμάτων [6]» κηρύσσεται καὶ ἡ τῆς ζωῆς βίβλος ἐκταθεῖσα ἤδη φανερῶς ἐπὶ ξύλου ἥπλωται ἔχουσα «τίτλον» «ῥωμαϊστὶ καὶ ἑλληνιστὶ καὶ ἑβραϊστὶ [7]» γεγραμμένον, ὅπως καὶ Ῥωμαῖοι καὶ Ἕλληνες καὶ Ἑβραῖοι διδαχθῶσιν, ἵνα προσ|δοκῶντες οἱ ἄνθρωποι τὰ μέλλοντα ἀγαθὰ πιστεύσωσιν τοῖς ἐκεῖ ἐγγεγραμμένοις ἐν ταύτῃ «τῇ βίβλῳ τῆς | ζωῆς [8]» τοῖς καὶ κηρυχθεῖσιν ἐν ὅλῳ τῷ κόσμῳ, καὶ μαθόντες τὰ [τῷ κόσμῳ] ἐπερχόμενα κακά, φοβηθέντες τὴν κρίσιν [καὶ] ἐκφύγωσιν καὶ τὴν αἰώνιον κόλασιν, ὅπως ἄξιοι πάντες τοῦ βασιλέως εὑρεθέντες ἐκλάβωμεν αὐτὸν καθαρὸν καθαροῖς σώμασιν καὶ ψυχαῖς, λαμπρὰς καὶ εὐώδεις στολὰς [9] περὶ τὸ σῶμα ἠμφιεσμένοι, τὰς ἑαυτῶν λαμπάδας ἐλαίῳ διαυγεῖ [10] καταρτίσαντες, ἵνα μὴ τῇ «κραιπάλῃ καὶ τῇ μέθῃ [11]» καὶ τῇ παντοίᾳ φαντασίᾳ καὶ ἡδονῇ τοῦ βίου τούτου ἀπατηθέντες καὶ μείζονα τὰ πρόσκαιρα καὶ ἐπίγεια καὶ εὔφθαρτα νομίσαντες τῶν ἀϊδίων καὶ ἀφθάρτων καὶ ἀκηράτων ἀγαθῶν, ἀπονυστάξαντες ἐκπέσωμεν τῆς ἀϊδίου ζωῆς. δύναται δὲ ὁ θεὸς πάντας ἡμᾶς [πρὸς τὰ μέλλοντα] ἐγρηγόρους ποιῆσαι, καταρτίσαι, σῶσαι, ἐλεῆσαι, φυλάξαι, τηρῆσαι ἀπὸ παντὸς πειρασμοῦ καὶ θλίψεως, ὅπως ἐκφυγόντες τὴν ἐπερχομένην διὰ πυρὸς κρίσιν φθάσωμεν [ἀπαντῆσαι μετὰ χαρᾶς] εἰς | τὴν ἐπιφάνειαν τοῦ ἠγαπημένου παιδὸς αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν, δοξάζοντες αὐτόν, ὅτι αὐτῷ ἡ δόξα νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

1. Α' Πέτρ. 1, 12. 2. Ψαλμ. 65, 12. 3. Τίτ. 3, 5. 4. Δαν. 12, 10. 5. Πρβλ. Εἰρην. Ἔλεγχ. V, 33. 6. Ματθ. 10, 27. Λουκ. 12, 3. 7. Ἰω. 19, 20. 8. Φιλιπ. 4, 3. Ἀποκ. 3, 5. 13, 18. 9. Ἀποκ. 7, 9. 10. Ματθ. 25, 4, 7. 11. Λουκ. 21, 34.

ΕΛΛΗΝΙΚΑ ΑΠΟΣΠΑΣΜΑΤΑ ΕΚ ΤΟΥ ΥΠΟΜΝΗΜΑΤΟΣ ΕΙΣ ΤΗΝ ΓΕΝΕΣΙΝ

ὡς ἐπὶ τὸ πλεῖστον εἰλημμένα ἐκ τῆς Σειρᾶς εἰς τὴν Γένεσιν τοῦ Προκοπίου Γαζαίου *

ΓΝΗΣΙΑ ΑΠΟΣΠΑΣΜΑΤΑ

I. Γεν. 1,5.

Ἱππολύτου ἐπισκόπου Ῥώμης.

Οὐκ εἶπεν «ἡμέρα πρώτη.[1]» εἰ γὰρ πρώτην ἡμέραν εἶπεν, ἀνάγκην εἶχεν εἰπεῖν καὶ δευτέραν γινομένην. ἀλλ' ἔδει μὴ πρώτην λέγειν ἀλλὰ «μίαν», ἵνα διὰ τοῦ «μίαν» εἰπεῖν ταύτην δείξῃ κυκλουμένην καὶ ἑβδομάδα διατελοῦσαν, μίαν δὲ ὑπάρχουσαν.

II. Γεν. 1,7.

Ἱππολύτου ἐπισκόπου Ῥώμης.

Τῆς γὰρ τοῦ ὕδατος περισσείας ἐπιφερομένης εἰς τὸ πρόσωπον τῆς γῆς, διὸ καὶ «ἀόρατος ἦν ἡ γῆ καὶ ἀκατασκεύαστος [2]», ἡνίκα ἠθέλησεν ὁ πάντων δεσπότης ὁρατὸν τὸ «ἀόρατον» ποιῆσαι, τότε δὴ τότε τὸ τρίτον μέρος τῶν ὑδάτων πήγνυσιν ἐν μέσῳ, τὸ τρίτον δὲ εἰς τὸ ἄνω ἐχώριζεν, ἀναλαμβάνων τῇ ἑαυτοῦ δυνάμει ἅμα τῷ στερεώματι, τὸ δὲ τρίτον εἰς τὸ κάτω κατέλιπε πρὸς χρῆσιν καὶ «ἀπόλαυσιν [3]» τοῖς ἀνθρώποις.

III. Γεν. 2,7.

Τοῦ ἁγίου Ἱππολύτου Ῥώμης ἐκ τῆς εἰς τὴν γένεσιν πραγματείας.

«Καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς.[4]» τί δὲ ἔστι τοῦτο; ἆρα μὴ κατὰ τὴν τινῶν ὑπόνοιαν τρεῖς ἀνθρώπους λέγομεν γεγονέναι, ἕνα πνευματικόν, καὶ ἕνα ψυχικόν, καὶ ἕνα χοϊκόν; οὐχ οὕτως ἔχει, ἀλλὰ περὶ ἑνὸς ἀνθρώπου ἡ πᾶσα διήγησις· τὸ γὰρ «ποιήσωμεν [5]» περὶ μέλλοντός ἐστιν· τὸ δὲ «ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς», ... ὥστε περὶ ἑνὸς ἀνθρώπου τοῦ αὐτοῦ ἡ διήγησις γίνεται· τότε γὰρ λέγει γενέσθαι, νῦν δὲ ποιεῖ, καὶ τὸ πῶς ποιεῖ διηγεῖται.

* Τὸ κείμενον εἶναι κατὰ τὴν ἔκδοσιν τοῦ Hans Achelis, Hippolyt's kleinere Exegetische und Homiletische Schriften, ἐν G. Nath. Bonwetsch und Hans Achelis, Hippolytus Werke, τ. Α', Leipzig 1897, μετ' ἄδειαν τῆς Preussische-Akademie der Wissenschaften zu Berlin.

1. Γεν. 1, 5. 2. Γεν. 1, 2. 3. Α' Τιμ. 6, 17. 4. Γεν. 1. 27. 5. Γεν. 1, 26.

IV. Γεν. 2,8 ἑξ.

Katene

Ἱππολύτου ἐπισκόπου

Τινὲς βούλονται λέγειν εἰς τὸν οὐρανὸν εἶναι τὸν παράδεισον καὶ μὴ εἶναι ἐκ τῆς κτίσεως. ὁπότε τοίνυν ὁρῶνται οἱ ποταμοὶ ὑπὸ ὀφθαλμῶν ἐκπορευόμενοι ἐξ αὐτοῦ, ἐν οἷς καὶ σήμερόν ἐστι πάντας ἱστορεῖν τοὺς θέλοντας ὁρᾶν, ἄρα λογιζέσθω πᾶς, ὅτι οὐκ εἰς τὸν οὐρανόν, ἀλλ᾽ ὄντως ἐν τῇ κτίσει πεφύτευται. ἔστι δὲ τόπος ἀνατολῆς καὶ χωρίον ἐκλογῆς.

Sacra Parallela

Τοῦ ἁγίου Ἱππολύτου ἐπισκόπου Ῥώμης.

Ταῦτα δὲ ἀνάγκην ἔχομεν διηγήσασθαι, ὅπως τὴν ὑπόνοιαν τὴν τῶν πολλῶν ἀνέλωμεν. τινὲς γὰρ βούλονται λέγειν εἰς τὸν οὐρανὸν εἶναι τὸν παράδεισον καὶ μὴ εἶναι ἐκ τῆς κτίσεως. ὁπότε τοίνυν ὁρῶνται οἱ ποταμοὶ ὑπὸ τῶν ὀφθαλμῶν ἡμῶν ἐκπορευόμενοι ἐξ αὐτοῦ, ἐν οἷς καὶ σήμερόν ἐστι πάντας ἱστορεῖν τοὺς θέλοντας, ἄρα λογιζέσθω πᾶς, ὅτι οὐκ εἰς τὸν οὐρανόν, ἀλλ᾽ ὄντως ἐν τῇ κτίσει πεφύτευται. ἔστι δὲ τόπος ἀνατολῆς καὶ χωρίον ἐκλογῆς.

V. Γεν. 3,7.

Ἱππολύτου ἐπισκόπου Ῥώμης καὶ μάρτυρος.

«Φύλλα συκῆς ἐποίει ἑαυτῷ περιζώματα[1]», σύμβολα τῶν ἰδίων ἁμαρτημάτων. φύλλον γὰρ συκῆς, ἡνίκα ἂν τοῦ σώματος ἅψηται, κνησμονὴν παρέχει. αὐτὸς οὖν ἑαυτῷ προφήτης τῶν μελλόντων ἔλεγχον τῆς παραβάσεως τὴν κνησμονὴν δείκνυσιν.

VI. Γεν. 3,21.

Ἱππολύτου ἐπισκόπου.

Νεκρὰν γὰρ σκέπην ἐποίει τῷ νεκρωθέντι διὰ τὴν ἁμαρτίαν. τῷ γὰρ νεκρὰ ἁμαρτήματα ἔχοντι περὶ τὸ σῶμα φθορὰν ἐσήμαινε τὸ δέρμα.

Hieronymus

VII. Γεν. 27, 1-28,5.

Quoniam autem polliciti sumus, et de eo, quid significaret in figura, adjungere, Hippolyti martyris verba ponamus, a quo et Victorinus noster non plurimum discrepat; non

1. Γεν. 3, 7.

quod omnia plenius executus sit, sed quod possit occasionem praebere lectori ad intelligentiam latiorem.

Isaac portat imaginem Dei patris, Rebecca spiritus sancti, Esau populi prioris et diaboli, Jacob ecclesiae sive Christi. Senuisse Isaac, consummationem orbis ostendit; oculis caligasse, fidem perisse de mundo et religionis lumen ante eum neglectum esse significat. Quod filius major vocatur, acceptio legis est Judaeorum.

Quod escas ejus atque capturam diligit pater, homines sunt ab errore salvati, quos per doctrinam justus quisque venatur. Sermo Dei benedictionis est repromissio et spes regni futuri, in quo cum Christo sancti sunt regnaturi et verum sabbatum celebraturi. Rebecca plena spiritu sancto, sciens quid audisset antequam pareret, «quia major serviet minori», magis autem forma spiritus sancti, quae futura noverat in Christo, in Jacob ante meditatur, loquitur ad filium minorem: «Vade ad gregem, et accipe mihi inde duos haedos», praefigurans carneum salvatoris adventum, in quo eos vel maxime liberaret, qui peccatis tenebantur obnoxii: si quidem in omnibus scripturis haedi pro peccatoribus accipiuntur. Quod autem duos jubetur afferre, duorum populorum singnificatur assumptio: quod teneros et bonos, dociles et innocentes animae. Stola vel vestimentum Esau fides et scripturae sunt Hebraeorum, quibus gentilium indutus est populus. Pelles, quae ejus brachiis circumdatae sunt, peccata utriusque sunt plebis, quae Christus in extensione manuum cruci secum pariter affixit. Quod Isaac quaerit ab Jacob, cur tam cito venerit, admiratur celerem credentium fidem. Quod cibi delectabiles offeruntur, hostia placens Deo, salus est peccatorum. Post esum sequitur benedictio, et ejus odore perfruitur, virtutem resurrectionis et regni aperta voce pronuntians, quomodo etiam adorent eum fratres sui et serviant ei credentes ex Israel. Quia igitur iniquitas est inimica justitiae, Esau in discordiam concitatur et necem fraudulentus excogitat, dicens in corde suo: «Appropinquent dies passionis patris mei, et occidam Jacob fra-trem meum». Diabolus fratricidas Judaeos in Cain ante praemeditans, in Esau manifestissime confitetur, tempus quoque interfectionis ostendens. «Appropinquent», inquit, «dies passionis patris, ut interficiam fratrem meum.» Quapropter Rebecca, id est patientia, nuntiavit viro fratris insidias, qui vocato Jacob praecepit ei, ut in Mesopotamiam pergeret, et inde acciperet uxorem de genere Laban Syri, fratris matris suae. Quomodo itaque fratris dolos fugiens, Mesopotamiam tendit

Jacob, ita et Christus Judaeorum incredulitate compulsus proficiscitur in Galilaeam, inde sibi ex gentibus sponsam sumpturus ecclesiam.

Haec supradictus vir.

Hieronymus Epistola 36 ad Damasum (Vallarsi Bd. 1. editio altera. Venetiis 1766. Col. 169-171).

VIII. Γεν. 49,3.4.

Ἱππολύτου ἐπισκόπου Ῥώμης.

Ὁ πρῶτος λαός, ὁ ἐκ περιτομῆς· «ἰσχύς μου καὶ ἀρχὴ τέκνων μου[1]», καθὼς ὑπέσχετο ὁ θεὸς «τῷ Ἀβραὰμ τὴν ἐπαγγελίαν καὶ τῷ σπέρματι αὐτοῦ.[2]» «σκληρὸς δὲ φέρεσθαι[3]», ἐπειδὴ παρεσκληρύνθη ὁ λαὸς πρὸς τὴν ὑπακοὴν τοῦ θεοῦ. «καὶ σκληρὸς αὐθάδης[4]», ὅτι οὐ μόνον σκληρὸς πρὸς τὴν ὑπακοὴν τοῦ θεοῦ, ἀλλ' ὅτι καὶ «αὐθάδης» ἐγένετο πρὸς τὸ χεῖρας ἐπιβαλεῖν τῷ κυρίῳ. «ἐξύβρισας[5]», ἐπειδὴ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐξύβρισεν ὁ λαὸς τὸν πατέρα. «μὴ ἐκζέσῃς[6]» δὲ λέγει τὸ πνεῦμα παρακλητικῶς, ἵνα μὴ τέλεον ἐκζέσας ὑπερχυθῇ, ἐλπίδα δὲ δοὺς αὐτῷ σωτηρίας· τὸ γὰρ ἐκζέσαν καὶ ἐκχυθὲν ἀπώλετο. «ἀνέβης γὰρ ἐπὶ τῆς κοίτης τοῦ πατρός σου[7]» πρῶτον μὲν τὸ συμβὰν λέγει, ὅτι ἐπ' ἐσχάτων τῶν ἡμερῶν μέλλει ὁ λαὸς ἐπιβουλεύειν τῇ κοίτῃ τοῦ πατρός, τουτέστι τῇ νύμφῃ ἐκκλησίᾳ[8], πρὸς τὸ βούλεσθαι αὐτὴν διαφθεῖραι· ὅπερ καὶ πράττει μέχρι καὶ σήμερον ἐπιβουλεύων αὐτῇ διὰ τῶν βλασφημιῶν.

IX. Γεν. 49,5.

Ἱππολύτου ἐπισκόπου Ῥώμης.

Ἐπειδήπερ ἐκ τοῦ Συμεὼν γραμματεῖς, ἐκ δὲ τοῦ Λευὶ ἱερεῖς. γραμματεῖς γὰρ καὶ ἱερεῖς «συνετέλεσαν ἀδικίαν ἐξ αἱρέσεως αὐτῶν.[9]» μίαν γνώμην ἔχοντες ἀνεῖλον τὸν κύριον.

X. Γεν. 49,6 [a].

Ἱππολύτου.

Προανεφώνησε τὸ πνεῦμα τὴν ἀθέμιτον «βουλὴν[10]» αὐτῶν προαγορεῦον.

XI. Γεν. 49,6 [b].

Ἱππολύτου Ῥώμης.

Τοῦτο λέγει ἐπὶ τῇ συνελεύσει ᾗ μέλλουσι συνέρχεσθαι ἐπὶ τὸν κύριον. ὅτι δὲ ταύτην συνέλευσιν λέγει, δῆλόν ἐστιν ἡμῖν. ψάλλει

1. Γεν. 49, 3. 2. Γαλ. 3, 16. Γεν. 13, 15 ἑξ. 3. Γεν. 49, 3. 4. Γεν. 49, 3. 5. Γεν. 49, 4. 6. Γεν. 49, 4. 7. Γεν. 49, 4. 8. Ἀποκ. 21, 2. 9. Γεν. 49, 5. 10. Γεν. 49, 6.

γὰρ ὁ μακάριος Δαβὶδ «ἄρχοντες συνήχθησαν κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.[1]» ἐπὶ ταύτην δὲ τὴν συνέλευσιν προηγόρευσε τὸ πνεῦμα λέγον «μὴ ἐρεῖσαι τὰ ἥπατά μου[2]», ῥύσασθαι βουλόμενον αὐτούς, ὡς εἰ δυνατὸν μὴ γενέσθαι δι' αὐτῶν τὸ μέλλον κακόν.

XII. Γεν. 49,6 [c].

Ἱππολύτου.

Τουτέστιν ὅτι ἐν τῇ ὀργῇ αὐτῶν «ἀπέκτειναν» τοὺς προφήτας.[3]

XIII. Γεν. 49,6 [d].

Τοῦ αὐτοῦ (Ἱππολύτου).

Φανερὸν ἡμῖν γίνεται, ὅτι ἐπειδὴ ἀπὸ τῶν πονηρῶν ἐπιθυμιῶν ἐπέστρεφεν αὐτοὺς ὁ σωτήρ, ἀνεῖλον αὐτόν. οὗτος γὰρ ἦν ὁ «ταῦρος[4]» ὁ ἰσχυρός, αὕτη οὖν ἡ «ἐπιθυμία» ἡ πονηρά· «ἐνευροκόπησαν[5]» δέ, ἐπειδήπερ ἐν τῷ ξύλῳ πεπηγότος αὐτοῦ διέτρησαν τὰ νεῦρα.

XII. XIII. Γεν. 49,6 [c. d.] *

«Ἀπέκτειναν» μὲν τοὺς «ἀνθρώπους, ἐνευροκόπησαν δὲ ταῦρον», ὅτι, «ταῦρον», ἰσχυρὸν τὸν Χριστὸν λέγει. «ἐνευροκόπησαν» δέ, ἐπειδὴ ἐν τῷ ξύλῳ πεπηγότος αὐτοῦ διέτρησαν τὰ νεῦρα.

XIV. Γεν. 49,7 [a].

Ἱππολύτου.

Τὸ πνεῦμα καταρᾶται οὐ παντὶ τῷ λαῷ, ἀλλὰ τοῖς ἐπισυστᾶσιν ἐπ' αὐτόν.

XV. Γεν. 49,7 [b].

Τοῦ αὐτοῦ Ἱππολύτου.

Τοῦτο δῆλον, ὅτι καὶ ἕως τῆς σήμερον ἡμέρας «ἡ μῆνις αὐτῶν σκληρύνεται.[6]»

XVI. Γεν. 49,7 [d].

Ἱππολύτου ἐπισκόπου Ῥώμης.

Σαφῶς ἐπιστάμεθα, ὅτι «Ἰσραὴλ» ἐστιν ἄνθρωπος ὁρῶν τὸν θεόν. τοῦτο οὖν λέγει, ὅτι ἄλλοι «τὸν θεὸν ὄψονται[7]», καὶ οὐχ αὐτοί. τὸ δὲ «διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ[8]», ὅτι διασπαρήσονται εἰς πάντα τὰ ἔθνη τὰ ὁρῶντα τὸν θεόν.

1. Ψαλμ. 2, 2. 2. Γεν. 49, 6. 3. Πρβλ. Ματθ. 23, 7. 4. Γεν. 49, 6. 5. Γεν. 49, 6. 6. Γεν. 49, 7. 7. Ματθ. 5, 8. 8. Γεν. 49, 7.

* Μερικὰ τεμάχια εὑρίσκονται εἰς τὰ χειρόγραφα ὑπὸ διπλῆν μορφήν, τὴν ἀρχικὴν καὶ τὴν δευτερεύουσαν. Τὸ κείμενον τῆς δευτερευούσης μορφῆς ἐκτυποῦται διὰ μικροτέρων τυπογραφικῶν στοιχείων.

XVII. Γεν. 49,8 b.

Ἱππολύτου ἐπισκόπου Ῥώμης.

«Ἐχθρούς» λέγει, καθὼς φησιν ὁ πατὴρ αὐτοῦ «κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.[1]» «ἐχθροὶ» γάρ εἰσιν οἱ διώξαντες αὐτὸν καὶ ἕως τῆς σήμερον διώκοντες. τὸ δὲ «αἱ χεῖρές σου» τουτέστιν ἡ ἰσχύς σου. τὸ δὲ «ἐπὶ νώτου τῶν ἐχθρῶν σου[2]», ὅτι κἂν ἀποφύγωσιν αὐτόν, ἐπ' ἐσχάτων τῶν καιρῶν ἐξομολογήσεται αὐτῷ ὁ λαός. οὗτοι γάρ εἰσιν οἱ υἱοὶ τοῦ πατρὸς αὐτοῦ, καθὼς λέγει διὰ Ἡσαΐου τοῦ προφήτου «υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν.[3]»

XVIII. Γεν. 49,9 b.

Τοῦ αὐτοῦ (Ἱππολύτου).

Ἐμφαίνων τὸ κατὰ σάρκα τοῦ κυρίου ἡμῶν, ὅτι ἐξ ἁγίου πνεύματος καὶ ἐκ Μαρίας ἐγεννήθη. λέγει γὰρ καὶ ἐν ἄλλῃ γραφῇ· «καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται.[4]»

XIX. Γεν. 49,9 c.

Ἱππολύτου.

Τοῦτό φησι δηλῶν πατέρα καὶ κύριον.

XX. Γεν. 49,9 c. d.

Ἱππολύτου Ῥώμης.

Τουτέστιν ὁ πατὴρ ἐν τῷ υἱῷ καὶ ὁ υἱὸς ἐν τῷ πατρί. «τίς ἐγερεῖ αὐτόν;[5]» τίς ἄλλος ἢ αὐτὸς ἑαυτόν;

XXI. Γεν. 49,10.

Ἱππολύτου.

Δῆλον ὅτι «οὐκ ἐκλείψει[6]» τὸ σπέρμα τὸ ἅγιον πρὸ τοῦ γεννηθῆναι τὸν κύριον ἡμῶν, τουτέστιν μέχρι τῆς ἐλεύσεως τοῦ κυρίου. δεῖ τοὺς ἡγουμένους τοῦ λαοῦ ἁγίους παραμεῖναι ἕως γεννηθῇ <ὁ> κύριος· μετὰ ταῦτα γὰρ οὐδεὶς ἔσται «ἡγούμενος» τοῦ λαοῦ.

XXII. Γεν. 49,11 a.

Ἱππολύτου.

Καθὼς λέγει αὐτὸς ὁ κύριος ἡμῶν «ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή.[7]» «πῶλον[8]» δὲ τὴν ἐξ ἐθνῶν κλῆσιν λέγει· ἀδάμαστος γὰρ καὶ ἀχαλιναγώγητός ἐστιν ὁ πῶλος. τοῦτο δὲ ἡ μὲν ἡμῶν <κλῆσις> πρὸ

1. Ψαλμ. 109, 1. 2. Γεν. 49, 8. 3. Ἡσ. 1, 2. 4. Ἡσ. 11, 1. 5. Γεν. 48, 9. 6. Γεν. 49, 10. 7. Ἰω. 15, 1. 8. Γεν. 49, 11.

τῆς ἐλεύσεως τοῦ κυρίου ἡμῶν, τὸ δὲ «δεσμεύων» δηλοῖ τὸ προσηρτῆσθαι τῷ κυρίῳ ἡμῶν.

XXIII. Γεν. 59,11 b.

Ἱππολύτου Ῥώμης.

Λέγει καὶ ἄλλον «πῶλον», τὴν ἐκ περιτομῆς κλῆσιν, «ὄνον[1]» δὲ μίαν, δηλῶν ἡμῖν, ὅτι ἐκ μιᾶς «ὄνου», τουτέστιν ἐκ μιᾶς πίστεως οἱ δύο «πῶλοι», ὅπερ ἐστὶν αἱ δύο κλήσεις· καὶ τὸν μὲν «πῶλον» προσδεδέσθαι ἐν τῇ «ἀμπέλῳ», τὸν δὲ ἕτερον ἐν «τῇ ἕλικι[2]», ὅπερ ὑπολαμβάνομεν, τὴν μὲν ἐξ ἐθνῶν κλῆσιν προσδεδέσθαι τῷ κυρίῳ, τὴν δὲ ἐκ περιτομῆς τῇ τοῦ νόμου παλαιότητι.

XXIV. Γεν. 49,11 c. d.

Ἱππολύτου.

Τουτέστι διὰ τοῦ ἁγίου πνεύματος καὶ τοῦ λόγου τῆς ἀληθείας καθαριεῖ τὴν σάρκα, ὅπερ ἐμφαίνει «τὴν στολήν». «καὶ ἐν αἵματι σταφυλῆς[3]» θλιβείσης καὶ ἀνιείσης αἷμα, ὅπερ ἐστὶν ἡ σὰρξ τοῦ κυρίου, ἥτις πᾶσαν τὴν ἐξ ἐθνῶν κλῆσιν καθαρίζει.

XXV. Γεν. 49,12 a.

Ἱππολύτου Ῥώμης.

Τουτέστι φαιδροὶ «οἱ ὀφθαλμοὶ αὐτοῦ[4]», καὶ ἀπὸ τοῦ λόγου τῆς ἀληθείας. ἐπιβλέπουσι γὰρ ἐπὶ πάντας τοὺς πιστεύσαντας εἰς αὐτόν.

XXVI. Γεν. 49,12 b.

Ἱππολύτου Ῥώμης.

Καὶ τὸ «λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα[5]» λαμβάνομεν, ὅτι τὰ ῥήματα αὐτοῦ φωτεινὰ γίνονται τοῖς πιστεύουσι δι' αὐτοῦ.

XXVII. Γεν. 49,13 b. c.

Ἱππολύτου ἐπισκόπου Ῥώμης.

Δηλοῖ καὶ τοῦτο τὴν ἐξ ἐθνῶν κλῆσιν, ὅτι εἰς πᾶσαν τὴν γῆν καὶ τὴν θάλασσαν ἐξελεύσεται ἡ χάρις τοῦ Χριστοῦ· λέγει γὰρ «καὶ παρ' ὅρμον πλοίων καὶ παρατενεῖ ἕως Σιδῶνος.[6]» ὅτι δὲ εἰς τὴν ἐξ ἐθνῶν κλῆσιν τοῦτο προκηρύσσει, δηλοῦται ἐν τῷ εὐαγγελίῳ ἡμῖν «γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα[7]» καὶ τὰ ἑξῆς.

1. Γεν. 49, 11. 2. Γεν. 49, 11. 3. Γεν. 49, 11. 4. Γεν. 49, 12. 5. Γεν. 49, 12. 6. Γεν. 49, 13. 7. Ματθ. 4, 15-16.

XXVIII. Γεν. 49,14 ^{a}.

Ἱππολύτου ἐπισκόπου Ῥώμης.

Τοῦτο λαμβάνομεν εἰς τύπον τῶν ἀποστόλων, ὅτι καταλιπόντες τὴν ἐκ νόμου πολιτείαν καὶ «ἐπιθυμήσαντες τὸ καλὸν [1]» ἠκολούθησαν τῇ τοῦ κυρίου διδασκαλίᾳ.

XXIX. Γεν. 49,14 ^{b}.

Ἱππολύτου ἐπισκόπου Ῥώμης.

Ἐπειδὴ οἱ τὰς ἐντολὰς φυλάσσοντες, οὐκ ἀποταξάμενοι τοῖς νομικοῖς διατάγμασιν, «ἐπαναπαύονται» καὶ ἐπ' αὐτοῖς καὶ ἐπὶ τῇ τοῦ κυρίου ἡμῶν διδασκαλίᾳ, ὅπερ ἐστὶν «ἀνὰ μέσον τῶν κλήρων·[2]» καθὼς ὁ κύριος λέγει «οὐκ ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας ἀλλὰ πληρῶσαι.[3]» καὶ γὰρ ὁ κύριος ἡμῶν ἐν τῷ τὰς ἐντολὰς φυλάσσειν οὐ καταλύει τὸν νόμον καὶ τοὺς προφήτας, ἀλλὰ πληροῖ, καθὼς ἐν εὐαγγελίοις φησίν.

XXX. Γεν. 49,14 ^{b}.

Ἱππολύτου.

Τῶν ἀφορισθέντων αὐτῷ ἐν μέρει κληρονομίας καὶ κτήσεως τόπων γῆς.

XXXI. Γεν. 49,15 ^{a}.

Ἱππολύτου.

Τουτέστι τὴν διδασκαλίαν τοῦ κυρίου. «ἀνάπαυσις» γὰρ αὕτη «καλή [4]», καθὼς καὶ αὐτὸς λέγει «δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι» καὶ τὰ ἑξῆς.[5]

XXXII. Γεν. 49,15 ^{b}.

Τοῦ αὐτοῦ (Ἱππολύτου).

Ὅπερ ἐστὶν ἡ σὰρξ τοῦ κυρίου ἡμῶν ἡ «πίων [6]», τουτέστιν ἡ λιπαρά. αὕτη γὰρ «ἡ ῥέουσα γάλα καὶ μέλι.[7]»

XXXIII. Γεν. 49,15 $^{c.\ d.}$

Ἱππολύτου.

Ὅπερ ἐποίησαν οἱ ἀπόστολοι. λαβόντες γὰρ τὴν δύναμιν παρὰ θεοῦ καὶ «ὑποθέντες ἑαυτοὺς εἰς τὸ πονεῖν, ἐγενήθησαν γεωργοὶ [8]» τοῦ κυρίου, ἐργασάμενοι τὴν γῆν, τουτέστι τὴν ἀνθρωπότητα διὰ τοῦ κηρύγματος τοῦ κυρίου ἡμῶν.

---

1. Γεν. 49, 14. 2. Γεν. 49, 14. 3. Ματθ. 5, 17. 4. Γεν. 49, 15. 5. Ματθ. 11, 28. 6. Γεν. 49, 15. 7. Ἐξ. 3, 8. 13, 5. 8. Γεν. 49, 15.

XXXIV. Γεν. 49,16.

Ἱππολύτου.

Λαμβάνω τοῦτο εἰς τύπον τοῦ πονηροῦ, ὅτι γὰρ «κρινεῖ·[1]» τοὺς ἐξαπατωμένους ὑπ' αὐτοῦ καὶ ἐν τῷ κατηγορῆσαι αὐτὸν πρὸς τὸν κύριον· κριτὴς γὰρ πάντων ὁ κύριος καθὼς καὶ ἐν ταῖς ἀποκαλύψεσι γέγραπται, ὅτι «ἐβλήθη εἰς τὴν γῆν ὁ διάβολος ὁ κατηγορῶν τοὺς ἀνθρώπους ἐνώπιον τοῦ θεοῦ.[2]»

XXXV. Γεν. 49,17 $^{a-c}$

Τοῦ αὐτοῦ (Ἱππολύτου).

Καὶ τὸ «γενηθήτω Δὰν ἐφ' ὁδοῦ ὄφις ἐγκαθήμενος ἐπὶ τρίβου [3]» ἐστὶν ὁ διάβολος· δηλοῦται δὲ ἡμῖν ἐκ τῆς Δὰν φυλῆς γενόμενος Ἰούδας ὁ προδότης τοῦ κυρίου ἡμῶν· ἐν τούτῳ γὰρ ἐγκρυβεὶς ὁ διάβολος παραδέδωκε τὸν κύριον. τὸ δὲ ὅτι «ἐφ' ὁδοῦ» αὐτὸς ἦν συναναστρεφόμενος ἐν τῇ ὁδῷ τοῦ κυρίου, ἐνεδρεύων τὴν ὁδὸν τῆς δικαιοσύνης. καὶ αὐτὸς ὁ σωτήρ φησιν «ἐγώ εἰμι ἡ ὁδὸς τῆς ζωῆς.[4]» τὸ δὲ «ἐπὶ τρίβου» τὰ ἴχνη καὶ τὰ βαδίσματα ἐνεδρεύων τοῦ ἐπιδείξαντος ἡμῖν τὴν τρίβον τῆς δικαιοσύνης, «δάκνων πτέρναν ἵππου·[5]» ὅ ἐστιν ὁ διάβολος τῆς ἐν σαρκὶ ἐλεύσεως τοῦ κυρίου· ἔφη γὰρ ὁ κύριος περὶ Ἰούδα τοῦ προδότου, ὅτι «ὁ τρώγων μετ' ἐμοῦ ἄρτον ἐπῆρκεν ἐπ' ἐμὲ πτέρναν.[6]»

XXXIV. XXXV. Γεν. 49,16.17.

Ὁ μὲν Ἱππόλυτος εἰς τύπον τοῦ πονηροῦ ἀνάγει τὸν Δάν. «κρινεῖ» γάρ, φησίν, τοὺς ἀπατωμένους ὑπ' αὐτοῦ. γέγονε δὲ καὶ Ἰούδας ὁ Ἰσκαριώτης ἐκ τῆς Δὰν φυλῆς. ἐν τούτῳ γὰρ ἐγκρυβεὶς ὁ ἀρχαῖος ὄφις παρέδωκε τὸν κύριον, ἐφ' ὁδοῦ μὲν τῷ κυρίῳ συναναστρεφόμενος, ἐνεδρεύων δὲ τὴν ὁδὸν τῆς δικαιοσύνης. τὸ δὲ «ἐπὶ τρίβου» τὰ ἴχνη ἐνεδρεύων τοῦ ὑποδείξαντος ἡμῖν τὴν τρίβον τῆς ζωῆς. «δάκνων» δὲ «πτέρναν ἵππου», τῆς ἐν σαρκὶ ἐλεύσεως τοῦ κυρίου.

XXXVI. Γεν. 49,17 $^{c.\ d.}$

Ἱππολύτου.

Δηλοῦται ἡμῖν εἶναι «ἱππεύς» ὁ κύριος· «πτέρνα» δέ, ὅτι πρὸς ἐσχάτων τῶν καιρῶν. τὸ δὲ ὅτι «πεσεῖται [7]», τὸν θάνατον αὐτοῦ δηλοῖ, καθὼς γέγραπται ἐν τῷ εὐαγγελίῳ «ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν.[8]»

---

1. Γεν. 49, 16. 2. Ἀποκ. 12, 10. 3. Γεν. 49, 17. 4. Ἰω. 14. 6. 5. Γεν. 19, 17. 6. Ἰω. 13, 18. Ψαλμ. 40 10. 7. Γεν. 49, 17. 8. Λουκ. 2, 34.

XXXVII. Γεν. 49,19 [a].

Ἱππολύτου.

Λαμβάνομεν τὸν «πειρατὴν [1]» τὸν ἐπίβουλον. οὐδεὶς δὲ ἄλλος ἐπίβουλος ἐγένετο τοῦ κυρίου ἢ ὁ λαός.

XXXVIII. Γεν. 49,19 [b].

Τοῦ αὐτοῦ (Ἱππολύτου).

Τουτέστιν ἐπιβουλεύσει «αὐτὸν κατὰ πόδας [2]», δι' ὧν δηλοῦται ἡμῖν ἡ ἀντίληψις ἡ παρὰ τοῦ κυρίου τοῖς ἐπιβουλεύσασιν αὐτῷ. τὸ δὲ «κατὰ πόδας [3]», ὅτι «ἐν τάχει ποιήσει τὴν ἐκδίκησιν [4]» ὁ κύριος.

XXXIX. Γεν. 49,20.

Ἱππολύτου.

Τοῦτον λαμβάνομεν εἰς τύπον τῆς κλήσεως τῆς ἡμετέρας. τὸ γὰρ «πῖον [5]» λιπαρόν ἐστιν. λιπαρὸς δὲ τίνος «ὁ ἄρτος» ἢ ἡμῶν; ὁ γὰρ κύριός ἐστιν ἡμῶν ὁ ἄρτος, καθὼς λέγει αὐτὸς «ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς.[6]» τίς δὲ ἄλλος «δώσει τροφὴν ἄρχουσιν [7]» ἢ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός; οὐ μόνον τοῖς ἐξ ἐθνῶν πιστεύουσιν, ἀλλὰ καὶ τοῖς ἐκ περιτομῆς ἐξάρχουσι τῆς πίστεως, τουτέστι πατράσι καὶ πατριάρχαις καὶ προφήταις καὶ πᾶσι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ καὶ εἰς τὸ πάθος.

XL. Γεν. 49,21 [a].

Ἱππολύτου Ῥώμης.

Καὶ αὐτὸς εἰς τύπον τῶν ἡμετέρων παραλαμβάνεται, καθὼς δηλοῖ ἡμῖν καὶ ἐπὶ τούτου τὸ εὐαγγέλιον· «γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου. ὁ λαὸς ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα, καὶ τοῖς καθημένοις ἐν σκότει φῶς ἀνέτειλεν αὐτοῖς.[8]»

XLI. Γεν. 49,21.

Τοῦ αὐτοῦ (Ἱππολύτου).

Ποῖον δὲ ἄλλο «φῶς [9]» ἦν ἢ ἡ κλῆσις ἡ ἐξ ἐθνῶν; ἥτις ἐστὶ τὸ «στέλεχος [10]», τουτέστιν ἐπὶ τὸ ξύλον τοῦ κυρίου ἐγκεντρισθεῖσα καρποφορεῖ.[11] τὸ δὲ «ἐπιδιδοὺς ἐν τῷ γεννήματι κάλλος [12]» τὸ ὑπερβάλλον τῆς κλήσεως δηλοῖ ἡμῖν.

---

1. Γεν. 49, 19. 2. Γεν. 49, 19. 3. Γεν. 49, 19. 4. Λουκ. 18, 8. 5. Γεν. 49, 20. 6. Ἰω. 6, 35. 7. Γεν. 49, 20. 8. Ματθ. 4, 15-16. 9. Ἠσ. 9, 2. Ματθ. 4, 16. 10. Γεν. 49, 21. 11. Πρβλ. Ῥωμ. 11, 17 12. Γεν. 49, 21.

XLII. Γεν. 49,22 [a].

Ἱππολύτου ἐπισκόπου Ῥώμης.

Ποῖον ἄλλον «υἱὸν [1]» ἐν τύπῳ λαμβάνομεν ἢ τὸν κύριον, «ηὐξημένον [2]» καὶ αὔξοντα τὴν κλῆσιν τὴν ἡμετέραν· τὸ γὰρ ἐπιφερόμενον ἡμῖν σαφέστερον δείκνυσιν.

XLIII. Γεν. 49,22 [b].

Ἱππολύτου.

Τίς δὲ ἄλλος «ζηλωτὸς [3]» ἕως τῆς σήμερον ἡμέρας, εἰ μὴ ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός;

XLIV. Γεν. 49,22 [c] - 24 [a].

Ἱππολύτου.

Τίς ἄλλος οὗτος, καθὼς δείκνυται ἡμῖν διὰ τοῦ ἀποστόλου, ὅτι «ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ.[4]» καὶ ἐν τῷ εὐαγγελίῳ δὲ τὸν ποιήσαντα τὸ θέλημα τοῦ πατρὸς εἶπεν «ὁ ἔσχατος.[5]» τὸ δὲ «πρός με ἀνάστρεψον [6]» δηλοῦται ἡμῖν ἡ μετὰ τὸ πάθος ἀνάληψις εἰς τὸν οὐρανὸν πρὸς τὸν πατέρα. τὸ δὲ «εἰς ὃν διαβουλευόμενοι ἐλοιδόρουν· [7]» τίνες εἰ μὴ ὁ λαὸς κατὰ τοῦ κυρίου ἡμῶν; «καὶ ἐνεῖχον αὐτῷ· [8]» τίνες ἐνεῖχον αὐτῷ; οἳ καὶ μέχρι σήμερον ἐνέχουσιν. οὗτοι, «κύριοι τοξευμάτων [9]», οἱ καταπολεμεῖν τὸν κύριον δοκοῦντες. εἰ γὰρ καὶ ἐνίσχυσαν τοῦ ἀναιρεθῆναι αὐτόν, ἀλλὰ «καὶ συνετρίβη μετὰ κράτους τὰ τόξα αὐτῶν.[10]» φανερῶς δὲ ἡμῖν δηλοῦται, ὅτι μετὰ τὴν ἀνάστασιν συντέτριπται τὰ τόξα αὐτῶν μετὰ κράτους.

XLV. Γεν. 49,24 [b].

Ἱππολύτου.

Ἡ γὰρ δοκοῦσα ἰσχὺς αὐτῶν ἐκλέλυται διὰ τῆς δυνάμεως τοῦ πατρὸς καὶ τοῦ υἱοῦ.

XLVI. Γεν.49,24 [c].-25 [a].

Ἱππολύτου Ῥώμης.

Σαφῶς ἡμῖν δείκνυται, ὅτι ἡ «βοήθεια [11]» καὶ ἡ ἀντίληψις τοῦ παιδὸς οὐ παρ' ἄλλου τινὸς ἢ παρὰ τοῦ πατρὸς καὶ θεοῦ ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. τὸ δὲ «θεός μου [12]» δηλοῦται ὅτι τὸ πνεῦμα λέγει διὰ τοῦ Ἰακώβ.

XLVII. Γεν. 49,25 [b. c.] - 26 [a].

Ἱππολύτου.

Τοῦτο ἡμῖν δηλοῦται, ὅτι ἡ μὲν «εὐλογία ἀπὸ τοῦ οὐρανοῦ [13]» ἐστι

---

1. Γεν. 49, 22. 2. Γεν. 49, 22. 3. Γεν. 49, 22. 4. Α' Κορ. 15, 47. 5. Ματθ. 21, 31. 6. Γεν. 49, 22. 7. Γεν. 49, 23. 8. Γεν. 49, 23. 9. Γεν. 49, 23. 10. Γεν. 49, 24. 11. Γεν. 49, 25. 12. Γεν. 49, 25. 13. Γεν. 49, 25.

τὸ πνεῦμα τὸ κατελθὸν διὰ τοῦ λόγου ἐπὶ τὴν σάρκα, «μαστῶν δὲ καὶ μήτρας [1]» τῆς παρθένου εὐλογίας λέγει. τὸ δὲ «πατρὸς καὶ μητρός σου [2]» τοῦτο λέγει· εὐλογίαν πατρός, ἣν ἐλάβομεν ἐπὶ τὴν ἐκκλησίαν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

XLVIII. Γεν. 49,26 b.

Τοῦ αὐτοῦ (Ἱππολύτου).

Τὸ ὕψος καὶ μέγεθος τῆς εὐλογίας προκηρύσσει τὸ «ὑπὲρ εὐλογίας ὀρέων μονίμων. [3]» τὸ δὲ «θινῶν αἰωνίων [4]» τὸ βέβαιον καὶ ἰσχυρὸν τῆς σωτηρίας καὶ τὸ εἰς τοὺς αἰῶνας διαμεῖναι.

XLIX. Γεν. 49,26 b.

Τοῦ αὐτοῦ (Ἱππολύτου).

Περιφάνειαν αὐτῷ ἐπεύχεται, ὥστε γενέσθαι αὐτὸν παρὰ πᾶσιν ἐπίσημον, διὰ τοῦ «βουνῶν καὶ ὀρέων [5]», ἅτινά εἰσι περίοπτα πᾶσιν.

L. Γεν. 49,26 c.

Ἱππολύτου.

Δηλοῖ ἡμῖν καὶ ὧδε περὶ τοῦ κυρίου. λέγων γὰρ ἄλλως «κεφαλὴ Ἰωσὴφ καὶ πάντων ἡμῶν ἦν Ἰησοῦς Χριστός [6]», τοῦτο ἡμῖν δηλοῖ, ὅτι πάντων ἡμῶν ἐστι κεφαλὴ ὁ κύριος ἡμῶν.

L. Γεν. 49,26 c.

Ἱππολύτου.

Περὶ τοῦ κυρίου καὶ ταῦτά φησιν, ὅς ἐστι κεφαλὴ πάντων ἡμῶν.

LI. Γεν. 49,27.

Ἱππολύτου.

Δηλοῦται ἡμῖν καὶ τοῦτο διὰ τῆς χάριτος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι ἡ Βενιαμὶν φυλὴ ἐν ταῖς ἀρχαῖς, ὅπερ ἐστὶ τὸ «πρώϊνον [7]», διώκει. ὁ γὰρ Σαοὺλ ὢν ἐκ τῆς Βενιαμὶν φυλῆς τὸν εἰς τύπον τοῦ κυρίου κείμενον Δαβὶδ ἐδίωκεν.

LII. Γεν. 49,27.

Ἱππολύτου ἐπισκόπου Ῥώμης.

Δηλοῦται ἡμῖν διὰ τοῦ ἀποστόλου Παύλου· καὶ γὰρ αὐτὸς <ἐκ> τῆς Βενιαμὶν φυλῆς ὢν [8] ἐν ἀρχῇ ἐδίωκε τὴν ἐκκλησίαν [9], καὶ μετὰ ταῦτα, ὅπερ ἐστὶ «πρὸς ἑσπέραν [10]», τουτέστιν ἐπ' ἐσχάτων, δίδωσιν ἡμῖν πᾶσι τοῖς πιστεύουσιν ἐπὶ τὸν κύριον διὰ τῆς χάριτος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν πνευματικὴν τροφήν.

---

1. Γεν. 49, 25. 2. Γεν. 49, 26. 3. Γεν. 49, 26. 4. Γεν. 49, 26. 5. Γεν. 49, 26. 6. Γραφικόν; 7. Γεν. 49, 27. 8. Ῥωμ. 11, 1. Ἐφ. 3, 5. 9. Πρβλ. Πράξ. 9, 1 ἑξ. 10. Γεν 49, 27

ΝΟΘΑ ΑΠΟΣΠΑΣΜΑΤΑ

LIII. Γεν. 1,5.

Ἀκακίου.

Οὐκ εἶπε νυχθήμερον, ἀλλ' «ἡμέρα μία [1]», εἰς τὴν τοῦ φωτὸς προσηγορίαν, καταλήξας τοῦ ὑφεστῶτος καὶ οὐσιουμένου.

LIV. Γεν. 1,1.

Σεβηριανοῦ ἐπισκόπου Γαβάλων.

Τῇ μὲν πρώτῃ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς ἐκ μὴ ὄντων· ἀπὸ δὲ τῆς δευτέρας ἡμέρας οὐδὲν ἐποίησεν ὁ θεὸς ἐκ μὴ ὄντων, ἀλλ' ὧν ἐποίησε τῇ πρώτῃ ἡμέρᾳ μετέβαλεν ὡς ἠθέλησε. (Σεβηριανοῦ ἐπισκόπου Γαβάλων, Εἰς τὴν κοσμοποιΐαν, λόγος πρῶτος, Migne LVI, σ. 433).

LV. Γεν. 3,8.

Θεοδώρου.

Εὐθὺς τοίνυν ἡμαρτηκόσιν ὁ θεὸς ἐπεφάνη, αἴσθησίν τε τοῦ ἁμαρτήματος ἐμποιῶν καὶ πρὸς μεταμέλειαν ἐκκαλούμενος.

LVI. Γεν. 3,8.

Μᾶλλον δὲ δι' αὔρας τινὸς ἐνενόουν τὴν τοῦ κυρίου ἐπιφοίτησιν.[2]

LVII. Γεν. 49,3.

Κυρίλλου.

Ἐπὶ γὰρ τῷ πρωτοτόκῳ καὶ ἐξ Αἰγύπτου λαῷ πολλῆς ἰσχύος ἐπίδειξις γέγονε παρὰ θεοῦ. Ἐκολάζετο γὰρ κατὰ πλείστους ὅσους καὶ οὐκ ἀθαυμάστους τρόπους τῶν Αἰγυπτίων ἡ χώρα. (Κυρίλλου Ἀλεξανδρείας, Γλαφυρὰ εἰς Γένεσιν VII, Migne LXIX σ. 340).

LVIII. Γεν. 49,5-7.

Ἀπολιναρίου.

Κοινῇ ὀνομασθέντων τῶν δύο παρὰ τῷ Ἰακὼβ καὶ πικρᾶς ἐπιτεθείσης ἀμφοτέροις ἀρᾶς διὰ τὴν πόρθησιν τῶν Σικιμιτῶν, τὸν μὲν Λευὶ τῆς κατάρας ὑπεξάγει Μωσῆς διὰ τῆς ἱερατείας καὶ τὴν διασπορὰν αὐτῷ τὴν ἐν ταῖς φυλαῖς εὐλογημένην ποιεῖ· διότι πόλεων

---

1. Γεν. 1. 5. 2. Πρβλ. Γ' Βασ. 19, 12.

ἀπαρχὰς λαβὼν παρὰ τῶν φυλῶν ἐγκατοικίζεται «ξένος καὶ παρεπίδημος[1]» κατὰ τύπον τῶν τελείων Χριστοῦ λατρευτῶν ἀποδειχθεὶς καὶ μεταβολὴν τοῦ κακοῦ λαβὼν εἰς ἀγαθόν. τὸν δὲ Συμεῶνα παρασιωπήσας ἀπολέλοιπε τῷ κυρίῳ τὴν κατ' αὐτὸν ἐπανόρθωσιν, ὃς ἅπαν τὸ ἐλλειφθὲν ἐν τῷ νόμῳ διὰ τῆς χάριτος ἀναπληροῖ.

LVIII. Γεν. 49,5-7.

Ἀπολιναρίου.

Ἀρᾶς ἐπιτεθείσης ἀμφοτέροις διὰ τὴν πόρθησιν τῶν Σικιμιτῶν, τὸν μὲν Λευῒ τῆς κατάρας ὑπεξάγει Μωσῆς διὰ τῆς ἱερατείας· τὸν δὲ Συμεῶνα παρασιωπήσας ἀπολέλοιπε τῷ θεῷ τὴν ὑπὲρ αὐτοῦ ἐπανόρθωσιν, ὃς ἅπαν τὸ ἐλλεῖπον τῷ νόμῳ διὰ τῆς χάριτος ἀναπληροῖ.

LIX. 49,5-7.

Ἄλλος.

Ἀνακαλεῖται Μωϋσῆς τὴν κατὰ τοῦ Λευῒ κατάραν, μᾶλλον δὲ καὶ εἰς εὐλογίαν αὐτὴν μετατρέπει διὰ τὸν ὕστερον ὑπὲρ τοῦ θεοῦ ζῆλον τῆς φυλῆς καὶ τοῦ Φινεές.[2] τὴν μέντοι κατὰ τοῦ Συμεὼν οὐκ ἀνεκαλέσατο, διὸ δὴ καὶ εἰς ἔργον ἐξέβη. ὁ γὰρ Συμεὼν οὐκ εἴληφε μὲν ὡς καὶ αἱ λοιπαὶ φυλαὶ κληρονομίαν. ἐν γὰρ μέσῳ τῷ Ἰούδᾳ κατῳκίσθη[3], ἐσώζετο δέ, εἰ καὶ ὀλίγη τὸν ἀριθμὸν ἦν.

LIX. Γεν. 49,5-7.

Τὴν μὲν φυλὴν τοῦ Λευῒ λυτροῦται Μωσῆς τῆς κατάρας· ὁ δὲ Συμεὼν κλῆρον οὐκ εἴληφεν· ἐν δὲ μέσῳ τῷ Ἰούδᾳ κατῳκίσθη.

LX. Γεν. 49,6 ^{b}.

Ἀντὶ τοῦ· μὴ γένοιτό μοι ἐπιθυμῆσαι τοῖς τοιούτοις· ἐκ τοῦ ἥπατος γὰρ λέγουσι τὸ ἐπιθυμητικὸν κινεῖσθαι. διὸ εἶπεν· «μὴ προσερείσαι τὰ ἥπατά μου τοῖς τοιούτοις.[4]»

LXI. Γεν. 49,6 ^{b}.

Ἀντὶ τοῦ· μὴ γένοιτό μοι πλησιάσαι καὶ ἐπιστηριχθῆναι τῇ ἐπιστάσει καὶ ἐπισυναγωγῇ τῶν προειρημένων.

LXII. Γεν. 49,6-7.

Κυρίλλου Ἀλεξανδρείας

«Ὅτι ἐν τῷ θυμῷ αὐτῶν ἀπέκτειναν ἀνθρώπους, καὶ ἐν τῇ ἐπιθυμίᾳ αὐτῶν ἐνευροκόπησαν ταῦρον.[5]» Ἀπεκτόνασι μὲν γὰρ ἁγίους, ὡς ἔφην, ἀνοσίῳ θυμῷ πρὸς ὠμότητα καὶ ἀπανθρωπίαν στρατηγούμενοι, ἀνήνυτον δὲ καὶ ἀκατάσκεπτον ἐπιθυμίαν παντελῶς εἰς νοῦν ἑλόντες οἱ τάλανες, ἐνευροκόπησαν ταῦρον, τουτέστι Χριστόν. Καὶ τίς ἡ ἐπιθυμία, προλαβόντες εἰρήκαμεν. Ἐπεγνωκότες μὲν γὰρ ὅτι κληρονόμος ἐστίν, ἐπεθύμησαν ἔχειν τὴν κληρονομίαν αὐτοῦ.

1. Ἑβρ. 11, 13. 2. Πρβλ. Ἀριθ. 25, 6 ἑξ. 3. Ἰησ. Ν. 19, 1, 9. 4. Γεν. 49, 6. 5. Γεν. 29. 6.

Καὶ ὅρα τοῦ λόγου τὴν ἐπιτήρησιν. Ἀπεκτόνασι μὲν γὰρ τοὺς ἀνθρώπους, ἐνευροκόπησαν δὲ τὸν ταῦρον. Θανάτῳ μὲν γὰρ περιβεβλήκασι τοὺς ἁγίους, καὶ μεμενήκασι νεκροὶ τὸν τῆς ἀναστάσεως καιρὸν περιμένοντες. Ἀλλ' οἷά τις μόσχος ὑπὸ ἀετοῦ νευροκοπούμενος, ὤκλασε μὲν οἱονεί πως εἰς γῆν ὁ Χριστός, ἑκὼν ὑπομείνας τὸν τῆς σαρκὸς θάνατον· πλὴν οὐ γέγονε τῷ θανάτῳ κάτοχος· ἀλλ' εἰ καὶ γέγονε νεκρὸς ὡς ἄνθρωπος, ἀπομεμένηκε ζῶν τῇ τῆς θεότητος φύσει. Ταῦρος δὲ ὁ Χριστός· εὐσθενὲς γὰρ ὅτι μάλιστα τὸ ζῷον, καθαρόν τε καὶ ἱερώτατον. Κύριος δὲ τῶν δυνάμεων ὁ Υἱός, ὃς οὐ πεποίηκεν ἁμαρτίαν, ἑαυτὸν δὲ μᾶλλον ἀνέθηκεν ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας τῷ θεῷ καὶ Πατρί. Ἀκουέτωσαν τοίνυν οἱ τὸν οὕτω σεπτὸν νευροκοπήσαντες ταῦρον· «Ἐπικατάρατος ὁ θυμὸς αὐτῶν, ὅτι αὐθάδης· καὶ ἡ μῆνις αὐτῶν, ὅτι ἐσκληρύνθη.[1]» Τί δὴ οὖν ἄρα πεπόνθασιν; Ἐξῴχοντο τῆς ἑαυτῶν, καὶ ἀπολελοίπασι μὲν τὴν ἐνεγκοῦσαν· διεσπάρησαν δὲ καὶ γεγόνασι πανταχοῦ ξένοι, καὶ ἐπήλυδες, καὶ περιδεεῖς. Ἀληθὲς γὰρ ὅτι ὥσπερ ὄρνιον ὅταν ἐκπετασθῇ τῆς ἰδίας καλιᾶς, οὕτω καὶ ἄνθρωπος ὅταν ἐκσπασθῇ ἐκ τῶν ἰδίων τόπων. Προσεπειπεῖν δὲ οἶμαι κἀκεῖνο πρέπον, ὅτι τοῖς μὲν τὸν ταῦρον νευροκοπήσασιν εἰς ἀρὰν ἔσται τὸ χρῆμα· τοῖς γε μὴν ἐπηλγηκόσι, καὶ τὸ οὕτω δεινὸν ἀποσειομένοις ἔγκλημα, λύτρον ἔσται καὶ κάθαρσις τῶν ἁμαρτιῶν ἀπόθεσις. Εὑρήσομεν δὲ διὰ τῆς ἐν νόμῳ σκιᾶς, ὅπερ ἔφην γραφόμενον. Ἔχει γὰρ οὕτως ἐν τῷ δευτερονομίῳ· «Ἐὰν δὲ εὑρεθῇ τραυματίας ἐν τῇ γῇ, ἣν Κύριος ὁ θεός σου δίδωσί σοι κληρονομῆσαι, πεπτωκὼς ἐν τῷ πεδίῳ, καὶ οὐκ οἴδασι τὸν πατάξαντα, ἐξελεύσεται ἡ γερουσία σου, καὶ οἱ κριταί σου, καὶ ἐκμετρήσουσιν ἐπὶ τὰς πόλεις τὰς κύκλῳ τοῦ τραυματίου, καὶ ἔσται ἡ πόλις ἡ ἐγγίζουσα τῷ τραυματίᾳ. Καὶ λήψεται ἡ γερουσία τῆς πόλεως ἐκείνης δάμαλιν ἐκ βοῶν, ἥτις οὐκ εἴργασται, καὶ ἥτις οὐχ εἵλκυσε ζυγόν· καὶ καταβιβάσουσιν ἡ γερουσία τῆς πόλεως ἐκείνης τὴν δάμαλιν εἰς φάραγγα τραχεῖαν, ἥτις οὐκ εἴργασται, οὐδὲ σπείρεται, καὶ νευροκοπήσουσι τὴν δάμαλιν ἐν τῇ φάραγγι, καὶ προσελεύσονται οἱ ἱερεῖς οἱ Λευῖται, ὅτι αὐτοὺς ἐπελέξατο Κύριος ὁ θεός σου παρεστηκέναι αὐτῷ, καὶ εὐλογεῖν ἐπὶ τῷ ὀνόματι αὐτοῦ, καὶ ἐπὶ τῷ στόματι αὐτῶν ἔσται πᾶσα ἀντιλογία καὶ πᾶσα ἁφή. Καὶ πᾶσα ἡ γερουσία τῆς πόλεως ἐκείνης, οἱ ἐγγίζοντες τῷ τραυματίᾳ, νίψονται τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν τῆς δαμάλεως τῆς νευροκοπημένης ἐν τῇ φάραγγι, καὶ ἀποκριθέντες ἐροῦσιν· Αἱ χεῖρες ἡμῶν

1. Γεν. 49, 7.

οὐκ ἐξέχεαν τὸ αἷμα τοῦτο, καὶ οἱ ὀφθαλμοὶ ἡμῶν οὐχ ἑωράκασιν. Ἵλεως γενοῦ, Κύριε, τῷ λαῷ σου Ἰσραήλ, οὓς ἐλυτρώσω ἐκ γῆς Αἰγύπτου, ἵνα μὴ γένηται αἷμα ἀναίτιον ἐν τῷ λαῷ σου Ἰσραήλ, καὶ ἐξιλασθήσεται αὐτοῖς τὸ αἷμα. Σὺ δὲ ἐξαρεῖς τὸ αἷμα τὸ ἀναίτιον ἐξ ὑμῶν αὐτῶν.[1]» Ἀλλ' εἰρήσεται μὲν κατὰ καιροὺς εἰς ἕκαστα λεπτῶς, πλὴν ἐκεῖνό φαμεν. Σύνες ὅπως ἑαυτοὺς ἀπαλλάττουσί τινες τῶν ἐφ' αἵματι κατηγορημάτων, ἀνατυπούσης ἡμῖν τῆς δαμάλεως ἐφ' ἑαυτῇ τὸν Ἐμμανουήλ. Χρῆναι γὰρ οἶμαι δεῖν ἑαυτοὺς ἀπαλλάττοντας λέγειν· Αἱ χεῖρες ἡμῶν οὐκ ἐξέχεαν τὸ αἷμα τοῦτο. Ἀλλ' ὅ γε τῶν Ἰουδαίων δῆμος οὐχὶ τοῦτό ποτε διακεκραγὼς ἁλώσεται. Τετολμήκασι δὲ μᾶλλον εἰπεῖν νευροκοποῦντες τὸν μόσχον, «Αἱ χεῖρες ἡμῶν ἐξέχεαν τὸ αἷμα τοῦτο.» Ἕτερον γάρ, οἶμαι, παρὰ τοῦτό ἐστιν οὐδὲν τὸ ἀσυνέτως εἰπεῖν ἐπὶ Χριστῷ· «Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.[2]» (Κυρίλλου Ἀλεξανδρείας, Γλαφυρὰ εἰς Γένεσιν VII, Migne LXIX σ. 348).

LXIII. Γεν. 49,12$^{a.\,b.}$

Εὐσεβίου ἐπισκόπου Καισαρείας.

Πάλιν ἀπορρήτως τῆς καινῆς διαθήκης τοῦ σωτῆρος ἡμῶν τὰ μυστήρια ἡγοῦμαι διαγορεύειν· καὶ τὸ «λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα[3]» τὸ λαμπρὸν καὶ καθαρὸν τῆς μυστηριώδους τροφῆς δηλοῦν.

LXIV. Γεν. 49,12$^{b.}$

Ἄλλως.

Τὸ φωτοειδὲς αὐτοῦ τῶν ῥημάτων δηλοῖ, διὰ τοῦτο «λευκοὺς[4]» ὀνομάζει· «γάλακτι[5]» δὲ παρεικάζει ὥσπερ καὶ σάρκα καὶ ψυχὴν διατρέφοντα.

LXV. Γεν. 49,13.

Κυρίλλου Ἀλεξανδρείας.

Διερμηνεύεται γὰρ «εὐοδία» τε καὶ «εὐλογία». (Κυρίλλου Ἀλεξανδρείας, Γλαφυρὰ εἰς Γένεσιν VII, Migne LXIX σ. 357).

LXVI. Γεν. 49,13$^{a.}$

Κατοικήσειν γε μὴν αὐτοὺς ἤτοι «τὸν Ζαβουλὼν τὴν τῇ θαλάσσῃ γείτονα χώραν» διεβεβαιοῦτο σαφῶς. Οἱονεί πως ἐκεῖνο λέγων, ὅτι τοῖς ἔθνεσιν ἀναμὶξ ἔσται λοιπὸν ὁ Ἰσραήλ, ἅ τε δὴ καὶ εἰς μίαν ποίμνην συνενηνεγμένων τῶν δύο λαῶν, καὶ ὑπὸ χεῖρα

1. Δευτ. 21, 1-9. 2. Ματθ. 27, 25. 3. Γεν. 49, 12. 4. Γεν. 49, 12. 5. Γεν. 49, 12.

τὴν ἑνὸς τοῦ κατὰ φύσιν ἀγαθοῦ γεγονότων ἀρχιποιμένος, τουτέστι Χριστοῦ. (Κυρίλλου Ἀλεξανδρείας, Γλαφυρὰ εἰς Γένεσιν VII, Migne LXIX σ. 357).

LXVII. Γεν. 49,13.

Ἀπολιναρίου.

Τοῦτον εὐλογῶν καὶ Μωσῆς εἶπεν «εὐφρανθήσεται Ζαβουλὼν ἐν τῇ προσελεύσει σου[1]» τουτέστιν ἐν τῇ λήξει τῆς γῆς, καὶ τὴν ἑκατέρωθεν ἔχειν χορηγίαν τῶν τε ἐκ γῆς καὶ θαλάσσης καλῶν ὁ Μωσῆς προφητεύει.

LXVIII. Γεν. 49,13$^{b.}$

Τοῦ αὐτοῦ (Κυρίλλου Ἀλεξανδρείας).

Τουτέστιν, ὡς ἐν λιμένι τυχὸν ἀσφαλεῖ, καὶ ἀκύμονι, καὶ εἰς Χριστὸν ἀνάπτων τῆς ἐλπίδος τὰ πείσματα. (Κυρίλλου Ἀλεξανδρείας, Γλαφυρὰ εἰς Γένεσιν VII, Migne LXIX σ. 360).

LXVI - LXVIII. Γεν. 49,13$^{a.\,b.}$

«Παράλιος Θαλασσῶν[2].» κατοικήσειν γε μὴν τὸν Ζαβουλὼν τὴν ἐν τῇ θαλάσσῃ γείτονα χώραν προλέγει καὶ ὡσανεὶ ἀναμιγῆναι τοῖς ἔθνεσι τὸν Ἰσραήλ, ἅτε δὴ καὶ εἰς μίαν ποίμνην ἠγμένων τῶν δύο λαῶν. δῆλον δὲ ἐν τῷ εὐαγγελίῳ «γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλειμ[3]» καὶ τὰ ἑξῆς. σωματικώτερον δὲ νοήσεις τὴν ἑκατέρωθεν γῆς καὶ θαλάσσης χορηγίαν. «καὶ αὐτὸς παρ' ὅρμον πλοίων[4]» τουτέστιν ὡς ἐν λιμένι ἀσφαλεῖ, ἀνάπτων εἰς Χριστὸν τὰ τῆς ἐλπίδος πείσματα.

LXIX. Γεν. 49,13$^{b.\,c.}$

«Ἔσται δέ», φησί, «καὶ παρ' ὅρμον πλοίων», τουτέστιν, ὡς ἐν λιμένι τυχὸν ἀσφαλεῖ, καὶ ἀκύμονι, καὶ εἰς Χριστὸν ἀνάπτων τῆς ἐλπίδος τὰ πείσματα. Ἐκ πολλῆς γὰρ ὥσπερ ἀποφοιτήσας ζάλης, ἐνορμισθήσεται λοιπὸν τῇ παρ' αὐτῷ χάριτι, καθάπερ ἀμέλει καὶ ἐν λιμέσιν ὁλκάδες. Τὸ δὲ δὴ καὶ «μέχρις αὐτῆς» παρατείνεσθαι «τῆς Σιδῶνος» εἰπεῖν, ὑποδηλοῦν ἔοικεν ὅτι τοσαύτη πρὸς ἕνωσιν πνευματικὴν συνδρομὴ τῶν δύο γενήσεται λαῶν, ὡς τοὺς ἐξ αἵματος Ἰσραὴλ καὶ αὐτὰς ἐμπλῆσαι τὰς πόλεις, τὰς ἐν πολλῇ παρὰ θεῷ γεγενημένας αἰτίᾳ καὶ διαβολῇ. (Κυρίλλου Ἀλεξανδρείας, Γλαφυρὰ εἰς Γένεσιν VII, Migne LXIX σ. 360)

LXX. Γεν. 49,16 - 17.

Κυρίλλου.

Ἐπειδὴ δὲ τῆς ἐν νόμῳ σκιᾶς οἱονεὶ συνεσταλμένης, καὶ τῆς ἐν πνεύματί τε καὶ ἀληθοῦς λατρείας εἰσκεκομισμένης διὰ Χριστοῦ,

1. Δευτ. 33, 18. 2. Γεν. 49, 13. 3. Ἠσ. 9, 1. Ματθ. 4, 15. 4. Γεν. 49, 13.

λαμπροτέρων ἔδει τῷ κόσμῳ κριτῶν, εἰσκέκληνται πρὸς τοῦτο λοιπὸν οἱ θεσπέσιοι μαθηταί, καὶ εἰς τὸν τῶν κατὰ νόμον καθηγητῶν εἰσέφρησαν κλῆρον. Τοιγάρτοι πρὸς μὲν τὴν Ἰουδαίων μητέρα, φημὶ δὴ τὴν Ἱερουσαλήμ, ἐλέγετο παρὰ τοῦ θεοῦ διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς· «Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν υἱοί σου», τουτέστιν, οἱ σοὶ χρηματίζοντες υἱοί, τὴν τῶν πατέρων τάξιν διέλαχον. Πρὸς δέ γε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· «Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.[1]»

Καὶ μετ' ὀλίγα.

Πλὴν ὅτι τὸ ἄρχειν αὐτοῖς οὐκ ἀταλαίπωρον ἔσται παντελῶς, ἔμελλον δὲ πολλῶν καὶ ἀναριθμήτων πειρᾶσθαι κακῶν· παραποδισθήσονται δὲ ὅτι καὶ οὐκ εἰς ἅπαν εὑρήσουσι τῆς ἀποστολῆς τὸν δρόμον κινδύνων ἀπηλλαγμένον, ὡς ἐν τύπῳ παραδείγματος ὑπεμφήνειεν, εἰπών, ὅτι «Γενηθήτω Δάν·» ἀντὶ τοῦ, ἔσται τὸ Δὰν ὁ τῶν διωκόντων δῆμος, «ὡς ὄφις ἐν ὁδῷ καθήμενος ἐπὶ τρίβου δάκνων πτέρναν ἵππου[2]», τουτέστι, δεινὰ καὶ ἄφυκτα δόγματα διδούς. Τοιγάρτοι τῶν ἔχεων δήγματα δυσδιάφυκτά πώς εἰσιν, εἰ καὶ εἰς αὐτὴν γένοιντο τὴν πτέρναν. «Αὐτός γάρ σου, φησί, τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν.[3]» Ἐπεβούλευσαν δὲ οὕτω τινὲς τοῖς ἁγίοις ἀποστόλοις, ὡς καὶ αὐτὸν ἐπαγαγεῖν τὸν τῆς σαρκὸς θάνατον. Καὶ δή τι τοιοῦτον ὑποστῆναί φαμεν αὐτούς, ὁποῖον ἂν πάθῃ τυχὸν ἱππεύς, ὀκλάσαντος ἵππου, καὶ ἀνόπιν ὥσπερ ὑφιζηκότος. Ὑπτιασθήσεται γὰρ ὁ ἐπιβάτης, καὶ εἰς γῆν, οἶμαι, πεσών, περιμενεῖ τὸν σώζοντα. Περιμένουσι δὲ οἱ θεσπέσιοι μαθηταὶ τὸν τῆς ἑαυτῶν δόξης τε καὶ σωτηρίας καιρόν, καθ' ὃν εἰσκεκλήσονται εἰς βασιλείαν ἀκλόνητον καὶ αἰώνιον, ἐπιφωνοῦντος αὐτοῖς τοῦ Χριστοῦ· «Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς τοῦ κόσμου.[4]»

Καὶ πάλιν.

Εἰ δὲ δὴ βούλοιτό τις οὐχὶ τῷ Δὰν ἔσεσθαί τινας ὡς ὄφεις ἐγκαθημένους ὁδῷ, ἀλλ' αὐτὸν ἑτέροις ἐπιβουλεύσειν τὸν Δάν· ἐκεῖνο ἐροῦμεν, ὅτι τὸ κρίνειν τε καὶ καθηγεῖσθαι λαῶν ἔχοντες οἱ Γραμματεῖς τε καὶ Φαρισαῖοι, πικροτάτην ἔχεων ἐπεφύοντο δίκην τῷ Χριστῷ, καὶ οἱονεὶ πως ἱππέα διὰ ψιλῆς τε καὶ λείας ᾄττοντα τρίβου, δήγμασι παρακόπτοντες ἀνοσίως ἡλίσκοντο. Ἀλλ' εἰ καὶ πέπτωκεν ὁ ἱππεύς, ἐθελοντὴς ἀνατλὰς τὸν τῆς σαρκὸς θάνατον· ἀλλ' οὖν καὶ ἀναβιώσεται, συλλήπτορα καὶ ἐπαρωγὸν ποιούμενος τὸν Πατέρα. Δύναμις γὰρ ὢν τοῦ θεοῦ καὶ Πατρός, ὁ Υἱός, τὸν ἴδιον αὐτὸς ἐζωοποίησε ναόν. Ταύτῃ τοι σεσῶσθαι λέγεται παρὰ τοῦ Πατρὸς

1. Ψαλμ. 44, 17. 2. Γεν. 49, 17. 3. Γεν. 3, 15. 4. Ματθ. 25, 34

κεκινδυνευκὼς ὡς ἄνθρωπος, καίτοι κατὰ φύσιν ὑπάρχων θεός, καὶ ὅλην αὐτὸς εἰς τὸ εὖ εἶναι συνέχων ὁρατήν τε καὶ ἀόρατον κτίσιν. Οὕτω που συνιεὶς καὶ ὁ θεσπέσιος Παῦλος, περὶ αὐτοῦ φησι· «Καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ.[1]» (Κυρίλλου Ἀλεξανδρείας, Γλαφυρὰ εἰς Γένεσιν VII, Migne LXIX σ. 364).

LXXI. Γεν. 49,19.

Καλῶς ὁπλισθήσεται τὸν πόδα. καὶ τὸ εἰρημένον «πειρατήριον πειρατεύσει αὐτόν, εὔζωνος εὐζωνήσει αὐτὸν[2]» ἀντὶ τοῦ· εὔοπλος ἀνὴρ καὶ πολεμικὸς ἐνοπλίσει αὐτὸν καὶ ὁπλιστὴς τὸν πόδα ἔσται. μᾶλλον τοῦτο θέλει εἰπεῖν· ἔνοπλος Γὰδ κατόπιν τῶν ἀδελφῶν αὐτοῦ ἀκολουθήσει. κἂν γὰρ ὁ κλῆρος αὐτοῦ πέραν ἦν τοῦ Ἰορδάνου[3], ἀλλ' οὖν ἐτάγησαν συνακολουθῆσαι τοῖς ἀδελφοῖς αὐτῶν ἔνοπλοι[4], ἕως οὗ λάβωσι κἀκεῖνοι τοὺς ἑαυτῶν κλήρους. ἢ τάχα τοῦτο εἶπεν ὅτι λῃστρικῷ τρόπῳ ἔμελλον ζῆν οἱ περὶ τὸν Γὰδ καὶ σύστημα λῃστῶν, ὅ ἐστι «πειρατήριον», λαβεῖν σὺν αὐτῷ τοῦτον καὶ ὅτι μέλλει κατόπιν αὐτῶν ἰέναι καὶ αὐτὸς ὁμοίως «πειρατεύων», ὅ ἐστι λῃστεύων.

LXXII. Γεν. 49,20.

Ὁ Ἀσὴρ ἐκληρονόμησε τὰ περὶ Πτολεμαΐδα καὶ Σιδῶνα, ἥτις ἐστὶν εὔφορος γῆ.[5] καὶ διὰ τοῦτό φησι «πίων αὐτοῦ ὁ ἄρτος καὶ αὐτὸς δώσει τροφὴν ἄρχουσιν.[6]»

LXXIII. Γεν. 49,21^{b}.

Κυρίλλου Ἀλεξανδρείας.

Εἰ δὲ δὴ καὶ ἐφ' ἡμῶν νοοῖτο τυχὸν τό, «Ἐπιδιδοὺς τῷ γεννήματι κάλλος», οὐκ ἀσυμφανὴς ὁ λόγος. Προκόπτοντες γὰρ ἀεὶ κατὰ ἀρετήν, καὶ τῶν ἀμεινόνων ἐφικνούμενοι, ἤτοι τοῖς ἔμπροσθεν ἐπεκτεινόμενοι, κατὰ τὴν τοῦ Μακαρίου Παύλου φωνήν, εἰς κάλλος ἀεὶ τὸ περιφανέστερον ἀναθρώσκομεν· κάλλος δέ φημι τὸ πνευματικόν, ἵνα καὶ ἡμῖν λέγηται λοιπόν· «Ἐπεθύμησεν ὁ Βασιλεὺς τοῦ κάλλους σου.[7]» (Κυρίλλου Ἀλεξανδρείας, Γλαφυρὰ εἰς Γένεσιν VII, Migne LXIX σ. 376).

LXXIV. Γεν. 49,22$^{a.\,b.}$

Κυρίλλου.

Ἐπ' αὐτὸν ἡμῖν πάλιν τὸν Ἐμμανουὴλ ὁ τῆς προφητείας διέρπει λόγος. Εἴη δ' ἄν, οἶμαί που, τὸ δηλούμενον ἐξ αὐτῆς ἕτερον οὐδὲν ἢ ὅπερ ἔφην ἀρτίως, τό, «Ἐπιδιδοὺς τῷ γεννήματι κάλλος.[8]» Τὸ γὰρ ηὐξῆσθαι λέγειν αὐτόν, τὴν εἰς τὸ ἀπ' ἀρχῆς ἐπίδοσιν, καὶ

1. Β' Κορ. 13, 4. 2. Γεν. 49, 19. 3. Ἀριθ. 32, 33. 4. Ἀριθ. 32, 21 ἑξ. Ἰησ. Ν. 4, 12. 5. Ἰησ. Ν. 19, 24 ἑξ. 6. Γεν. 49, 20. 7. Ψαλμ. 44, 12. 8. Γεν. 49, 21.

ἐπιδρομὴν τῆς ἐνούσης αὐτῷ εὐκλείας φυσικῶς, διασημαίνει πάντως, κατά γε τὸ ὀρθῶς ἔχειν ὑπειλημμένον. Ἐπειδὴ γὰρ ὁ μονογενὴς τοῦ θεοῦ Λόγος, θεὸς ὑπάρχων καὶ ἐκ θεοῦ, κεκένωκεν ἑαυτόν, κατὰ τὰς Γραφάς, καθεὶς ἐθελοντὴς εἰς ὅπερ οὐκ ἦν, καὶ τὴν ἀδοξοτάτην ταύτην σάρκα ἠμπέσχετο, καὶ ἐν τῇ τοῦ δούλου μορφῇ πέφηνε, γεγονὼς ὑπήκοος τῷ θεῷ καὶ Πατρὶ μέχρι θανάτου· ταύτῃ τοι λοιπὸν ὑπερυψοῦσθαι λέγεται, καὶ ὡς οὐκ ἔχων διὰ τὸ ἀνθρώπινον μονονουχί, καὶ ἐν χάριτος μοίρᾳ, λαβεῖν «τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα», κατὰ τὴν τοῦ Μακαρίου Παύλου φωνήν.[1] Ἀλλ' ἦν τὸ χρῆμα κατὰ τὸ ἀληθές, οὐ δόσις ὡς ἐν ἀρχῇ τῶν οὐκ ἐνόντων αὐτῷ φυσικῶς· πολλοῦ γε καὶ δεῖ. Νοοῖτο δ' ἂν μᾶλλον ἀναφοίτησις καὶ ἀναδρομὴ πρὸς τὸ ἐν ἀρχῇ, καὶ οὐσιωδῶς καὶ ἀναποβλήτως ὑπάρχον αὐτῷ. Τοιγάρτοι καὶ ἔφασκε, τῆς ἀνθρωπότητος τὸ σμικροπρεπὲς ὑποδὺς οἰκονομικῶς· «Πάτερ, δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί.[2]» Ἀεὶ γὰρ ἦν ἐν δόξῃ θεοπρεπεῖ τῷ ἰδίῳ συνυπάρχων Γεννήτορι πρὸ παντὸς αἰῶνος καὶ χρόνου καὶ τῆς τοῦ κόσμου καταβολῆς.

Καὶ μετ' ὀλίγα.

Νοῖτ' ἂν εἰκότως γεγονὼς καὶ νεώτατος. Πέφηνε γὰρ ἐν τελευταίοις τοῦ αἰῶνος καιροῖς μετὰ τὸν τῶν ἁγίων προφητῶν εὐκλεᾶ τε καὶ ἀξιάγαστον χορόν, καὶ ἁπαξαπλῶς μετὰ πάντας τοὺς πρὸ τῆς ἐπιδημίας ὡς ἐν υἱῶν τάξει λελογισμένους δι' ἀρετήν. Ζηλωτὸς δὲ ὅτι γέγονεν ὁ Ἐμμανουήλ, πῶς ἔστιν ἀμφιβαλεῖν; Ἀλλὰ ζηλωτὸς μὲν ἁγίοις, οἳ τοῖς ἴχνεσιν αὐτοῦ κατακολουθεῖν σπουδάζοντες, καὶ πρὸς τὸ θεῖον αὐτοῦ μορφούμενοι κάλλος, αὐτόν τε ποιούμενοι τῶν πρακτέων ὑπογραμμόν, τὴν ἁπασῶν ἀρίστην ἀποφέρονται δόξαν. Ζηλωτός γε μὴν καὶ καθ' ἕτερον ἂν νοοῖτο τρόπον τοῖς οὐκ ἀγαπᾶν ᾐρημένοις, φημὶ δὲ τοῖς Ἰουδαίων καθηγηταῖς, ἤτοι τοῖς Γραμματεῦσι καὶ Φαρισαίοις, οἳ πικρὸν ὠδίνοντες ἐν ἑαυτοῖς ζῆλον, καὶ βασκανίας ὑπόθεσιν τὴν ἀπαράβλητον αὐτοῦ ποιούμενοι δόξαν, κατὰ πολλοὺς ἡλίσκοντο τρόπους. Διανίστη μὲν γὰρ τοὺς νεκροὺς ὁ Χριστὸς ὀδωδότας ἤδη καὶ διεφθαρμένους, καὶ αὐτοῦ τοῦ θανάτου κρείττων ἐφαίνετο. Οἱ δέ, κατατεθηπέναι δέον καὶ πρὸς τὸ χρῆναι πιστεύειν ἴεσθαι, λοιπὸν οὐδὲν ἐνδοιάζοντας ἔτι, τοῦτο μὲν οὐκ ἔδρων, ἐδάκνοντο δὲ τῷ φθόνῳ, καὶ πικρὰς ἐδέχοντο λύπας εἰς νοῦν. (Κυρίλλου Ἀλεξανδρείας, Γλαφυρὰ εἰς Γένεσιν VII, Migne LXIX σ. 376-377).

LXXV. Γεν. 49,22 ^{d} 23 ^{a}.

Τὴν μετὰ τὸ πάθος ἀνάληψιν εἰς οὐρανόν φησι πρὸς τὸν πατέρα. τὸ δὲ «εἰς ὃν διαβουλευόμενοι ἐλοιδόρουν[3]» δῆλον ὅτι ὁ τῶν Ἰουδαίων

1. Φιλιπ. 2, 9. 2. Ἰω. 17, 5. 3. Γεν. 49, 23.

δῆμος. καὶ τὰ λοιπὰ ὁμοίως σωματικῶς μὲν εἰς τοὺς ἀδελφούς, πνευματικῶς δὲ εἰς τὸν Χριστόν.

LXXVI. Γεν. 49,23.24.

Κυρίλλου Ἀλεξανδρείας.

Ζηλωτὸς οὖν ἄρα καὶ τοῖς μισεῖν ἑλομένοις, πλὴν οὐκ εἰς ἅπαν ἁλώσιμος. Εἰ γὰρ καὶ ἀνέτλη σταυρόν, ἀλλ' ὡς θεὸς ἀνεβίω, πατήσας τὸν θάνατον, μονονουχὶ δὲ καὶ τοῦ θεοῦ καὶ Πατρὸς ἐπιφωνοῦντος καὶ λέγοντος· «Πρός με ἀνάστρεψον.[1]» Ἀναβέβηκε γὰρ εἰς τοὺς οὐρανούς, ἵνα καὶ ἀκούσῃ λέγοντος· «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.[2]» Ὅτι γὰρ ὑποπεπτώκασι, καίτοι πλείστην ὅσην τὴν κατ' αὐτοῦ μανίαν ὠδίνοντες, ἐδίδαξεν εἰπών· «Εἰς ὃν διαβουλευόμενοι ἐλοιδόρουν, καὶ ἐνεῖχον αὐτῷ κύριοι τοξευμάτων.[3]» Συνέδρια γὰρ συναγείροντες ἐβουλεύοντο πικρὰ «τῶν τοξευμάτων οἱ κύριοι», τουτέστιν, οἱ τῶν λαῶν ἡγεμόνες, οἱ ἐπ' αὐτῷ παραθήγοντες τοὺς οἱονεὶ τραυματίζοντας, καὶ ἀκίδων ἐν τάξει μονονουχὶ καὶ ἐμπηγνυμένους, διά τοι τὸ δρᾶν ἃ μὴ θέμις ἀποτολμᾶν, καὶ θηρῶν ἀγρίων ἐπιθρώσκειν δίκην. Πλὴν συνετρίβη τὰ τόξα αὐτῶν, καὶ ἐξελύθη νεῦρα βραχιόνων αὐτῶν διὰ χεῖρα δυνάστου Ἰακώβ, τουτέστι, τοῦ θεοῦ καὶ Πατρός, ὅς ἐστι τῶν δυνάμεων Κύριος, ὃς καὶ εὐλογεῖσθαι παρεσκεύασε τὸν Υἱὸν ἔν τε οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. (Κυρίλλου Ἀλεξανδρείας, Γλαφυρὰ εἰς Γένεσιν VII, Migne LXIX σ. 377).

LXXVII. Γεν. 49,23 ^{b}.

Κυρίλλου.

Τουτέστιν, οἱ τῶν λαῶν ἡγεμόνες, οἱ ἐπ' αὐτῷ παραθήγοντες τοὺς οἱονεὶ τραυματίζοντας, καὶ ἀκίδων ἐν τάξει μονονουχὶ καὶ ἐμπηγνυμένους, διά τοι τὸ δρᾶν ἃ μὴ θέμις ἀποτολμᾶν, καὶ θηρῶν ἀγρίων ἐπιθρώσκειν δίκην. (Κυρίλλου Ἀλεξανδρείας, Γλαφυρὰ εἰς Γένεσιν VII, Migne LXIX σ. 377).

LXXVIII. Γεν. 49,25 $^{b. c.}$ 26 ^{a}.

Καὶ μετ' ὀλίγα (Κυρίλλου).

Δεδόσθαι γε μὴν αὐτῷ τὴν ἄνωθεν εὐλογίαν, καὶ μέντοι τὴν ἀπὸ γῆς, διεβεβαιοῦτο σαφῶς· «Εἵνεκεν εὐλογίας μαστῶν καὶ μήτρας, εὐλογίας πατρὸς καὶ μητρός.[4]» Δι' οὗ σαφῶς καὶ ἐνεργῶς ἥ τε ἐκ θεοῦ καὶ Πατρὸς γέννησις τοῦ Μονογενοῦς, καὶ ἡ διὰ τῆς ἁγίας Παρθένου σημαίνεται, καθὸ νοεῖται καὶ πέφηνεν ἄνθρωπος. Υἱὸς γὰρ ὑπάρχων φυσικῶς τε καὶ ἀληθῶς τοῦ θεοῦ τε καὶ Πατρός,

1. Ἡσ. 44, 22. 2. Ψαλμ. 109, 1. 3. Γεν. 49, 23. 4. Γεν. 49, 25, 26.

δι' ἡμᾶς ἀνέτλη τὴν διὰ γυναικός τε καὶ μήτρας γέννησιν, καὶ μαστοὺς τεθήλακεν. Οὐ γάρ τοι, κατά τινας, δοκήσει γέγονεν ἄνθρωπος, ἀλλ' ὡς τοῦτο κατὰ ἀλήθειαν πεφηνώς, ὅπερ ἐσμὲν καὶ ἡμεῖς αὐτο[ί], τοῖς τῆς φύσεως ἑπόμενος νόμοις, καὶ τροφῆς ἠνέσχετο, καίτοι ζωὴν αὐτὸς τῷ κόσμῳ διδούς. (Κυρίλλου Ἀλεξανδρείας, Γλαφυρὰ εἰς Γένεσιν VII, Migne LXIX σ. 380).

LXXIX. Γεν. 49,26 b.–d.

«Ὅτι ὑπερίσχυσας ἐπ' εὐλογίαις ὀρέων μονίμων καὶ θινῶν αἰωνίων.[1]» Ὄρη γὰρ αἰώνιά τε καὶ μονιμώτατα, καὶ μέντοι καὶ θῖνας αἰωνίους, τοὺς ἁγίους φησί, διά τοι τὸ ἦρθαι τῆς γῆς, καὶ φρονεῖν μὲν οὐδὲν τῶν κατερριμμένων, ζητεῖν δὲ τὰ ἄνω, καὶ εἰς τὰ τῶν ἀρετῶν ὑψώματα εὖ μάλα διᾴττειν. Κατόπιν οὖν ἄρα τῆς Χριστοῦ δόξης καὶ οἱ τῶν Πατέρων ἐπισημότατοι, καὶ εἰς λῆξιν ἥκοντες ἀρετῆς. Οἱ μὲν γὰρ ἦσαν οἰκέται, κἂν εἰ τετάχαντο λοιπὸν ἐν τέκνοις· ὁ δὲ Κύριος, ὡς Υἱός, τὰ δι' ὧν ἐκεῖνοι γεγόνασι λαμπροί, κεχορηγηκὼς αὐτοῖς. Τοιγάρτοι καὶ λέγουσιν, ὅτι «Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν[2]», (Κυρίλλου Ἀλεξανδρείας, Γλαφυρὰ εἰς Γένεσιν VII, Migne LXIX σ. 380).

LXXX. Γεν. 49,26 .

Λαμβάνεται ὁ Ἰωσὴφ εἰς τύπον τοῦ κυρίου σαφέστατα. πρόδηλον δὲ ὅτι τὸ «αἱ εὐλογίαι ἐπὶ κορυφὴν ὧν ἡγήσατο ἀδελφῶν αὐτοῦ[3]» περὶ τῶν εἰς αὐτὸν πεπιστευκότων φησίν. οὐ γὰρ «ἐπαισχύνεται, ἀδελφοὺς αὐτοὺς καλῶν[4]» ἐν διαφόροις τῆς γραφῆς τόποις.

LXXXI. Γεν. 49,27.

Συναρμόζει πάνυ τῷ ἐκ φυλῆς Βενιαμὶν Παύλῳ. ὅτε γὰρ ἦν νέος, «λύκος» ἦν «ἅρπαξ[5]», «διέδωκε δὲ τροφὴν» πιστεύσας.

1. Γεν. 49, 26. 2. Ἰω. 1, 16. 3. Γεν. 49, 26. 4. Ἑβρ. 2, 11. 5. Γεν. 49, 27.

ΕΙΣ ΤΑΣ ΕΥΛΟΓΗΣΕΙΣ ΤΟΥ ΙΑΚΩΒ *

Εἰρηναίου ἐπισκόπου Λουγδούνων
εἰς τὰς εὐλογήσεις τοῦ Ἰακώβ. *

Τοὺς περὶ εὐλογιῶν τοῦ Ἰακὼβ ποιούμενος λόγους αὐτός, αὐτὸς τὴν παρὰ τοῦ κυρίου εὐλογίαν αἰτῶ. τίς γὰρ ἀνθρώπων ἱκανὸς διηγήσασθαι τὰ πνευματικῶς εἰρημένα, εἰ μὴ ἡ οὐράνιος σοφία συνεργεῖ τῷ λέγοντι; τίς δὲ ἑρμηνεῦσαι δύναται τὰ διὰ τῶν μακαρίων προφητῶν διὰ παραβολῶν αἰνιγματωδῶς εἰρημένα, εἰ μὴ αὐτὸς ὁ λόγος ἑαυτοῦ ἑρμηνεὺς γένηται; ὃς πάλαι μὲν <ἐν τῷ> Ἰσραὴλ ὡς λύχνος ἐν τῷ νόμῳ ὑπὸ τὸν μόδιον κρυπτόμενος κατεμήνυσεν ἡμῖν διὰ τῆς σκιᾶς τὴν ἀλήθειαν[1], ἵνα τοὺς ἐν νόμῳ διὰ τῆς περιτομῆς δικαιουμένους φωτίσῃ, νυνὶ δὲ παρρησίᾳ ἐπὶ τοῦ || ξύλου κρεμάμενος ὡς ἐν λυχνίᾳ ἑπτάμυξος λύχνος φαινόμενος, λέγω δὴ τῶν ἐπ' αὐτῷ πνευμάτων, ὧν αὐτὸς ἐτήρησεν, ἐν τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ ἑωράθη· ἐν ταύτῃ γὰρ καὶ ὁ ἑπτάμυξος λύχνος ἐν τῷ τότε τῆς Ἱερουσαλὴμ εὐκτηρίῳ καταυγάζων τὴν ἐν τῷ νόμῳ σκιάν, <ἵνα τὰ μακρὰν> ὑπάρχοντα ἔθνη πρὸς σωτηρίαν πρὸς τὸ ἑαυτοῦ φῶς καλέσῃ. παρέστω τοίνυν ἡμῖν αὐτὸς ὁ λόγος ἑρμηνεὺς τῶν ἑαυτοῦ μυστηρίων γινόμενος, ἵνα καὶ τὰ τοῦ Ἰωσὴφ ὁράματα τοῖς πιστεύουσιν φανερῶσαι δυνηθῇ. οὐδὲ γὰρ μάτην τοῦτον ὁραματιστὴν ἐκάλουν οἱ ἀδελφοί, εἰ μὴ δυνάμει προεώρων τὸν ἐν αὐτῷ πολιτευόμενον λόγον. «εἶπον γὰρ πρὸς ἑαυτοὺς λέγοντες, ἰδοὺ ὁ ὁραματιστὴς ἔρχεται· δεῦτε καὶ ἀποκτείνωμεν αὐτόν, || καὶ ἴδωμεν τί ἔσται τὰ ὁράματα αὐτοῦ.[2]» τίνα δὲ ἦν τὰ τούτου ὁράματα, υἱοὶ Ἰακώβ, εἴπατε. ἐθεώρει, φησίν, δράγματα ἐν πεδίῳ δεσμούμενα καὶ τὸ ἑαυτοῦ δράγμα ὀρθούμενον, τὰ δὲ ἡμέτερα πεσόντα· ἐπιστραφέντα δὲ προσεκύνουν τὸ τοῦ Ἰωσὴφ δράγμα.[3] τί ἐν τούτῳ ἠδίκησεν Ἰωσήφ, εἰ τὸ μέλλον ἔσεσθαι ἀπήγγειλεν ἡμῖν; τί παραζηλοῦτε καὶ μισεῖτε τὸν δίκαιον, εἰ θεὸς τούτῳ τὰ ἑαυτοῦ μυστήρια ἀπεκάλυψεν καὶ τὰ ἐπ' ἐσχάτων γινόμενα δι' ὁραμάτων ἐφανέρωσεν; τί ἐλυπήθητε ἰδόντες χιτῶνα ποικίλον ἐπ' αὐτῷ, εἰ ὁ δίκαιος πατὴρ τοῦτον παρὰ πάντας ἀγαπήσας ἐτίμησεν καὶ ποιμένα ποιμένων εἰς ἐπίσκεψιν ὑμῖν ἀπέστειλεν[4] καὶ μάρτυρα πιστὸν ἐν κόσμῳ προήγαγεν καὶ δράγμα || γήρως ὡς ἀπαρχὴν ἅγιον πρωτοτόκον ἐκ νεκρῶν ἀνέστησεν; τί ἀγανα-

* Κατὰ τὴν ἔκδοσιν τοῦ ἀοιδίμου Κ. Δυοβουνιώτου καὶ Ν. Βέη, C. Diobouniotis und N. Beïs, Hippolyts Schrift über die Segnungen Jakobs, Leipzig 1911.

1. Ματθ. 5, 15. Μάρκ. 4, 21. 2. Γεν. 37, 19-20. 3. Γεν. 37, 7. 4. Γεν. 37, 13.

κτεῖτε, εἰ ἥλιος καὶ σελήνη καὶ ἕνδεκα ἀστέρες προσεκύνουν αὐτόν, οἱ πάλαι προτυπούμενοι;[1] οὐδὲ Ἰακὼβ καὶ Ῥαχὴλ ἥλιος καὶ σελήνη ἐχρημάτιζεν, ἀλλ' οὐδὲ γὰρ οὕτω γεγένηται. ἡ μὲν γὰρ Ῥαχὴλ ἤδη τεθνεῶσα ἐν τῷ ἱπποδρόμῳ ἐτέθαπτο[2], ὁ δὲ Ἰωσὴφ συναντήσας τῷ πατρὶ αὐτοῦ, πεσὼν προσεκύνησεν[3], ἵνα ὁ τύπος τηρηθῇ καὶ ἡ γραφὴ ἀληθεύουσα φανῇ. ποῦ οὖν πληροῦται τὸ εἰρημένον, τὸ «ἆρά γε ἐλθόντες ἐγὼ καὶ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου προσκυνήσωμέν σοι ἐπὶ τῆς γῆς[4]», ἀλλ' ἢ ὅτε οἱ μακάριοι ἀπόστολοι ἅμα Ἰωσὴφ καὶ Μαρίᾳ ἐλθόντες ἐν τῷ ὄρει τῶν ἐλαιῶν προσεκύνησαν τὸν Χριστόν; Ἰούδας μετ' αὐτῶν οὐκ ἦν. || οὐδὲ γὰρ ὁ Ἰωσὴφ αὐτὸς Χριστὸς ἦν, ἵνα ἐν Αἰγύπτῳ τοῦτο γεγενῆσθαι νομισθῇ, ἀλλὰ ἦν τύπος τοῦ μέλλοντος παραδεικνυμένου διὰ Ἰωσήφ· καὶ βλέπε μοι τὸ παράδοξον, Ἰωσὴφ ἐν τῇ παλαιᾷ τύπος διὰ τῶν ἐνυπνίων χρηματίζεται. ἐνταῦθα Ἰωσὴφ τὴν Μαρίαν μνηστεύεται καὶ μάρτυς ἀληθινὸς τῆς θεοτόκου γίνεται. παρέστω τοίνυν ὁ ἀληθινὸς καὶ ἐπουράνιος Ἰωσὴφ ἑρμηνεύς, ἵνα τὰ δι' αὐτοῦ κηρυχθέντα ὑπὸ τῶν μακαρίων προφητῶν αὐτὸς πάλιν ἑρμηνεύων φανῇ· οὐδὲ γὰρ παρεσιώπησεν ἡ γραφὴ ἐπὶ τοῦ Ἰωσήφ, ἀλλὰ ἑρμηνέα τοῦτον ἀπέφηνεν· αὐτὸς γὰρ ἦν ἑρμηνεὺς τῶν τοῦ πατρὸς ἀποκρύφων μυστηρίων. καὶ γὰρ ἡ γραφὴ λέγει· «αὐτοὶ δὲ οὐκ ἔγνωσαν, ὅτι ἀκούει αὐτῶν ὁ Ἰωσήφ· ὁ γὰρ || ἑρμηνεὺς ἀνὰ μέσον αὐτῶν ἦν.[5]» τί ὠφέλησαν οἱ ἀδελφοὶ ἔριφον τότε ἀποκτείναντες καὶ τὸν ἑαυτῶν πατέρα πλανήσαντες;[6] ἰδοὺ γὰρ ὁ Ἰωσὴφ ἐν Αἰγύπτῳ βασιλεὺς ἐχρημάτισεν. τί ἐμολύνατε τὸν χιτῶνα τὸν ποικίλον τῷ αἵματι τοῦ ἐρίφου ψευδόμενοι καὶ παρερμηνεύοντες τὰ ὑφ' ὑμῶν γεγενημένα; ὁ δὲ πατὴρ χιτῶνα υἱοῦ τοῦτον εἶναι ὡμολόγει μεθ' ὑμῶν καὶ ἔφερεν τὸ γεγενημένον. σὺ δὲ πωλεῖς, Ἰούδα, τὸν Ἰωσὴφ ἐπιθυμίᾳ κόσμου κρατούμενος. οἱ δὲ ἀλλόφυλοι Ἰσμαηλῖται τοῦτον ἀγοράζουσιν[7], ἵνα εἰς Αἴγυπτον ἀχθῇ κἀκεῖ δέσμιος γένηται καὶ ὁράματα δι' αὐτοῦ ἀποκαλυφθῇ καὶ ὑπὸ Φαραὼ ζητηθῇ καὶ βασιλεὺς Αἰγύπτου κατασταθῇ καὶ τὸν δεύτερον θρόνον πισ||τευθῇ καὶ σῖτος πολὺς δι' αὐτοῦ συναχθῇ καὶ εἰς ἀποθήκην τηρηθῇ καὶ ἡ ἑβδομὰς ἐτῶν πληρωθῇ καὶ λαὸς λιμώττων τραφῇ καὶ ὑπὸ ἀδελφῶν προσκυνηθῇ[8] καὶ πατὴρ ὑπ' αὐτῶν ὁμολογηθῇ.

Πῶς οὖν μὴ δοξάσω τὸν ἐπουράνιον βασιλέα, τὸν τὰ ἴδια μυστήρια διὰ προφητῶν κοινοποιήσαντα; II. ἀλλ' ἐπεὶ καιρὸς λοιπὸν ἐπέστη πρὸς τὴν τῶν εὐλογιῶν ἑρμηνείαν τραπῆναι ἡμᾶς, ἐπιστήσαντες τὸν νοῦν ἴδωμεν, εἰ αἱ εἰρημέναι ὑπὸ τοῦ Ἰακὼβ εὐλογίαι ὡς εὐλογίαι ἐπὶ τοὺς υἱοὺς Ἰσραὴλ ἐχώρησαν. εὑρίσκομεν γὰρ τοὐναντίον· εὐλογίας μὲν ἐκεῖ λόγῳ γινομένας, ἔλεγχον δὲ αὐτῶν καὶ προφητείαν μεγίστην δι' αὐτῶν δεικνυμένην, ἥτις εἰς τὰ σπέρματα τῶν ἐκ τοῦ γένους αὐτῶν γεννηθέντων || ἀπέβη. ὥστε ὁ μακάριος Ἰακὼβ πρὸς

1. Γεν. 37, 9. 2. Γεν. 35, 19. 3. Γεν. 46, 29. 4. Γεν. 37, 10. 5. Γεν. 42, 23. 6. Γεν. 37, 31, 32. 7. Γεν. 37, 26 ἑξ. 8. Γεν. 42, 6.

μὲν τοὺς ἰδίους υἱοὺς ὡς τὸ παρὸν ἐλάλει, τὰ <δὲ> λεγόμενα εἰς ἔσχατον καιρὸν συνέβη. καὶ τὰς μὲν εὐλογίας προδιέστελλεν, δι' ὧν ταῦτα προεφητεύετο, ἐδίδου δὲ τοῖς υἱοῖς Ἰσραὴλ ἔλεγχον τῶν παραπτωμάτων ποιούμενος καὶ ἠπείλει ἐκ τῆς τοιαύτης πράξεως ὑπεξαιρούμενος.

Εὑρίσκομεν δὲ καὶ τὸν μακάριον Ἰσαὰκ τὰ ὅμοια πεποιηκότα, καὶ τὸν μὲν Ἰακὼβ τὸν νεώτερον υἱὸν εὐλογοῦντα[1] καὶ πάντα τούτῳ χαριζόμενον διὰ τὸν ἐξ αὐτοῦ μέλλοντα κατὰ σάρκα γεννᾶσθαι Χριστόν, τὸν δὲ Ἠσαῦ, τύπον ἔχοντα τοῦ προτέρου λαοῦ, προειδώς που τὸν τῇ καρδίᾳ πονηρὸν λογισμόν, τοῦτον οὐκ ἂν ηὐλόγησεν, ἀλλὰ δυνάμει ῥητῶν || διὰ προφητείας ἐπέπληξεν. ὅτι δὲ οὕτως ἔχει, αὐτὴ ἡ γραφὴ ἀναπτυχθεῖσα σαφέστερον ἡμᾶς διδάξει τὰ προειρημένα. III. λέγει γὰρ οὕτως· «καὶ ἐκάλεσεν Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ τὸν πρεσβύτερον καὶ εἶπεν αὐτῷ· λάβε τὸ σκεῦός σου, τήν τε φαρέτραν καὶ τὸ τόξον καὶ ἔξελθε εἰς τὸ πεδίον καὶ θήρευσόν μοι θήραν, καὶ ποίησόν μοι ἐδέσματα ὡς φιλῶ ἐγώ· καὶ ἔνεγκέ μοι, ἵνα φάγω, ὅπως εὐλογήσῃ σε ἡ ψυχή μου πρὸ τοῦ ἀποθανεῖν με.[2]» τὸ μὲν οὖν ἐντέλλεσθαι τὸν προφήτην τροφὴν αἰτοῦντα παρὰ τοῦ Ἠσαῦ σημαίνει τὴν διὰ τοῦ λόγου κλῆσιν τοῦ προτέρου λαοῦ γεγενημένην, ὡς ἀπαιτεῖ καρπὸν ἔργων δικαιοσύνης παρ' αὐτοῦ, ἥτις ἦν ὡς τροφὴ τῷ πατρὶ λογιζομένη. τὸ γὰρ || «ἔξελθε εἰς τὸ πεδίον καὶ θήρευσόν μοι θήραν[3]» τὴν ἐν τῷ κόσμῳ ἀναστροφὴν σημαίνει. τὸ δὲ εἰπεῖν πρὸς αὐτόν, «λάβε τὴν φαρέτραν καὶ τὸ τόξον σου[4]» δηλοῖ, ὅτι ἔμελλεν ὁ λαὸς ἰδίας δόξης ἀντιποιούμενος μὴ πίστει δικαιοῦσθαι, ἀλλὰ ἐν πολέμῳ καὶ μαχαίρᾳ καυχώμενος τύραννον ἑαυτοῦ βασιλέα αἰτεῖσθαι, ὡς καὶ Μωϋσῆς πρὸς αὐτὸν ἔλεγεν, «καὶ ἡ μάχαιρα καύχημά σου.[5]» IV. «εἶπεν δὲ Ῥεβέκκα πρὸς Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον· ἰδοὺ ἐγὼ ἤκουσα τοῦ πατρός σου λαλοῦντος πρὸς Ἠσαῦ τὸν ἀδελφόν σου καὶ λέγοντος· ἔνεγκέ μοι θήραν καὶ ποίησόν μοι ἐδέσματα καὶ φαγὼν εὐλογήσω σε ἐναντίον κυρίου. νῦν οὖν ἄκουσόν μου τέκνον τῆς φωνῆς καὶ πορευθεὶς εἰς τὰ πρόβατα λάβε μοι ἐκεῖθεν || δύο ἐρίφους ἁπαλοὺς καὶ καλοὺς καὶ ποιήσω αὐτοὺς ἐδέσματα τῷ πατρί σου ὡς φιλεῖ καὶ εἰσοίσεις τῷ πατρί σου καὶ φάγεται, ὅπως εὐλογήσῃ σε ὁ πατήρ σου πρὸ τοῦ ἀποθανεῖν αὐτόν.[6]» Δ. ἡ μὲν οὖν Ῥεβέκκα εἰκόνα φέρουσα τῆς ἐκκλησίας ἤδη προετύπου τὰ μέλλοντα διὰ τοῦ νεωτέρου υἱοῦ ἐπιτελεῖσθαι. φησὶν γὰρ πρὸς αὐτόν· «πορευθεὶς εἰς τὰ πρόβατα λάβε μοι ἐκεῖθεν δύο ἐρίφους ἁπαλοὺς καὶ καλούς.[7]» ὁ μὲν Ἠσαῦ εἰς τὸ πεδίον πέμπεται, ὡς ἐν κόσμῳ προσήλυτος ζῶν· ὁ δὲ Ἰακὼβ εἰς τὰ πρόβατα, ἵνα πληρωθῇ τὸ ὑπὸ τοῦ κυρίου εἰρημένον· «οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.[8]» τῷ δὲ εἰπεῖν αὐτήν, «λάβε μοι ἐκεῖθεν δύο ἐρίφους ἁπαλοὺς καὶ καλοὺς» ἔδειξεν τὰς || δύο κλη-

1. Γεν. 27, 27 ἑξ. 2. Γεν. 27, 1-4. 3. Γεν. 27, 3. 4. Γεν. 27, 3. 5. Δευτ. 33, 29. 6. Γεν. 27, 6-10. 7. Γεν. 27, 9. 8. Ματθ. 15, 24.

σεις, τὰς διὰ τοῦ εὐαγγελίου γεγενημένας· ἐρίφους μὲν ὄντας ἀπ' ἀρχῆς, ἐπειδὴ πάντες ἦμεν ἁμαρτωλοί, ἁπαλοὶ δὲ καὶ καλοὶ διὰ ὑπακοῆς γινόμεθα τῇ ἐν Χριστῷ πίστει δικαιούμενοι, μηκέτι ὡς ἔριφοι κρινόμενοι, ἀλλ' ὡς πρόβατα εἰς «ὀσμὴν εὐωδίας[1]» θυσίᾳ καθαρᾷ θεῷ προσφερόμενοι, ὃς διὰ τοῦ εὐαγγελίου τὰ ὅμοια ἐπιτελῶν ἔλεγεν τοῖς μαθηταῖς· «ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε.[2]» V. «εἶπεν δὲ Ἰακὼβ πρὸς Ῥεβέκκαν τὴν μητέρα αὐτοῦ· ἔστιν ὁ ἀδελφός μου ἀνὴρ δασύς, ἐγὼ δὲ ἀνὴρ λεῖος. μήποτε ψηλαφήσῃ με ὁ πατήρ μου καὶ ἔσομαι ἐναντίον αὐτοῦ ὡς καταφρονῶν καὶ ἐπάξω ἐπ' ἐμαυτὸν κατάραν καὶ οὐκ εὐλογίαν.[3]» πῶς σαφῶς ἐνθάδε τὸ ἴδιον εὐλαβὲς ὁ Ἰακὼβ || ἐπέδειξεν. μαθὼν γὰρ τὸ γεγενημένον ὑπὸ τοῦ Χάμ, ὃς ἰδὼν γυμνωθέντα τὸν Νῶε κατεγέλασεν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτοῦ καὶ ἐπεσπάσατο ἐφ' ἑαυτὸν τὴν κατάραν[4], εὐλαβήθη μήποτε καὶ αὐτὸς ὡς ἐκπειράζων τὸν ἑαυτοῦ πατέρα νομισθῇ καὶ ὑπὸ κατάραν πέσῃ· ἦν δὲ καὶ τὸ ὑπ' αὐτοῦ λεγόμενον ἀληθές, ὅτι μὲν «Ἠσαῦ ὁ ἀδελφός μοῦ ἐστιν ἀνὴρ δασύς», τοῦτ' ἔστιν ἁμαρτωλός, «ἐγὼ δὲ ἀνὴρ λεῖος», ᾧπερ δείκνυται τὸ ἄσπιλον καὶ ἀναμάρτητον τῆς σαρκὸς τοῦ κυρίου. ἀλλ' ἐπειδὴ μὴ ἔδει ἐπὶ ἑτέρου ἐπιτελεῖσθαι τὰ μυστήρια, φησὶν πρὸς αὐτόν· «ἐπ' ἐμὲ ἡ κατάρα σου τέκνον, μόνον ὑπάκουσον τῆς ἐμῆς φωνῆς καὶ πορευθεὶς ἔνεγκέ μοι.[5]»

Ε. Καὶ γάρ ἐστιν ἐπιγνῶναι τὸ εἰρη || μένον ὑπὸ τῆς Ῥεβέκκας πάλαι, νῦν ἐπὶ τὴν ἐκκλησίαν πεπληρωμένον. τὸ γὰρ «ἐπ' ἐμὲ ἡ κατάρα σου τέκνον», τοῦτο δηλοῖ, ὅπερ νῦν τινες βλασφημοῦντες τὴν ἐκκλησίαν ὀνειδίζουσιν ὡς σεβομένην τὸν ἐσταυρωμένον, κατάραν ἡμῖν καὶ ὄνειδος κατὰ ταῦτα ἐπιφέροντες. τὸ γὰρ πάθος τοῦ κυρίου τοῖς μὲν ἀπίστοις νομίζεται κατάρα, τοῖς δὲ πιστεύουσιν «ζωὴ καὶ εἰρήνη.[6]» καὶ γὰρ ὁ ἀπόστολος λέγει· «Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα[7]», ὅπερ ἐπεπλήρωσεν ὁ σωτὴρ νῦν διὰ τοῦ σώματος ἐπὶ τοῦ ξύλου θάνατον ἀναδεξάμενος, ἵνα διὰ τῆς ἰδίας ὑπακοῆς ἀναλύσῃ τὴν τοῦ Ἀδὰμ ἐν τῷ κόσμῳ κειμένην κατάραν, τὸ «γῆ εἶ <καὶ εἰς γῆν ἀπελεύσῃ>.[8]» —VI. «Λαβοῦσα οὖν ἡ Ῥεβέκκα τὴν στολὴν τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου τὴν καλὴν ἐνέδυσεν τὸν υἱὸν αὐτῆς Ἰακὼβ καὶ τὰ δέρματα τῶν ἐρίφων περιέθηκεν περὶ τοὺς βραχίονας αὐτοῦ.[9]» τὸ οὖν ἐνδύσασθαι αὐτὸν τὴν στολὴν σημαίνει, ὡς ἔμελλεν ὁ λόγος τὴν σάρκα ἐνδύσεσθαι, τὸ δὲ περιθεῖναι τὰ δέρματα τῶν ἐρίφων περὶ τοὺς βραχίονας αὐτοῦ δηλοῖ, ὅτι τὰς πάντων ἡμῶν ἁμαρτίας αὐτὸς ἀνέλαβεν, ἐν τῷ σταυρῷ τὰς χεῖρας καὶ τοὺς βραχίονας ἐκπετάσας. ὡς καὶ Ἠσαΐας εἴρηκεν· «αὐτὸς τὰς ἁμαρτίας ἡμῶν ἦρεν καὶ τὰς νόσους ἐβάστασεν.[10]» τὸ δὲ εἰπεῖν

1. Γεν. 8, 21. 2. Ἰω. 4, 32. 3. Γεν. 27, 11-12. 4. Γεν. 9, 21 ἑξ. 5. Γεν. 27, 13. 6. Ῥωμ. 8, 6. 7. Γαλ. 3, 13. 8. Γεν. 3, 19. 9. Γεν. 27, 15-16. 10. Ἡσ. 53, 4-5.

τὸν Ἰακὼβ τῷ πατρί· «πεποίηκα καθ' ἃ ἐλάλησάς μοι[1]», σημαίνει τὴν τοῦ λόγου πρὸς τὸν πατέρα || ὑπακοήν. ὡς καὶ ἐν τῷ Ἰεζεκιὴλ λέγει· «ἐποίησα καθ' ἃ ἐνετείλατό μοι.[2]» εἶπεν δὲ αὐτῷ Ἰσαάκ· «τίς εἶ σύ; ὁ δὲ εἶπεν· ἐγώ εἰμι ὁ υἱός σου ὁ πρωτότοκος Ἠσαῦ.[3]» οὐχ ὡς ἀγνοῶν ὁ προφήτης ἐπερωτᾷ τὸν Ἰακώβ· ἐρωτᾷ γὰρ πνευματικῶς τὰ γινόμενα. οὐ γὰρ Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐπερωτῶν τοὺς Γαβαωνίτας ἠγνόει τὸ ὑπ' αὐτῶν τετεχνασμένον πανούργευμα[4], ἀλλὰ ἐν δόλῳ συνεχώρει, ἵνα τὰ ἐν θεῷ Ἰησοῦ μετανοοῦντα καὶ πιστεύοντα σωθῇ. οὕτως οὖν καὶ ἐνθάδε νοεῖν χρή. «ἔγγισόν μοι, φησίν, καὶ ψηλαφήσω σε τέκνον, εἰ σὺ εἶ ὁ υἱός μου Ἠσαῦ ἢ οὔ. καὶ ἤγγισεν πρὸς αὐτόν. ὁ δὲ ψηλαφήσας ἔφη· ἡ μὲν φωνὴ φωνὴ Ἰακώβ, αἱ δὲ χεῖρες χεῖρες Ἠσαῦ.[5]»

Ϛ. Τοῦτο σημαίνει· ὁ [γὰρ] λόγος ὁ ἐν τῷ Ἰακὼβ τὰ μυστήρια προτυπῶν || καὶ φωνὴ ἐγένετο τῶν προφητῶν, αὐτὸς ἐν αὐτοῖς προφαίνων τὰ μέλλοντα. αἱ δὲ χεῖρες αὐτοῦ ἐγενήθησαν «χεῖρες Ἠσαῦ·» διὰ γὰρ τὰς τοῦ λαοῦ ἁμαρτίας τῷ θανάτῳ παρεδόθη. VII. φησὶν οὖν πρὸς αὐτόν· «ἔγγισόν μοι, τέκνον, καὶ φίλησόν με. καὶ ἐγγίσας ἐφίλησεν αὐτόν. καὶ ὠσφράνθη τὴν ὀσμὴν τῶν ἱματίων αὐτοῦ, καὶ ηὐλόγησεν αὐτὸν καὶ εἶπεν.[6]» καὶ τοῦτο σαφῶς προμηνύων ὁ προφήτης, ὡς οὐδεὶς ἀνθρώπων στόμα ἅγιον προσοίσει πατρὶ ἢ μόνος ὁ πρωτότοκος ἐκ τῆς παρθένου γενόμενος· «ἐγὼ γάρ φησιν εἰμὶ ὁ υἱός σου, ὁ πρωτότοκος.[7]» παραυτίκα γοῦν ἐπήνεγκεν τὴν εὐλογίαν ὁ προφήτης καὶ λέγει· «ἰδοὺ ὀσμὴ τῶν ἱματίων τοῦ υἱοῦ μου ὀσμὴ ἀγροῦ πλήρους, ὃν εὐλόγησε κύριος· καὶ δῴη σοι ὁ θεὸς || ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς πλῆθος σίτου καὶ οἴνου· καὶ δουλευσάτωσάν σοι ἄρχοντες, καὶ γίνου κύριος τοῦ ἀδελφοῦ σου, καὶ προσκυνήσουσίν σε οἱ υἱοὶ τοῦ πατρός σου. ὁ καταρώμενός σε ἐπικατάρατος, ὁ δὲ εὐλογῶν σε εὐλογημένος.[8]» εἰ μὲν οὖν νομίζει τις, τὴν εὐλογίαν ταύτην ἐπὶ τὸν Ἰακὼβ γεγενῆσθαι, πεπλάνηται· οὐδὲ γὰρ τοῦτο συνέβη τῷ Ἰακώβ. εὑρίσκεται γὰρ πρῶτον μὲν ἐν τῇ Μεσοποταμίᾳ εἴκοσι ἔτη δουλεύων τῷ Λάβαν[9], ἔπειτα αὐτὸς τὸν ἴδιον ἀδελφὸν Ἠσαῦ προσκυνῶν καὶ διὰ τῶν δώρων τὸ τούτου πρόσωπον ἐξιλασκόμενος[10], μετὰ ταῦτα πάλιν εἰς Αἴγυπτον κατερχόμενος, ἵνα μὴ σὺν τοῖς τέκνοις λιμῷ διαφθαρῇ. || ἐπὶ τίνα οὖν πληροῦται τὸ εἰρημένον. «ἰδοὺ ὀσμὴ τῶν ἱματίων τοῦ υἱοῦ μου. ὡς ὀσμὴ ἀγροῦ πλήρους, ὃν εὐλόγησεν κύριος[11]», ἐπ' οὐδένα ἄλλον, εἰ μὴ ἐπὶ τὸν Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ. «ἀγρὸς γάρ ἐστιν ὁ κόσμος[12]» ὀσμὴ δὲ τῶν ἱματίων αὐτοῦ εἰσιν πάντες οἱ πιστεύοντες εἰς αὐτόν. ὡς ὁ ἀπόστολος λέγει· «ὅτι Χριστοῦ εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις,

1. Γεν. 27, 19. 2. Ἰεζ. 12, 7. 3. Γεν. 27, 18-19. 4. Ἰησ. Ν. 9, 3. ἑξ. 5. Γεν. 27, 21-22. 6. Γεν. 27, 26-27. 7. Γεν. 27, 19. 8. Γεν. 27, 27-29. 9. Γεν. 31, 38. 10. Γεν. 33, 3, 8, 10. 11. Γεν. 27, 27. 12. Ματθ. 13, 38.

οἷς μὲν γὰρ ὀσμὴ θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν.[1]»

Ζ'. τὸ δὲ εἰπεῖν· «δῴη σοι ὁ θεὸς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς πλῆθος σίτου καὶ οἴνου[2]» σαφέστατα διὰ τοῦ ῥητοῦ τὸν λόγον, τὸν ἀπὸ οὐρανῶν καταβάντα ὡς δρόσον, ἐσήμανεν· τὴν δὲ γῆν, τὴν σάρκα, τὴν ἐκ τῆς παρθένου προσειλημμένην. «πλῆθος δὲ σίτου || καὶ οἴνου» εἰπὼν ἔδειξεν τοὺς ἁγίους ὡς σῖτον εἰς ἀποθήκην συναγομένους[3] καὶ διὰ τοῦ πνεύματος ὡς οἶνον δεικνυμένους· τὸ δὲ εἰπεῖν· «δουλευσάτωσάν σοι ἔθνη καὶ προσκυνήσουσίν σοι ἄρχοντες[4]», ... ἀλλ' ἢ τὸν Χριστόν, δι' οὗ ὀνόματος καὶ σῴζονται. ὡς καὶ διὰ Ἡσαΐου αὐτὸς ὁ λόγος προαναφωνῶν λέγει· «τοῖς δὲ δουλεύουσίν μοι κληθήσεται ὄνομα καινόν, ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς· εὐλογήσουσιν γὰρ τὸν θεὸν τὸν ἀληθινόν[5]...» καὶ πάλιν λέγει· «ἰδοὺ οἱ δουλεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε· ἰδοὺ οἱ δουλεύοντές μοι πίονται, ὑμεῖς δὲ διψήσετε· ἰδοὺ οἱ δουλεύοντές μοι ἀγαλλιάσονται ἐν εὐφροσύνῃ, ὑμεῖς δὲ αἰσχυνθήσεσθε, ἀπὸ συντριβῆς πνεύματος ὀλολύξετε.[6]» εἶτα ἐπιφέρει λέγων· «γίνου κύριος τοῦ ἀδελ||φοῦ σου, καὶ προσκυνήσουσίν σε οἱ υἱοὶ τοῦ πατρός σου.[7]» τὸν μὲν Ἰακὼβ οὔτε τις προσεκύνησεν, οὔτε γεγένηται κύριος τοῦ ἀδελφοῦ αὐτοῦ Ἠσαῦ· ἀλλὰ τοὐναντίον, οὗτος φοβηθεὶς αὐτὸν ἔφυγεν, καὶ πρῶτος αὐτὸν προσεκύνησεν ἑπτάκις.[8] τὸ οὖν εἰρημένον πληροῦται ἐπὶ τὸν σωτῆρα. τῶν γὰρ νομιζομένων κατὰ σάρκα ἀδελφῶν ἐγένετο κύριος καὶ δεσπότης, ἵνα ὑπ' αὐτῶν ὡς βασιλεὺς προσκυνηθῇ. διὰ τοῦτο λέγει· «ὁ καταρώμενός σε ἐπικατάρατος, ὁ δὲ εὐλογῶν σε εὐλογημένος.» τῆς μὲν οὖν εὐλογίας ταύτης ἐμφάσει μὲν ὡς ἐπὶ τὸν Ἰακὼβ εἰρημένης, τῇ δὲ ἀληθείᾳ ἐπὶ τὸν Χριστὸν πεπληρωμένης, ἴδωμεν τί λέγει ἐν τοῖς ἑξῆς. VIII. «καὶ ἐγένετο μετὰ τὸ παύσασθαι Ἰσαὰκ εὐλογοῦν-||τα Ἰακὼβ ἀπὸ προσώπου Ἰσαὰκ τοῦ πατρὸς αὐτοῦ, καὶ Ἠσαῦ ὁ ἀδελφὸς αὐτοῦ ἦλθεν ἀπὸ τῆς θήρας· καὶ ἐποίησεν καὶ αὐτὸς ἐδέσματα καὶ προσήνεγκεν τῷ πατρὶ αὐτοῦ.[9]» τὰ μὲν οὖν Ἠσαῦ ἐδέσματα σημαίνει τὴν ἐν τῷ νόμῳ τοῦ λαοῦ θρησκείαν, ὡς καυχωμένου καὶ νομίζοντος διὰ περιτομῆς δικαιοῦσθαι· <ἣν> προσέφερον <πρὸς> προσήλυτα ἔθνη ὡς τροφὴν αὐτοὶ τροφῆς ἐπιδεόμενοι, ἄρτου ἐπουρανίου θιγεῖν μὴ δυνάμενοι.

<Η̄> εἶπεν οὖν Ἠσαῦ· «ἀναστήτω ὁ πατήρ μου καὶ φαγέτω τῆς θήρας τοῦ υἱοῦ αὐτοῦ, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου.[10]» πῶς ὑπερήφανον τὸ ῥῆμα καὶ ἐπηρμένον τῇ καρδίᾳ· καὶ γὰρ ἕως σήμερον οἱ ἐκ περιτομῆς ὁμοίως καυχῶνται, ὡς μόνοι δεδικαιωμένοι. ὁ δὲ μακάριος || Ἰακὼβ τὸ εὐλαβὲς καὶ ταπεινόφρον προσλαβόμενος ἔλεγεν τῷ πατρί· «ἐποίησα καθ' ἃ ἐλάλησάς μοι·[11]» ὁ δὲ Ἠσαῦ οὐχ οὕτως,

1. Β' Κορ. 2, 15-16. 2. Γεν. 27, 28. 3. Πρβλ. Ματθ. 13, 30. 4. Γεν. 27, 29. 5. Ἡσ. 65, 15-16. 6. Ἡσ. 65, 13-17. 7. Γεν. 27, 29. 8. Γεν. 32, 7-8. 33, 3. 9. Γεν. 27, 30-31. 10. Γεν. 27, 31. 11. Γεν. 27, 19.

ἀλλὰ «ἀναστήτω ὁ πατήρ μου καὶ φαγέτω τῆς θήρας τοῦ υἱοῦ αὐτοῦ, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου.[1]» ὁ δὲ πρὸς αὐτὸν ἔφη· «τίς εἶ σύ; ὁ δὲ εἶπεν· ἐγώ εἰμι ὁ υἱός σου, ὁ πρωτότοκος, Ἠσαῦ. ἐξέστη δὲ Ἰσαὰκ ἔκστασιν μεγάλην σφόδρα καὶ εἶπεν· τίς οὖν ὁ θηρεύσας μοι θήραν καὶ εἰσενέγκας μοι, καὶ ἔφαγον ἀπὸ πάντων πρὸ τοῦ σε ἐλθεῖν; καὶ ηὐλόγησα αὐτόν, καὶ εὐλογημένος ἔσται.[2]» πῶς ἐγρηγόρησεν ἐνθάδε τὸ πνεῦμα τοῦ προφήτου. ἐπειδὴ γὰρ ἐν τῇ εὐλογίᾳ προσομιλῶν τῷ Ἰακὼβ εἶπεν· «ὁ εὐλογῶν σε εὐλογημένος· ὁ δὲ καταρώμενός σε ἐπικατάρατος.[3]»

Θ' διὰ τοῦτο ἐπεσφαλίσατο ἐκ δευτέρου καὶ ἐπεσφράγισεν|| τὴν πρώτην εὐλογίαν εἰπών· «ηὐλόγησα αὐτὸν καὶ εὐλογημένος ἔσται.[4]» ἦν γὰρ τὸ γεγονὸς ὑπὸ τοῦ Ἰακὼβ μυστήριον οἰκονομίας εἰς Χριστὸν προτυπούμενον, ὃς εὐλογημένος ὑπὸ τοῦ πατρὸς γεννηθεὶς εἰς τοὺς αἰῶνας ἐγένετο εὐλογημένος. τὸ δὲ εἰπεῖν τὴν γραφήν· «ἐξέστη δὲ Ἰσαάκ[5]», ἐπὶ τῷ γεγονότι προορῶν τὰ ἔθνη διὰ τοῦ νεωτέρου υἱοῦ τοῦ θεοῦ μέλλοντα εὐλογεῖσθαι καὶ εἰς τὴν διαθήκην τῆς ἐπαγγελίας τῶν πατέρων χωρεῖν. διὰ τοῦτο γὰρ καὶ Ἰακὼβ τικτόμενος καὶ ἔσχατος ἐκ κοιλίας μητρὸς ἐκπορευόμενος τὴν πτέρναν ἐκράτει τοῦ Ἠσαῦ·[6] ἤμελλεν γὰρ ὁ τοῖς ἴχνεσιν τῶν προφητῶν κατακολουθῶν ἔσχατος λαὸς λήψεσθαι τὰ πρωτοτόκια εἰς καινὴν διαθήκην πρῶτος εὑρισκόμενος. «ἐγένετο ἡνίκα ἤκουσεν Ἠσαῦ τὰ ῥήματα Ἰσαὰκ || τοῦ πατρὸς αὐτοῦ, ἀνεβόησεν φωνὴν μεγάλην καὶ πικρὰν σφόδρα καὶ εἶπεν· εὐλόγησον δὴ κἀμὲ πάτερ. εἶπεν δὲ αὐτῷ· ἐλθὼν ὁ ἀδελφός σου μετὰ δόλου ἔλαβεν τὴν εὐλογίαν σου.[7]» τὸ οὖν εἰπεῖν αὐτῷ· «ἐλθών σου μετὰ δόλου» σημαίνει μυστικῶς, ὅτι ἤμελλεν ὁ λόγος τοῦ θεοῦ σαρκωθεὶς μορφὴν δούλου λαμβάνειν, ἵνα διὰ τοῦ ἀγνώστου γεννηθεὶς ἀναδέξηται τὴν εὐλογίαν παρὰ τοῦ πατρός, μεταδιδοὺς καὶ ἡμῖν τοῖς ἐπ' αὐτὸν πιστεύουσιν. ὁ δὲ ἀκούσας ἔφη· «δικαίως ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰακώβ· ἐπτέρνικεν γάρ με ἰδοὺ δεύτερον τοῦτο· τά τε πρωτοτόκιά μου εἴληφεν καὶ νῦν ἔλαβεν τὴν εὐλογίαν μου. καὶ ἐνεκότει Ἠσαῦ τῷ Ἰακώβ, καὶ εἶπεν ἐν τῇ διανοίᾳ αὐτοῦ λέγων· πότε ἐγγίσωσιν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, ἵνα || ἀποκτείνω Ἰακὼβ τὸν ἀδελφόν μου;[8]» πῶς σαφῶς ἐνθάδε προανεφώνησεν ἡ γραφή· καὶ γὰρ ὁ λόγος πατὴρ τοῦ λαοῦ ἐδείκνυτο, ὃς ἐπ' ἐσχάτων διὰ τῆς σαρκὸς ἐπὶ τὸ πάθος ἤγγισεν. ὡς Μωσῆς ὀνειδίζων τὸν λαὸν λέγει· «ταῦτα κυρίῳ ἀνταποδίδοτε, οὐκ αὐτός σου πατήρ;[9]» διέστειλεν οὖν ἡ γραφή, ἵνα νοήσωμεν τὸ εἰρημένον. τὸ γὰρ εἰπεῖν τὸν Ἠσαῦ· «πότε ἐγγίσωσιν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου;[10]» περὶ τῶν ἡμερῶν τοῦ πάσχα διηγεῖται, ἐν αἷς παρῆν ὁ λόγος κηρύσσων αὐτοῖς τὴν βα-

1. Γεν. 27, 31. 2. Γεν. 27, 32-33. 3. Γεν. 27, 29. 4. Γεν. 27, 33. 5. Γεν. 27, 33. 6. Γεν. 25, 26. 7. Γεν. 27, 34-35. 8. Γεν. 36, 41. 9. Δευτ. 32, 6. 10. Γεν. 27, 41.

σιλείαν. τὸ δὲ «ἵνα ἀποκτείνω Ἰακὼβ τὸν ἀδελφόν μου[1]», ἵνα δειχθῇ αὐτὸς ὁ ἄνθρωπος, ὁ κατὰ σάρκα ἐκ τοῦ Ἰακὼβ γεννηθεὶς καὶ ὑπ' αὐτοῦ ἐπὶ ξύλου προσηλωθείς. IX. φησὶν οὖν πρὸς αὐτόν· «οὐχ ὑπελίπου μοι εὐλογίαν πάτερ;[2]» ἵνα γὰρ πᾶν τὸ πλήρωμα τῆς θεότητος σω||ματικῶς ἐν τῷ Χριστῷ κατοικοῦν εὑρεθῇ. ὁ δὲ πρὸς αὐτὸν ἔφη· «εἰ κύριον αὐτὸν ἐποίησά σου καὶ πάντας τοὺς ἀδελφοὺς αὐτοῦ πεποίηκα αὐτοῦ οἰκέτας, σίτῳ καὶ οἴνῳ ἐστήριξα αὐτόν, σοὶ δὲ τί ποιήσω τέκνον; κατανυχθέντος δὲ Ἰσαὰκ ἐβόησεν φωνῇ Ἡσαῦ καὶ ἔκλαυσεν.[3]» τὸ οὖν κατανυγῆναι τὸν Ἰσαὰκ τὸ ἐπισπλαγχνισθῆναι τὸν λόγον ἐπὶ τῷ τοῦ λαοῦ παραπτώματι. καὶ γὰρ ὁ σωτὴρ δεόμενος ὑπὲρ αὐτῶν ἔλεγεν· «πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασιν ὃ ποιοῦσιν.[4]» τὸ δὲ ἀναβοήσαντα τὸν Ἡσαῦ κλαῦσαι τὸ μετανοῆσαι αὐτοὺς ἐφ' ᾧ ἔπραξαν ἔργῳ. ὡς καὶ ἐν ταῖς πράξεσιν τῶν ἀποστόλων γέγραπται· «ἀκούσαντες γὰρ αὐτὰ κατενύγησαν τῇ καρδίᾳ, εἰπόντες πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς || ἀποστόλους· τί ποιήσωμεν ἄνδρες ἀδελφοί; οἱ δὲ εἶπον· μετανοήσατε καὶ βαπτισθήτω ἕκαστος ὑμῶν εἰς τὸ ὄνομα Ἰησοῦ Χριστοῦ, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος· ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ τοῖς τέκνοις ἡμῶν καὶ πᾶσιν τοῖς εἰς μακράν, ὅσους ἂν προσκαλέσηται κύριος ὁ θεὸς ἡμῶν.[5]» αὕτη οὖν ἡ εὐλογία, ἣν ἐζήτει λαβεῖν ὁ Ἡσαῦ τότε. X. ἀλλ' ἐπειδὴ καιρὸς οὐκ ἦν, προφητεύων Ἰσαὰκ τὰ μέλλοντα φησὶν πρὸς αὐτόν· «ἰδοὺ ἀπὸ τῆς πιότητος τῆς γῆς ἔσται ἡ κατοίκησίς σου καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἄνωθεν καὶ ἐπὶ τῇ μαχαίρᾳ σου ζήσει καὶ τῷ ἀδελφῷ σου δουλεύσεις· ἔσται δὲ ἡνίκα ἂν καθέλῃς καὶ ἐκλύσῃς τὸν ζυγὸν ἀπὸ τοῦ τραχήλου σου.[6]» τὰ μὲν εἰρημένα ὑπὸ τοῦ μακαρίου Ἰσαὰκ || πότερον εὐλογίας ἔχει δύναμιν ἢ προφητείας; χρὴ γὰρ νοεῖν τὰ προκείμενα. ἰδοὺ φησιν· «ἀπὸ τῆς πιότητος τῆς γῆς ἔσται ἡ κατοίκησίς σου, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἄνωθεν.[7]» συνέβη γὰρ κατοικῆσαι τὸν λαὸν ἐν τῇ γῇ τῶν Χαναναίων, ἣν διένειμεν αὐτοῖς Ἰησοῦς ὁ τοῦ Ναυῆ. τὸ δὲ εἰπεῖν «καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἄνωθεν», ὅτι οἱ προφῆται νεφέλης δίκην ἐδρόσιζον αὐτοὺς γνώσαντες αὐτοῖς τὰ τοῦ θεοῦ λόγια.

τὸ δὲ εἰπεῖν «ἐπὶ τῇ μαχαίρᾳ σου ζήσεις[8]», ὅτι ἀεὶ ὁ λαὸς οὐκ ἐπαύσατο πολεμῶν καὶ πολεμούμενος πρὸς τὰ κύκλωθεν ἔθνη κατοικοῦντα, καθὼς αὐταὶ αἱ γραφαὶ δηλοῦσιν. τὸ δὲ εἰπεῖν «καὶ τῷ ἀδελφῷ σου δουλεύσεις» σημαίνει τὸν νῦν ἐνεστῶτα καιρόν, ἐν ᾧ παρῆν ὁ σωτὴρ || ἐπισκεψάμενος τοὺς ἰδίους κατὰ σάρκα ἀδελφούς, ᾧ παραινεῖ ὁ προφήτης ὑπήκοον γενάμενον δουλεύειν. διὰ τοῦτο ἔφη· «ἔσται δὲ ἡνίκα ἂν καθέλῃς καὶ ἐκλύσῃς τὸν ζυγὸν ἀπὸ τοῦ τραχήλου σου[9]»

1. Γεν. 27, 41. 2. Γεν. 27, 36. 3. Γεν. 27, 37-38. 4. Λουκ. 23, 34. 5. Πράξ. 2, 37-39. 6. Γεν. 27, 39-40. 7. Γεν. 27, 39. 8. Γεν. 27, 40. 9. Γεν. 27. 40.

ποῖον ζυγόν, ἀλλ' ἢ τὸν ἐν τῷ νόμῳ κείμενον; ἵνα μηκέτι νῦν δοῦλοι ὑπὸ ζυγὸν νόμου πολιτεύωνται, ἀλλὰ ἐλεύθεροι τῷ εὐαγγελίῳ πιστεύοντες καὶ νῦν σωθῆναι δύνωνται. τῶν οὖν μακαρίων προφητῶν κατὰ γενεὰν ἡμῖν τὰ τοῦ Χριστοῦ μυστήρια προκηρυξάντων τίς διστάζει ἐπὶ τούτοις προφανῶς λελαλημένοις; οἱ γὰρ τὰ προπαρῳχηκότα καὶ τὰ ἐνεστῶτα εἰπόντες πιστοὶ ὑφ' ἡμῶν κρίνονται, πῶς οὐχὶ καὶ τὰ μέλλοντα ἔσεσθαι;

XI. Προμηνύσαντες οὖν τὰς ὑπὸ τοῦ Ἰσαὰκ εἰρημένας || εὐλογίας, παρέλθωμεν καὶ ἐπὶ τὰς ὑπ' αὐτοῦ τοῦ Ἰακὼβ γεγενημένας πρὸς τοὺς υἱοὺς εὐλογίας. φησὶν γὰρ ἡ γραφὴ οὕτως· «ἰδὼν δὲ Ἰσραὴλ τοὺς υἱοὺς Ἰωσὴφ εἶπεν· τίνες σοι οὗτοι· ὁ δὲ εἶπεν· υἱοί μου εἰσίν, οὓς δέδωκέν μοι ὁ θεὸς ἐνταῦθα. καὶ εἶπεν· προσάγαγέ μοι αὐτούς, ἵνα εὐλογήσω αὐτούς. οἱ δὲ ὀφθαλμοὶ Ἰακὼβ ἐβαρύνθησαν ἀπὸ τοῦ γήρως, καὶ οὐκ ἠδυνήθησαν τοῦ βλέπειν. καὶ ἤγγισεν αὐτοὺς πρὸς αὐτόν, καὶ ἐφίλησεν αὐτοὺς καὶ περιέλαβεν. καὶ εἶπεν Ἰσραὴλ πρὸς Ἰωσήφ· ἰδοὺ τοῦ προσώπου σου οὐκ ἐστερήθην καὶ ἰδοὺ ἔδειξέν μοι ὁ θεὸς καὶ τὸ σπέρμα σου. καὶ ἐξήγαγεν αὐτοὺς Ἰωσήφ, τοὺς δύο υἱοὺς αὐτοῦ, τόν τε Ἐφραὶμ ἐν δεξιᾷ, ἐκ ἀριστερῶν δὲ τοῦ Ἰσραήλ, καὶ τὸν Μανασσῆν ἐν τῇ || ἀριστερᾷ, ἐξ δεξιῶν δὲ Ἰσραήλ, ἤγγισεν αὐτοὺς πρὸς αὐτόν. ἐκτείνας δὲ Ἰσραὴλ τὴν χεῖρα τὴν δεξιάν, ἐπέβαλεν ἐπὶ τὴν κεφαλὴν Ἐφραίμ, οὗτος δὲ ἦν ὁ νεώτερος, καὶ τὴν ἀριστερὰν ἐπὶ τὴν κεφαλὴν Μανασσῆ, ἐναλλάξας τὰς χεῖρας ηὐλόγησεν αὐτοὺς καὶ εἶπεν· ὁ θεός, ᾧ εὐηρέστησαν οἱ πατέρες μου ἐναντίον αὐτοῦ, Ἀβραὰμ καὶ Ἰσαάκ, ὁ θεὸς ὁ τρέφων με ἐκ νεότητός μου ἕως τῆς σήμερον ἡμέρας, ὁ ἄγγελος, ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν μου, εὐλόγησον τὰ παιδία ταῦτα, καὶ ἐπιτεθήσεται τὸ ὄνομά μου ἐπ' αὐτούς· καὶ τὸ ὄνομα τῶν πατέρων μου Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ πληθυνθείησαν εἰς πλῆθος πολὺ ἐπὶ τῆς γῆς.[1]»

Κεφ. ΙΒ. ταῦτα εἰπὼν ὁ προφήτης μυστήριον μέγιστον ἡμῖν ἐπέδειξεν. ἐν γὰρ τῷ ἐναλλάξαι || τὰς χεῖρας καὶ τὸν νεώτερον υἱὸν τοῦ Ἰωσήφ, λέγω δὴ τὸν Ἐφραίμ, εἰς τὰ δεξιὰ μεθιστάναι, τὸν δὲ Μανασσῆν τὸν πρωτότοκον εἰς τὰ ἀριστερά, ἔδειξεν δι' αὐτῶν δύο κλήσεις καὶ δύο λαοὺς γινομένους· καὶ τὸν μὲν νεώτερον διὰ πίστεως εἰς δεξιὰν τοῦ Χριστοῦ εὑρισκόμενον, τὸν δὲ πρεσβύτερον λαόν, τὸν ἐν τῷ νόμῳ καυχώμενον, εἰς ἀριστερὰν μετατιθέμενον. ὅθεν μὴ νοήσας ὁ Ἰωσὴφ πνευματικῶς τὸ γινόμενον ὑπὸ τοῦ προφήτου, οἰόμενος πλανᾶσθαι τὸν πατέρα, ἀντελάβετο αὐτοὺς καὶ εἶπεν· «οὐχ οὕτως, πάτερ, αὐτὸς γάρ ἐστιν ὁ πρωτότοκος, ἐπίθες τὴν δεξιάν σου ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. ὁ δὲ εἶπεν· οἶδα, τέκνον, καὶ αὐτὸς ἔσται μέγας καὶ αὐτὸς ὑψωθήσεται, ἀλλ' ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος μείζων αὐτοῦ ἔσται· καὶ ἔθηκεν || τὸν Ἐφραὶμ ἔμπροσθεν τοῦ Μανασσῆ.[2]» ἀλλ'

1. Γεν. 48, 8-16. 2. Γεν. 48, 18-20.

ἐπειδὴ λεληθότως πολλὰ ἔγκειται ἐν ταῖς ἁγίαις γραφαῖς καὶ τοῦτο ἀφθόνως διηγησόμεθα, τί λέγων ὁ μακάριος Ἰακὼβ ἰδιοποιήσατο τοὺς δύο υἱοὺς τοῦ Ἰωσήφ. τὸ γὰρ εἰπεῖν «οἱ δύο υἱοί, οἱ γενάμενοι ἐν Αἰγύπτῳ πρὸ τοῦ με ἐλθεῖν πρός σε εἰς Αἴγυπτον, ἐμοί εἰσιν, Ἐφραὶμ καὶ Μανασσῆς, ὡς Ῥουβὴμ καὶ Συμεὼν ἔσονταί μοι· τὰ δὲ ἔγγονα, ἃ γεννήσας μετὰ ταῦτα, σοὶ ἔσονται[1]», τοῦτο σημαίνει· ἐπειδὴ γὰρ δώδεκα ἦσαν υἱοὶ τοῦ Ἰακώβ, ἐξ ὧνπερ αἱ δώδεκα φυλαὶ γεγένηνται, τοὺς δύο υἱοὺς τοῦ Ἰωσὴφ εἰς δύο φυλὰς ἐμέρισεν, καὶ ἐγένοντο φυλαὶ δεκατρεῖς, τῆς φυλῆς Ἰωσὴφ εἰς τοὺς δύο υἱοὺς μερισθείσης· καὶ οὕτω οὐκ ἀργὸς ἦν Παῦλος ὁ ἀπόστολος, τρισ||καιδέκατος μετὰ τοὺς ἀποστόλους ἐκλεγεὶς ἐκ τοῦ ἀριθμοῦ τῶν φυλῶν κατελογίσθη καὶ οὕτως τοῖς ἔθνεσιν ἀπόστολος ἐπέμφθη.

XII. Τῶν οὖν ἁγίων γραφῶν κατὰ πάντα λόγον πληροφορουσῶν ἡμᾶς διὰ τῶν πεπληρωμένων, ἴδωμεν ἐν τοῖς ἑξῆς τί λέγει. «ἐκάλεσεν δὲ Ἰακὼβ τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπεν· συνάχθητε, ἵνα ἀναγγείλω ὑμῖν, τί ἀπαντήσει ὑμῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν· ἀθροίσθητε καὶ ἀκούσατε, υἱοὶ Ἰακώβ, ἀκούσατε Ἰσραὴλ τοῦ πατρὸς ὑμῶν.[2]» τὸ μὲν οὖν εἰπεῖν αὐτόν· «συνάχθητε, ἵνα ἀπαγγείλω ὑμῖν τί ἀπαντήσει ὑμῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν», προφητεία ἐστὶν τοῦτο, οὐκ εὐλογία· <ἡ μὲν γὰρ εὐλογία> φέρεται ἐπί τινι εὐλογουμένῳ, ἡ δὲ προφητεία γίνεται ἐπὶ ἔργῳ τινὶ τελουμένῳ. λεγούσης οὖν || τῆς γραφῆς· «πάντες οὗτοι υἱοὶ Ἰακὼβ δώδεκα. ταῦτα ἐλάλησεν αὐτοῖς ὁ πατὴρ αὐτῶν καὶ εὐλόγησεν αὐτοὺς ἕκαστον, κατὰ τὴν εὐλογίαν αὐτῶν ηὐλόγησεν αὐτούς[3]», πῶς συμφωνήσει τὸ προκείμενον, ποτὲ μὲν προφητεῖαι δεικνύμεναι, ποτὲ δὲ εὐλογίαι ὀνομαζόμεναι; ἐν τούτῳ δεῖ νοεῖν, ὅτι ἐν αὐτοῖς τοῖς ῥητοῖς καὶ εὐλογίαι κεῖνται καὶ προφητεῖαι, ἵνα αἱ μὲν εὐλογίαι καταντήσωσιν ἐπὶ τὸν ἐκ τοῦ Ἰούδα γενόμενον καὶ τὸν ἐν τῷ Ἰωσὴφ προτυπούμενον, τὸν ἐκ τοῦ Λευὶ ἱερέα τοῦ πατρὸς εὑρισκόμενον, αἱ δὲ προφητεῖαι ἐπὶ τοῖς τὰ ἐναντία πράξασιν καὶ τὸν υἱὸν τοῦ θεοῦ ἐξουδενήσασιν.

XIII. Ὅτι δὲ οὕτως ἔχει, αὐτὴ ἡ γραφὴ σαφέστερον διδάξει ἡμᾶς. φησὶν γάρ· «Ῥουβὴμ πρωτότοκός μου σὺ εἶ· || ἰσχύς μου καὶ ἀρχὴ τέκνων μου, σκληρὸς φέρεσθαι καὶ σκληρὸς αὐθάδης· ἐξύβρισας ὡς ὕδωρ, μὴ ἐκζέσῃς· ἀνέβης γὰρ ἐπὶ τὴν κοίτην τοῦ πατρός σου, τότε ἐμίανας τὴν στρωμνήν, οὗ ἀνέβης.[4]» τί οὖν, ἐροῦμεν προφητείαν τοῦτο ἢ εὐλογίαν; τὸ γὰρ λέγειν «σκληρὸς φέρεσθαι καὶ σκληρὸς αὐθάδης» καὶ τὸ «ἀνέβης ἐπὶ τὴν <κοίτην> τοῦ πατρός σου· τότε ἐμίανας τὴν στρωμνήν, οὗ ἀνέβης[5]» φαίνεται ἔλεγχος εἶναι μᾶλλον [ἢ] τοῦ γεγονότος πράγματος ἢ μέλλοντος γενέσθαι. ἀλλ' ἐρεῖ τις, τοῦτο εἰρηκέναι, ἐπειδὴ Ῥουβὴμ μετὰ Βάλλας τῆς παλλακῆς τοῦ πατρὸς αὐτοῦ κοιμηθεὶς ἐμίανεν τὴν κοίτην τοῦ πατρός. εὑρί-

1. Γεν. 48, 5-6. 2. Γεν. 49, 1-2. 3. Γεν. 49, 28. 4. Γεν. 49, 3-4. 5. Γεν. 49, 3-4.

σκεται οὖν κατὰ τὸν ἐκείνου λόγον ὁ προφήτης παρακολουθῶν. ἐν γὰρ τῷ εἰπεῖν αὐτόν· «συνάχθητε υἱοὶ Ἰακώβ, || ἵνα ἀπαγγείλω ὑμῖν τὰ συμβησόμενα ὑμῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν[1]», περὶ μελλόντων πραγμάτων τινῶν αἰνίττεται εἰπεῖν ὁ προφήτης. πῶς οὖν ἐνθάδε νομίσει τις αὐτὸν περὶ πράγματος γεγονότος λέγειν; ὡς γὰρ προφήτης κατὰ τοῦτον τὸν λόγον κρίνεται προφήτης, ὅταν περὶ μελλόντων διηγῆται, οὐ παρῳχηκότων πραγμάτων. οὐδὲ γὰρ μέγα ἢ παράδοξον νομισθήσεται, εἰ τὰ πρὸ δύο ἢ τριῶν ἐτῶν ὑφ' ἡμῶν ἑωραμένα, ταῦτα ὡς δῆθεν προφητεύοντες ἄλλοις ἐκδιηγούμεθα, ὑπὸ ὀφθαλμῶν ἑωρακότες τὰ γεγονότα. δείξωμεν οὖν τὸν προφήτην. λέγει γάρ· «Ῥουβὴμ πρωτότοκός μου σὺ εἶ, ἰσχύς μου καὶ ἀρχὴ τέκνων μου.[2]» καὶ τοῦτο μὲν τρίτον τινὲς ἀλληγοροῦντες φέρουσιν || ἐπὶ τὸν σωτῆρα, ὡς δῆθεν τοῦ πατρὸς προσομιλοῦντος τῷ ἰδίῳ υἱῷ.

ἀλλὰ τὰ ἐπιφερόμενα ῥητὰ βλάψει τὰς ἀκοὰς τῶν ἐντυγχανόντων. εἰ γὰρ νομίσει τις τοῦτο πρὸς τὸν σωτῆρα εἰρῆσθαι, καὶ τὰ ἀκόλουθα τίνι ἐπισυνάψει; ἀλλ' οὐχ οὕτως ἔχει. ὁ γὰρ Ῥουβὴμ πρωτότοκος ἦν τοῦ Ἰακὼβ υἱός, ὡς καὶ λαὸς πρωτότοκος ἦν, διὰ τοῦ νόμου εἰς υἱοθεσίαν κεκληρωμένος λαός. τὴν οὖν πρᾶξιν τοῦ Ῥουβήμ, τοῦ πρωτοτόκου, συνέκρινεν πρὸς τὴν μέλλουσαν ἔσεσθαι τοῦ προτέρου λαοῦ. τὸ γὰρ εἰπεῖν αὐτόν· «Ῥουβὴμ πρωτότοκός μου σὺ εἶ, ἰσχύς μου καὶ ἀρχὴ τέκνων μου[3]», δύναται πρὸς αὐτὸν τὸν Ῥουβὴμ ὁ Ἰακὼβ εἰρηκέναι. τὸ δὲ «σκληρὸς φέρεσθαι, καὶ σκληρὸς αὐθάδης[4]» ἐνορῶν τὸ πνεῦμα τὸ ἀπειθὲς || καὶ ἀνυπότακτον τοῦ γένους αὐτοῦ. καὶ γὰρ Μωϋσῆς ὁμοίως πρὸς αὐτοὺς ἔφη· «ὑμεῖς δὲ λαὸς σκληροτράχηλός ἐστε, προσέχετε αὐτοῖς, μήποτε θυμωθεὶς ὀργισθῇ κύριος <καὶ> ἐξολοθρεύσῃ ὑμᾶς.[5]» ἐν δὲ τῷ εἰπεῖν τὸν Ἰακώβ· «ἐξύβρισας ὡς ὕδωρ, μὴ ἐκζέσῃς[6]» ἐμείωσεν αὐτοῦ τὸ κατὰ σάρκα γένος, διὰ τὸ ἐνυβρίσαι αὐτοὺς τῷ νόμῳ καὶ ἐξυβρίσαι αὐτοὺς τὸν διὰ αὐτοῦ κηρυχθέντα λόγον. «ἀνέβης» γὰρ λέγει «ἐπὶ κοίτην τοῦ πατρός σου, τότε ἐμίανας τὴν στρωμνήν, οὗ ἀνέβης.[7]» κοίτην δὲ καὶ στρωμνὴν εἴρηκεν τὴν ἁγίαν σάρκα Χριστοῦ, ἐφ' ἣν οἱ ἅγιοι ὡς ἐπὶ κλίνην ἁγίαν ἀναπαυόμενοι σῴζονται· ἣν τότε λαβόντες οἱ ἄνομοι ἐνύβρισαν ὄξος τούτῳ προσφέροντες καὶ καλάμῳ κεφαλὴν τύπτοντες καὶ μάστιγας νώτῳ || ἐπιβαλόντες καὶ εἰς πρόσωπον αὐτοῦ ἐμπτύοντες καὶ ῥαπίσμασιν σιαγόνας δέροντες καὶ ἥλοις χερσὶν ἐμπηγνύοντες. ταῦτα πάντα ἔδρασεν ὁ ἀσεβὴς καὶ ἄπιστος λαὸς σὺν ἀρχιερεῦσιν καὶ γραμματεῦσιν καὶ πᾶσιν τοῖς ἄρχουσιν τοῦ λαοῦ. διὰ τοῦτο οὐδὲ τούτων τὸ ἔργον παρεσιώπησεν ὁ μακάριος προφήτης, οὐδὲ κοινωνὸς τῆς τούτων πονηρίας ἢ συμβουλίας γίνεσθαι θέλει, ἀλλ' ἐξαιρεῖται ἑαυτὸν τῆς τοιαύτης αὐτῶν κακομηχάνου πράξεως.

1. Γεν. 49, 1. 2. Γεν. 49, 3. 3. Γεν. 49, 3. 4. Γεν. 49, 3. 5. Ἔξ. 33, 5. 6. Γεν. 49, 4. 7. Γεν. 49, 4.

XIV. ΙΕ. «Συμεὼν καὶ Λευῒ ἀδελφοί, συνετέλεσαν ἀδικίαν ἐξαιρέσεως αὐτῶν. εἰς βουλὴν αὐτῶν μὴ ἔλθοι ἡ ψυχή μου· ὅτι ἐν τῷ θυμῷ αὐτῶν ἀπέκτειναν ἄνθρωπον καὶ ἐν τῇ ἐπιθυμίᾳ ἐνευροκόπησαν ταῦρον. ἐπικατάρατος ὁ θυμὸς αὐτῶν, ὅτι αὐθάδης καὶ ἡ μῆνις αὐτῶν, || ὅτι ἐσκληρύνθη. διαμεριῶ αὐτοὺς ἐν Ἰακὼβ καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ.[1]»

Καὶ ταῦτα μὲν ἴσως νομίσει τις ἐπὶ τῶν Σηκιμιτῶν λελαληκέναι τὸν μακάριον Ἰακώβ, ὀνειδίζοντα τοὺς δύο υἱούς, τόν τε Συμεὼν καὶ Λευΐ, ἐπειδὴ δόλῳ ἔπεισαν τοὺς Σηκιμίτας περιτμηθῆναι διὰ τὴν Δεῖνα, τὴν ἀδελφὴν αὐτῶν, ἣν ἔφθειρεν Ἐμώρ, υἱὸς τοῦ Συχέμ·[2] οἵτινες ὑπεισελθόντες τῇ τρίτῃ ἡμέρᾳ ἐφόνευσαν πάντας τοὺς κατοικοῦντας ἐν Σηκίμοις καὶ τὰ κτήνη αὐτῶν ἐπρονόμευσαν. ἀλλ' οὐχ οὕτως ἔχει· καὶ γὰρ αὐτοὶ τότε ἀπελογήσαντο τῷ πατρὶ τὴν αἰτίαν, ὅτι δικαίως ἐποίησαν. εἰπόντος γὰρ τοῦ πατρὸς αὐτῶν, ὅτι «μισητόν με πεποιήκατε, ὥστε πονηρόν με ἐν πᾶσιν τοῖς κατοικοῦσιν τὴν γῆν, ἔν τε τοῖς Χαναναίοις καὶ ἐν τοῖς Φερεζαίοις· ἐγὼ δὲ ὀλιγοστός || εἰμι ἐν ἀριθμῷ, καὶ συναχθέντες ἐπ' ἐμὲ συγκόψουσίν με καὶ ἐκτριβήσομαι ἐγώ τε καὶ ὁ λαός μου[3]», ἀπεκρίθησαν λέγοντες· «ἀλλ' ὡς πόρνῃ χρησθήσονται τῇ ἀδελφῇ ἡμῶν;[4]» ὅτι ἐπαινετοί εἰσιν μᾶλλον ἢ μεμπτέοι ἐν τούτῳ τῷ λόγῳ, οἵτινες νέοι τὴν ἡλικίαν ὑπάρχοντες οὕτως ἐζήλωσαν ἕνεκεν τῆς ἀδελφῆς αὐτῶν φθαρείσης τότε ὑπὸ τοῦ υἱοῦ τοῦ Συχέμ. καὶ αὐτὸς δὲ ὁ Ἰακὼβ μετὰ ταῦτα χαριζόμενος τὴν πόλιν τῷ μακαρίῳ Ἰωσὴφ ἔφη· «ἐγὼ δίδωμί σοι Σήκιμα ἐξαίρετον παρὰ πάντας τοὺς ἀδελφούς σου, ἣν ἔλαβον ἐκ χειρὸς Ἀμορραίων ἐν μαχαίρᾳ μου καὶ τόξῳ[5]», ὥστε καὶ αὐτὸς Ἰακὼβ μαρτυρεῖ δικαίως τοὺς Σηκιμίτας ἀναιρεῖσθαι. ποῖ οὖν πληροῦται ἡ προφητεία ἡ εἰρημένη· «Συμεὼν καὶ Λευῒ || ἀδελφοί, συνετέλεσαν ἀδικίαν ἐξαιρέσεως αὐτῶν· εἰς βουλὴν αὐτῶν μὴ ἔλθοι ἡ ψυχή μου, καὶ ἐν τῇ ἐπισυστάσει αὐτῶν μὴ ἐρίσαι τὰ ἥπατά μου;[6]»

ΙΣΤ'. ἀνάγνωθι τὸ εὐαγγέλιον καὶ εὑρήσεις τὸ γεγραμμένον· ἐκ γὰρ τῆς φυλῆς τοῦ Συμεὼν ἦσαν οἱ γραμματεῖς, ἐκ δὲ τοῦ Λευῒ οἱ ἀρχιερεῖς. ἐπεὶ οὖν τῇ τούτων βουλῇ καὶ γνώμῃ παρεδόθη ὁ Χριστὸς καὶ ὑπ' αὐτῶν ἀνῃρέθη, προειδὼς ὁ προφήτης λέγει· «εἰς βουλὴν αὐτῶν μὴ ἔλθοι ἡ ψυχή μου.[7]» βουλὴν δὲ λέγει, ἣν ἐβουλεύσαντο ζητοῦντες ἀφορμὴν κατὰ Ἰησοῦ, ὅπως αὐτὸν «δόλῳ κρατήσαντες ἀποκτείνωσιν.[8]» ὡς καὶ Ἡσαΐας λέγει· «οὐαὶ τῇ ψυχῇ αὐτῶν, ὅτι ἐβουλεύσαντο βουλὴν πονηρὰν καθ' ἑαυτῶν εἰπόντες· δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν.[9]» «καὶ ἐν τῇ ἐπισυστάσει || αὐτῶν μὴ ἐρίσαι τὰ ἥπατά μου.[10]» τότε γὰρ ἐπισυνήχθησαν ἐπ' αὐτὸν πάντες

1. Γεν. 49, 5-7. 2. Γεν. 34, 1 ἑξ. 3. Γεν. 34, 30. 4. Γεν. 34, 31. 5. Γεν. 48, 22. 6. Γεν. 49, 5-6. 7. Γεν. 49, 6. 8. Ματθ. 26, 4. 3. Ἡσ. 3, 9, 10. 10. Γεν. 49, 6.

οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ ἐπὶ τὴν οἰκίαν τοῦ ἡγεμόνος, αἰτούμενοι θάνατον κατ' αὐτοῦ. «ὅτι ἐν τῷ θυμῷ αὐτῶν ἀπέκτειναν ἀνθρώπους.[1]» τίνας δὲ ἀνθρώπους, ἀλλ' ἢ τοὺς μακαρίους προφήτας, οἵτινες ἐκπεμπόμενοι πρὸς αὐτοὺς ὑπ' αὐτῶν ἀπεκτείνοντο, τὴν ἀλήθειαν αὐτοῖς προκηρύσσοντες; «καὶ ἐν τῇ ἐπιθυμίᾳ αὐτῶν ἐνευροκόπησαν ταῦρον». ἐπιθυμίαν δὲ αὐτῶν εἴρηκεν τὴν τοῦ κόσμου, οἵτινες ἐπιθυμήσαντες τὰ ἐπίγεια ἀπώλεσαν τὰ ἐπουράνια, «τὸν ἀρχηγὸν τῆς ζωῆς[2]» ὡς ταῦρον ἀποκτείναντες. διὰ τοῦτο «ἐπικατάρατος ὁ θυμὸς αὐτῶν, ὅτι αὐθάδης, καὶ ἡ μῆνις αὐτῶν, ὅτι ἐσκληρύνθη.[3]» μῆνιν δὲ αὐτῶν εἴρηκεν τὴν ὀργήν, || ἐν ᾗ ἀεὶ ἐμμένοντες ἐσκλήρυναν τὸν ἑαυτῶν τράχηλον «τῷ ἁγίῳ Πνεύματι ἀντιπίπτοντες[4]» «διαμεριῶ αὐτοὺς ἐν Ἰακὼβ καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ.[5]» τίς δὲ ἦν Ἰακὼβ καὶ Ἰσραήλ, ἀλλ' ἢ ὁ ἅγιος τοῦ θεοῦ πρωτότοκος παῖς, ᾧ ἀπειθήσαντες διεσπάρησαν νῦν ἐν ὅλῳ τῷ κόσμῳ αἰχμάλωτοι ὑπὸ τῶν ἐχθρῶν γεγενημένοι; XV. ἐπεὶ οὖν φθάσαντες εἴπομεν, ὅτι ἐν αὐτοῖς τοῖς ῥητοῖς αἱ μὲν εὐλογίαι κεῖνται, αἱ δὲ προφητεῖαι, εὔλογόν ἐστιν πεῖσαι τοὺς φιλομαθεῖς, μὴ λόγῳ μόνον ἐπιδεῖξαι, ἀλλὰ δυνάμει ῥητῶν φανερῶσαι τὰ προκείμενα. λέγει γὰρ εὐλογῶν τὸν Ἰούδαν

ΙΖ. οὕτως· «Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου· αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου· προσκυνήσουσίν σοι οἱ υἱοὶ τοῦ πατρός σου. καὶ σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης. || ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν; οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν· δεσμεύων πρὸς ἄμπελον τὴν ὄνον αὐτοῦ καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ. πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ· χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου· καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ὡσεὶ γάλα.[6]» πῶς δύναται ὅμοια εἶναι τὰ ῥήματα ταῦτα τοῖς ἐπάνω ἐπὶ τὸν Ῥουβὴμ εἰρημένοις; ἐκεῖ γὰρ λέγει· «σκληρὸς αὐθάδης ἐξυβρίσας ὡς ὕδωρ, μὴ ἐκζέσῃς· ἀνέβης γὰρ ἐπὶ τὴν κοίτην τοῦ πατρός σου, τότε ἐμίανας τὴν στρωμνήν, οὗ ἀνέβης[7]», καὶ τὸ εἰρημένον· «ἐπικατάρατος || ὁ θυμὸς αὐτῶν, ὅτι αὐθάδης καὶ ἡ μῆνις αὐτῶν, ὅτι ἐσκληρύνθη.[8]» οὗτοι γὰρ οὐκ εὐλογίας εἰσὶν λόγοι, ἀλλ' ἔλεγχος προφητείας ἐπ' αὐτοῖς ἀποκαλυπτομένης. τὸ δὲ εἰπεῖν· «Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου, αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου, καὶ προσκυνήσουσίν σοι οἱ υἱοὶ τοῦ πατρός σου[9]», καὶ τοῦτο εὐλογία φαίνεται εἶναι. ἀλλ' ἐρεῖ τις· τίνι λόγῳ ἔδοξεν τῷ προφήτῃ ἐπὶ μὲν τοῦ Ἰούδα τοιαύτην εὐλογίαν

1. Γεν. 49, 6. 2. Πράξ. 3, 15. 3. Γεν. 49, 7. 4. Πράξ. 7, 51. 5. Γεν. 49, 7. 6. Γεν. 49, 8-12. 7. Γεν. 49, 3-4. 8. Γεν. 49, 7. 9. Γεν. 49, 8.

ἐπενεγκεῖν, ἐπὶ δὲ τοῖς πρώτοις οὐχ οὕτως; μάθε. ἐπειδὴ γὰρ ἐκ τῆς 'Ιούδα φυλῆς ἔμελλεν ὁ Δαβὶδ γεννᾶσθαι, ἐκ δὲ τοῦ Δαβὶδ τὸ κατὰ σάρκα Χριστός, προγινώσκων τὸν ἐκ τοῦ 'Ιούδα καὶ Δαβὶδ μέλλοντα κατὰ σάρκα γεννᾶσθαι Χριστόν, ἵνα τὴν εὐλογίαν μὴ μόνον τὴν πνευματικὴν ὑπὸ θεοῦ λάβῃ, ἀλλὰ καὶ τὴν κατὰ σάρκα || εὐλογίαν. ὡς καὶ διὰ 'Ιερεμία λέγει· «πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε, καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε καὶ προφήτην εἰς ἔθνη τέθεικά σε.[1]» τὸ δ' ἐκ κοιλίας ἡγιασμένον ἤδη παρὰ θεοῦ εὐλογεῖται. ἀλλ' ἐρεῖς· τί οὖν τὸν Λευὶ οὕτως οὐκ εὐλόγησεν; εὑρίσκομεν γὰρ ἐκ τῆς φυλῆς Λευὶ τὸν Χριστὸν ἱερέα τοῦ πατρὸς δεικνύμενον, ἐπιμιγνύντα τὴν φυλήν, ἵνα ἐξ ἀμφοτέρων αὐτῶν καὶ βασιλεὺς καὶ ἱερεὺς τοῦ θεοῦ ἀποδειχθῇ.

ΙΗ. ὁ μὲν οὖν 'Ιακὼβ ἐνορῶν τὴν πρᾶξιν τῶν ἀρχιερέων, Ἄννα τε καὶ Καϊάφα, ἣν ἐτόλμησαν ἐπὶ τὸν υἱὸν τοῦ θεοῦ, διὰ τὸ εἶναι αὐτοὺς ἐκ φυλῆς Λευὶ οὐκ ηὐλόγησεν τὸν Λευί, ἀλλὰ μᾶλλον αὐτοὺς ἐπέπληξεν. ἐλθὼν δὲ ὁ μακάριος Μωϋσῆς τὸν ἐξ 'Ααρὼν καὶ Λευὶ γενόμενον ηὐλόγησεν || εἰπών· «δότε Λευὶ δήλους αὐτοῦ, καὶ τὴν ἀλήθειαν αὐτοῦ τῷ ἀνδρὶ τῷ ὁσίῳ.[2]» τὸ οὖν ἐλλεῖπον ἐν ταῖς εὐλογίαις αὐτοῦ Μωϋσῆς παρὼν ἀνεπλήρωσεν. καὶ περὶ μὲν τούτων ἐν τῇ διατάξει τῶν Μωϋσέως εὐλογιῶν ἀποδώσωμεν τὸν λόγον, νυνὶ δὲ πρὸς τὸ προκείμενον ἐροῦμεν. XVI. λέγει οὖν 'Ιακὼβ οὕτως· «'Ιούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου, αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν· προσκυνήσουσίν σε οἱ υἱοὶ τοῦ πατρός σου.[3]» τίνες δὲ οἱ ἀδελφοί, οἱ αἰνέσαντες καὶ προσκυνήσαντες αὐτόν, ἀλλ' ἢ οἱ ἀπόστολοι, πρὸς οὓς ἔλεγεν ὁ κύριος· ἀδελφοί μου καὶ συγκληρονόμοι; τὸ δὲ εἰπεῖν «αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου», ἤτοι διὰ τῆς ἐκτάσεως τῶν χειρῶν ἴσχυσεν κατὰ τῶν ἐχθρῶν θριαμβεῦσαι τὰς ἐξουσίας, ἢ ὅτι τῶν κατὰ σάρκα γενομένων || αὐτοῦ ἐχθρῶν ἐγένετο κύριος καὶ δεσπότης καὶ κριτὴς πάντων ὑπὸ πατρὸς κατασταθείς. «σκύμνος λέοντος 'Ιούδα ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης.[4]» λέοντα οὖν καὶ σκύμνον λέοντος εἰπὼν σαφῶς τὰ δύο πρόσωπα ἐπέδειξεν, τοῦ πατρὸς καὶ υἱοῦ. τὸ δὲ εἰπεῖν· «ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης», ἵνα τὴν κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ δείξῃ, ὃς ἐν κοιλίᾳ παρθένου ἐκ πνεύματος ἁγίου σαρκωθεὶς ἐβλάστησεν ἐν αὐτῇ καὶ ὡς ἄνθος καὶ ὀσμὴ εὐωδίας εἰς κόσμον προελθὼν ἐφανερώθη. ἐπεὶ οὖν σκύμνον λέοντος εἶπεν τὴν κατὰ πνεῦμα αὐτοῦ γέννησιν ἐκ θεοῦ, ὡς ἐκ βασιλέως βασιλέα γενόμενον ἔδειξεν. οὐκ ἐσιώπησεν δὲ αὐτοῦ καὶ τὴν κατὰ σάρκα, ἀλλά φησιν· «ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης». 'Ησαΐας γὰρ λέγει· «ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης || 'Ιεσσαὶ <καὶ ἄνθος ἐκ τῆς ῥίζης> ἀναβήσεται.[5]» ἡ οὖν ῥίζα τοῦ

1. 'Ιερ. 1, 5. 2. Δευτ. 33, 8. 3. Γεν. 49, 8. 4. Γεν. 49, 4. 5. 'Ησ. 11, 1.

'Ιεσσαὶ ἦν τῶν πατέρων γενεὰ ὡς ῥίζα ἐν γῇ πεφυτευμένη, ἡ δὲ ῥάβδος ἡ ἐξ αὐτῶν φανερωθεῖσα ἦν ἡ Μαρία, «διὰ τὸ εἶναι ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ.[1]» τὸ δὲ ἄνθος τὸ ἐν αὐτῇ βλαστῆσαν ἦν ὁ Χριστός, ὅπερ προφητεύων ὁ 'Ιακὼβ ἔλεγεν· «ἐκ βλαστοῦ υἱέ μου ἀνέβης.[2]» τὸ δὲ «ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος[3]», ἵνα τὴν κοίμησιν τῆς τριημέρου αὐτοῦ ταφῆς ἐπιδείξῃ, ἣν ἀνεπαύσατο ἐν τῇ καρδίᾳ τῆς γῆς. ὡς καὶ αὐτὸς ὁ κύριος ἐμαρτύρησεν εἰπών· «ὥσπερ 'Ιωνᾶς ἐποίησεν ἐν τῇ καρδίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, <οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας>.[4]» καὶ Δαβὶδ προαναφωνῶν λέγει· «ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι κύριος ἀντιλήψεταί μου.[5]» ὁμοίως δὲ καὶ 'Ιακώβ· «τίς ἐγερεῖ αὐτόν;[6]»..., ἀλλὰ τίς, || ἵνα νοήσωμεν τὸν πατέρα τὸν ἐγείραντα τὸν υἱὸν ἐκ νεκρῶν. [ἐὰν δὲ πατέρα ἀκούσῃς, μὴ χώριζε τὸν υἱόν, ἀλλ' ἀεὶ μνημόνευε τοῦ κυρίου λέγοντος· «ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί.[7]» ὅτε οὖν ὁ πατὴρ ἤγειρεν τοῦτον ἐν υἱῷ ἤγειρεν, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν καὶ τὸ τῶν ἀνθρώπων διέσωσεν γένος.] καὶ ὁ ἀπόστολος λέγει· «καὶ θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν.[8]» καὶ ὁ Πέτρος λέγει· «ὃν ὁ θεὸς ἤγειρεν, λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθ' ὅτι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ.[9]» εἴ γε ἀκατάσχετος καὶ ἀπαθὴς ὁ τοῦ θεοῦ ἐστιν υἱός. XVII. εἶτα λεπτομερῶς διδάσκων ἡμᾶς τὴν κατὰ σάρκα γέννησιν αὐτοῦ φησίν· «οὐκ ἐκλείψει ἄρχων ἐξ 'Ιούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ, ᾧ ἀπόκειται, καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν.[10]» ὅτι μὴν οὐ||κ ἐξέλιπεν ἄρχων οὐδὲ ἡγούμενος ἐκ τῆς φυλῆς 'Ιούδα, ἕως παρῆν ὁ σωτήρ, συνέστηκεν· καὶ γὰρ τὸ εὐαγγέλιον ὁμοίως μαρτυρεῖ. καὶ ὅτι γεννηθεὶς ὁ σωτὴρ ἐγένετο προσδοκία ἐθνῶν τῶν ἕως σήμερον εἰς αὐτὸν πιστευόντων, καὶ τοῦτο φανερόν. τίνα γὰρ προσδοκῶμεν ἀπ' οὐρανῶν ἐπὶ τῇ ἡμῶν αὐτῶν σωτηρίᾳ, εἰ μὴ ᾧ ἀπέκειτο πληρῶσαι νόμον καὶ προφήτας; XVIII. εἶτα φησίν· «δεσμεύων πρὸς ἄμπελον τὴν ὄνον αὐτοῦ καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ[11]», σημαίνων τὰς δύο κλήσεις πρὸς αὐτὸν ὡς ἄμπελον δεσμευομένας καὶ τῇ αὐτοῦ ἀγάπῃ εἰς ἑνότητα συναγομένας, ὄνον καὶ πῶλον ἐπὶ τῷ αὐτῷ διὰ λόγου καθαιρομένους, ἐφ' οἷς ὁ σωτὴρ ἐπιβὰς εἰσῄει εἰς 'Ιεροσόλυμα.[12] εἶτα ἐπιφέρει λέγων· «πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ.[13]» || πῶς ἐνθάδε μυστικῶς καὶ τὸ βάπτισμα αὐτοῦ ἐμήνυσεν, ἡνίκα ἀναβὰς ἐκ τοῦ 'Ιορδάνου καὶ ἀπολούσας τὰ ὕδατα ἔλαβε τὴν χάριν καὶ τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος [τοῦτο δὲ ἐγένετο, ἵνα πιστεύσωσιν οἱ ὁρῶντες· οὐ γὰρ ἐλεί-

1. Λουκ. 2, 4. 2. Γεν. 49, 9. 3. Γεν. 49, 9. 4. Ματθ. 12, 40. 5. Ψαλμ. 3, 6. 6. Γεν. 49, 9. 7. 'Ιω. 14, 10. 8. Γαλ. 1, 1. 9. Πράξ. 2, 24. 10. Γεν. 49, 10. 11. Γεν. 49, 11. 12. Ματθ. 21, 7. 13. Γεν. 49, 11.

πετο τοῦ ἁγίου πνεύματος ὁ κύριος, ὁ πᾶσιν ἐπιχορηγῶν τὴν τοῦ ἁγίου πνεύματος χάριν κατὰ τὸ γεγραμμένον·

K. «Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν τὴν σάρκα[1]», <στολὴν μὲν τὴν σάρκα>, οἶνον δὲ τὸ καταβὰν ἐπ' αὐτὸν ἐν τῷ Ἰορδάνῃ πατρικὸν πνεῦμα. καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν τοῦ λόγου.[2]» σημαίνει τὰ ἔθνη, ἅτινα ὡς περιβόλαιον ἐλογίσθησαν αὐτόν, καθὼς διὰ τοῦ προφήτου λέγει· «κύριος ἡμῶν πάντας αὐτοὺς ἐνδύσει ὡς ἱμάτιον.[3]» ἐπεὶ οὖν σταφυλὴ καὶ βότρυς αὐτὸς ἦν ἐπὶ ξύλου κρεμασθείς, ὃς νυχθεὶς τὴν πλευρὰν || προήγαγεν αἷμα καὶ ὕδωρ[4], τὸ μὲν εἰς λουτρόν, τὸ δὲ εἰς ἀγορασμόν· ὡς ὁ προφήτης ἔφη· «πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ». XIX. εἶτα φανερῶν τούς τε προφήτας αὐτοῦ καὶ ἀποστόλους φησίν· «χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα.[5]» ὀφθαλμοὶ οὖν οἱ τοῦ Χριστοῦ ἐγένοντο οἱ προφῆται, χαίροντες ἐπὶ τῇ τοῦ πνεύματος δυνάμει καὶ προκηρύσσοντες τὰ εἰς αὐτὸν συμβησόμενα πάθη, ἅτινα καὶ ταῖς μεταγενεστέραις διηκόνησαν γενεαῖς, ὅπως πιστεύσας ὁ ἄνθρωπος σωθῆναι δυνηθῇ. τὸ δὲ εἰπεῖν αὐτόν· «λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα[6]», ἤτοι τοὺς ἀποστόλους ἐσήμανεν τοὺς ὑπὸ τοῦ λόγου ἁγιασθέντας καὶ ὡς γάλα γεννηθέντας, οἵτινες μετέδωκαν ἡμῖν τὴν πνευματικὴν || καὶ ἐπουράνιον τροφήν, ἣ οὖν πάλιν τὰς ἐντολὰς τοῦ κυρίου λέγει, τὰς ἐκ στόματος ἁγίου προελθούσας, γάλα δὲ ἡμῖν γεγενημένας, ἵνα ἐν αὐταῖς ἀνατραφέντες καὶ ἄρτου ἐπουρανίου μεταλαβεῖν δυνηθῶμεν.

XX. Εἶτά φησιν· «Ζαβουλὼν παράλιος κατοικήσει καὶ αὐτὸς παρ' ὅρμον πλοίων καὶ παρατενεῖ ἕως Σιδῶνος.[7]» διὰ μὲν τοῦ Ζαβουλὼν ἐν τύπῳ προαναφωνεῖ τὰ ἔθνη, ἅτινα νῦν παραλίαν ἐν τῷ κόσμῳ κατοικοῦντα ὡς ἐν θαλάσσῃ τοῖς πειρασμοῖς χειμάζονται παρορμῶντα καὶ καταφεύγοντα ἐν λιμέσι, ταῖς ἐκκλησίαις. ὅρμον γὰρ πλοίων τὰς ἐκκλησίας εἴρηκεν, αἵ εἰσιν ἐν κόσμῳ ὡς λιμένες ἡπλωμέναι καταφυγὴ τοῖς πιστεύουσιν γινόμεναι. ὡς καὶ ὁ προφήτης λέγει· KA. «Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλὴμ || ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου· ὁ λαὸς ὁ καθήμενος ἐν σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς[8]», <δηλῶν> τὸ πιστὸν τοῦ λαοῦ. τῷ δὲ εἰπεῖν «παρατενεῖ ἕως Σιδῶνος» ἔδειξεν τὴν μακροθυμίαν τοῦ θεοῦ, ὃς παρέτεινεν τοὺς χρόνους ἕως ἐσχάτων ἡμερῶν, ἵνα καὶ τὰ νῦν πιστεύοντα ἔθνη σωθῆναι δυνηθῇ· Σιδὼν γὰρ γίνεται πρωτότοκος υἱὸς τοῦ Χάμ, ὃς ὑπὸ κατάραν τοῦ πατρὸς διὰ τὴν ἁμαρτίαν πέπτωκεν, οὗπερ νῦν τὸ γένος πιστεῦον τὰ ἐπὶ Χριστὸν εὐλογεῖται.

XXI. «Ἰσσάχαρ τὸ καλὸν ἐπεθύμησεν καὶ ἀνεπαύσατο ἀνὰ μέσον

1. Ἰωὴλ 2, 28. Πράξ. 2, 17. 2. Γεν. 49, 11. 3. Ἠσ. 49, 18. 4. Ἰω. 19, 34. 5. Γεν. 49, 12. 6. Γεν. 49, 12. 7. Γεν. 49, 13. 8. Ἠσ. 9, 12.

τῶν κλήρων· καὶ ἰδὼν τὴν ἀνάπαυσιν ὅτι καλὴ καὶ τὴν γῆν ὅτι πίων ὑπέθηκεν τὸν ὦμον αὐτοῦ εἰς τὸ πονεῖν καὶ ἐγενήθη ἀνὴρ γεωργός.[1]» τὸν μὲν οὖν Ἰσσάχαρ μεταφορικῶς ἀλληγορεῖ ἐπὶ τὸν <υἱόν>, || ὃς μόνος ἐκ νηπίου τὸ καλὸν ἐπεθύμησεν. ὡς καὶ Ἠσαΐας λέγει· «πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν.[2]» «ἀναπαυόμενος», ἀναπεσὼν ἐν τῷ τῶν προφητῶν κλήρῳ, ἵνα πληρώσῃ τὰ ὑπ' αὐτῶν λελαλημένα. καὶ γὰρ ἐν τῷ ὄρει ὤφθησαν Μωϋσῆς καὶ Ἠλίας ἐν δεξιᾷ καὶ ἐξ εὐωνύμων συνομιλοῦντες αὐτῷ[3], ἵνα ἐν μέσῳ τούτων ἀναπαυόμενος ὁ σωτὴρ δειχθῇ. «ἰδὼν οὖν τὴν ἀνάπαυσιν[4]» τῶν ἁγίων, «ὅτι καλή, καὶ τὴν γῆν ὅτι πίων ὑπέθηκεν τὸν ὦμον αὐτοῦ εἰς τὸ πονεῖν καὶ ἐγενήθη ἀνὴρ γεωργός.[5]» «ὑπέθηκεν τὸν ὦμον αὐτοῦ·[6]» ποῦ ἀλλ' ἢ ὑπὸ τὸν σταυρόν, ὃν βαστάζων μετὰ παρουσίας ἐπορεύετο; ὡς καὶ Ἠσαΐας λέγει· «οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ.[7]» αὐτὸς ὑποθεὶς ὦμον ὑπὸ τὸ ἄροτρον || καὶ πόνῳ ἀναδεξάμενος πάσας τὰς ὑπ' αὐτῶν γεγενημένας ὕβρεις ἐγένετο ἀνὴρ τῆς ἐκκλησίας τὸ καλὸν γεώργιον γεωργῶν.

XXII. «Δὰν κρινεῖ τὸν λαὸν αὐτοῦ, ὡσεὶ καὶ μία φυλὴ ἐν Ἰσραήλ· καὶ γενηθήτω Δὰν ὡς ὄφις ἐφ' ὁδοῦ, ἐγκαθήμενος ἐπὶ τρίβου δάκνων πτέρναν ἵππου· καὶ πεσεῖται ἱππεὺς εἰς τὰ ὀπίσω τὸ σωτήριον περιμένων κυρίου.[8]» Δάν, φησίν, KB. «κρινεῖ τὸν λαὸν αὐτοῦ ὡσεὶ καὶ μία φυλὴ ἐν Ἰσραήλ.» ὅπερ καὶ τοῦτο μερικῶς γεγένηται ἐπὶ τὸν Σαμψών, ὃς ἐκ τῆς φυλῆς τοῦ Δὰν γεννηθεὶς ἔκρινεν τὸν λαὸν εἴκοσιν ἔτη·[9] τὸ καθ' ὅλου δὲ πληρωθήσεται ἐπὶ τὸν ἀντίχριστον, ὃς κριτὴς δεινὸς καὶ τύραννος βασιλεὺς γεννηθεὶς κρινεῖ μὲν τὸν ἑαυτοῦ λαόν, ἀντικείσεται δέ, «ὄφις ἐφ' ὁδοῦ παρακαθήμενος[10]» τὸν τῆς ἀληθείας λόγον δάκνειν πει||ρώμενος καὶ ἀναιρεῖν τοὺς ὁδεύοντας ὀρθῶς. τὸ γὰρ εἰρηκέναι τὸν προφήτην· «δάκνων πτέρναν ἵππου», πειράζων τοὺς τὴν ἀληθινὴν καὶ σωτήριον ὁδὸν κηρύσσοντας. ὡς καὶ τοὺς ἀποστόλους ἐπείρασεν καὶ τὸν Ἰούδαν πτερνίσας κατέλαβεν καὶ τὸν ἱππέα δι' αὐτοῦ εἰς θάνατον παρέδωκεν. ὡς «ἱππεὺς εἰς τὰ ὀπίσω», τουτέστιν ἀπὸ τῶν ἐσχάτων ἐπὶ τὰ πρῶτα περιμείνας τὴν σωτηρίαν παρὰ κυρίου, ἀνήγειρεν καὶ ἀνώρθωσεν τὰ τοῦ Ἀδὰμ σφάλματα.

XXIII. «Γὰδ πειρατήριον πειρατεύει αὐτόν, καὶ αὐτὸς δὲ πειρατεύει αὐτὸν κατὰ πόδας.[11]» πειρατήριον λέγει τὸ πονηρὸν συνέδριον τῶν ἀρχιερέων καὶ γραμματέων, οἵτινες ἐξεπείραζον τὸν σωτῆρα ποικίλοις πειρασμοῖς, βουλόμενοι ἀφορμὴν εὑρεῖν κατ' αὐτοῦ, ὅπως αὐτὸν δόλῳ κρατήσαντες ἀποκτείνωσιν. || ὃς ἰδὼν τοὺς δια-

1. Γεν. 49, 14-15. 2. Ἠσ. 7, 16. 3. Ματθ. 17, 3. 4. Γεν. 49. 15. 5. Γεν. 49, 15. 6. Γεν. 49, 15. 7. Ἠσ. 9, 6. 8. Γεν. 49, 16-18. 9. Κριτ. 13, 1 ἑξ. 10. Γεν. 49, 17. 11. Γεν. 49, 19.

λογισμοὺς αὐτῶν ἀντεπείρασεν αὐτοὺς ἐν τῇ ἑαυτοῦ δικαιοσύνῃ καὶ ἐν τῇ ἰδίᾳ αὐτῶν ἁμαρτίᾳ τῷ θανάτῳ παρέδωκεν. ὡς καὶ ἐν τῷ εὐαγγελίῳ γέγραπται· «τότε προσῆλθον αὐτῷ τινες τῶν Φαρισαίων λέγοντες· διδάσκαλε, εἰπὲ ἡμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς καὶ τίς ἐστιν ὁ δούς σοι τὴν ἐξουσίαν ταύτην; ὁ δὲ εἶπεν αὐτοῖς· ἐρωτήσω ὑμᾶς κἀγὼ ἕνα λόγον, ὃν ἐὰν εἴπητέ μοι, κἀγὼ ἀπαγγελῶ ὑμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ· τὸ βάπτισμα Ἰωάννου πόθεν ἦν, ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων; οἱ δὲ διελογίζοντο ἐν ἑαυτοῖς λέγοντες· ἐὰν εἴπωμεν ἐξ οὐρανοῦ, ἐρεῖ ἡμῖν διὰ τί οὐκ ἐπιστεύσατε αὐτῷ· ἐὰν δὲ εἴπωμεν ἐξ ἀνθρώπων, φοβούμεθα τὸν λαόν. πάντες γὰρ γινώσκουσιν τὸν Ἰωάννην, ὅτι ὄντως προφήτης ἐστίν. || καὶ ἀποκριθέντες τῷ Ἰησοῦ εἶπαν· οὐκ οἴδαμεν. ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, οὐδὲ ἐγὼ λέγω ὑμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.[1]»

ΚΓ. Καλῶς οὖν ὁ προφήτης εἴρηκε, «πειρατήριον πειρατεύει αὐτὸν <καὶ αὐτὸς δὲ πειρατεύει αὐτὸν> κατὰ πόδας.[2]» XXIV. «Ἀσὴρ πίων αὐτοῦ ὁ ἄρτος, καὶ αὐτὸς διαδώσει τροφὴν ἄρχουσιν.[3]» ἐνταῦθα οὖν ἤτοι περὶ τῶν ἀποστόλων αἰνίττεται ὁ προφήτης, οἵτινες διηκόνησαν καὶ μετέδωκαν τὸν τῆς ζωῆς ἄρτον, ἢ περὶ τοῦ σωτῆρος, προαναφωνῶν ἢ διδάσκων ἡμᾶς τὸν ἀπ' οὐρανῶν κατερχόμενον ἄρτον βρῶμα καὶ πόμα τοῖς ἁγίοις γινόμενον. Ἀσὴρ γὰρ ἑρμηνεύεται πλοῦτος, ὡς μόνος πλούσιος ὢν δυνατὸς ἦν πάντας χορτάζειν τοὺς προσερχομένους. καὶ γὰρ αὐτὸς ὁ Χριστὸς περὶ αὐτοῦ μαρτυρῶν ἔλεγεν· «ἐγώ εἰμι ὁ ἄρτος, ὁ ἀπ' οὐρανῶν || καταβάς. οἱ πατέρες ἡμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ καὶ ἀπέθανον, ὁ τρώγων ἐκ τοῦ ἐμοῦ ἄρτου θάνατον οὐ μὴ ἴδῃ εἰς τὸν αἰῶνα.[4]» δεῖ δὲ καὶ τοῦτο ζητεῖν· οὐ γὰρ εἶπεν· οὐ μὴ ἀποθάνῃ, ἀλλὰ θάνατον οὐ μὴ ἴδῃ εἰς τὸν αἰῶνα, ὅπερ ἐστὶν ἡ αἰώνιος διάπυρος κόλασις, ὅ ἐστιν θάνατος αἰώνιος μηδέποτε παυόμενος· ὁ γὰρ νῦν πρὸς μέρος ἐστὶν θάνατος, καὶ πάντας ἀνθρώπους δεῖ ἀποθανεῖν· ὥστε οὐ περὶ τούτου τοῦ θανάτου ἔλεγεν ὁ κύριος, ἀλλὰ περὶ τοῦ μέλλοντος. XXV. «Νεφθαλὶμ στέλεχος ἀνειμένον ἐπιδιδοὺς ἐν τῷ γεννήματι κάλλος.[5]» «στέλεχος ἀνειμένον» ἐπ' ἐλευθερίᾳ διὰ πίστεως κεκλημένον λαὸν σημαίνει εἰς τὸ δύνασθαι πάντας καρποφορεῖν τῷ θεῷ. ἡ μὲν γὰρ πνευματικὴ ἄμπελος ἦν ὁ σωτήρ, κλήματα δὲ καὶ || στελέχη εἰσὶν αὐτοῦ οἱ ἅγιοι οἱ εἰς αὐτὸν πιστεύοντες·[6] βότρεις δὲ αὐτοῦ οἱ μάρτυρες· τὰ δὲ ξύλα τῇ ἀμπέλῳ συνεζευγμένα δηλοῖ τὸ πάθος· οἱ δὲ τρυγηταὶ οἱ ἄγγελοι· οἱ κόφηνοι δέ, ἐν οἷς συνάγονται οἱ τῆς ἀμπέλου καρποί, εἰσιν οἱ ἀπόστολοι· ληνὸς δὲ ἡ ἐκκλησία· οἶνος δὲ ἡ τοῦ ἁγίου πνεύματος δύναμις. τὸ οὖν εἰπεῖν «στέλεχος ἀνειμένον[7]» τὸ ἐλευθερούμενον ἐκ τῶν τοῦ θανάτου δεσμῶν· ὡς καὶ Ἡσαΐας λέγει· «ἐλεύσεσθε καὶ σκιρτήσετε ὡς μοσχάρια ἐκ δε-

1. Ματθ. 21, 23-27. 2. Γεν. 49, 19. 3. Γεν. 49, 20. 4. Ἰω. 6, 48, 49, 51. 5. Γεν. 49, 21. 6. Ἰω. 15, 1. 7. Γεν. 49, 21.

σμῶν ἀνειμένα.[1]» τὸ δὲ «ἐπιδιδοὺς ἐν τῷ γεννήματι αὐτοῦ κάλλος[2]», ὅτι ἐν τῇ ἀναγεννήσει τοῦ ὕδατος κτῶνται τὴν χάριν καὶ καλλονὴν τοῦ λόγου, ὃς ἦν «ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.[3]»

XXVI. «Υἱὸς ηὐξημένος μου Ἰωσήφ, ζηλωτὸς υἱός μου νεώτατος, πρός με ἀνάστρεψον. εἰς ὃν δια || βουλευόμενοι ἐλοιδόρουν καὶ ἐνεῖχον αὐτῷ κύριοι τοξευμάτων, καὶ συνετρίβη μετὰ κράτος τὰ τόξα αὐτῶν, καὶ ἐξελύθησαν νεῦρα βραχιόνων χειρὸς αὐτῶν, διὰ χεῖρα δυνάστου Ἰακώβ. ἐκεῖθεν ὁ κατισχύσας Ἰσραὴλ παρὰ θεοῦ πατρός σου, καὶ ἐβοήθησέν σοι ὁ θεὸς ὁ ἐμὸς καὶ ηὐλόγησέν σε, εὐλογίαν οὐρανοῦ ἄνωθεν καὶ εὐλογίαν γῆς ἐχούσης πάντα· ἕνεκεν εὐλογίας <μαστῶν καὶ μήτρας, εὐλογίας> πατρός σου καὶ μητρός σου ὑπερίσχυσας <ὑπὲρ εὐλογίας ὀρέων μονίμων καὶ> ἐπ' εὐλογίαις θινῶν <ἀενάων>· ἔσονται ἐπὶ κεφαλὴν Ἰωσὴφ καὶ ἐπὶ κορυφήν, ὧν <ἡγήσατο ἀδελφῶν>.[4]» τὸν μὲν Ἰωσὴφ παρὰ πάντας τοὺς ἀδελφοὺς αὐτοῦ πλουσίως ηὐλόγησεν, ἅτε διενορῶν τὰ δι' αὐτοῦ προεικονιζόμενα εἰς Χριστὸν μυστήρια· ὅθεν ὁ προφήτης εὐλογῶν οὐ τὸν Ἰωσήφ, ἀλλ' οὗ τὸν τύπον ἔφερεν ὁ Ἰωσήφ. || φησὶν γὰρ πρὸς αὐτόν· «υἱὸς ηὐξημένος μοι Ἰωσήφ[5]», ὅτι διὰ τοῦ κυρίου καὶ τελείου ὀνόματος ηὐξήθη ἐν τῷ κόσμῳ καὶ ἐπληθύνθη ἡ Χριστοῦ χάρις. «υἱὸς εὐλογημένος μοι ζηλωτός[6]», ἐπειδὴ γὰρ εὐλογημένος ἦν παρὰ τῷ θεῷ, παριὼν εἰς τὰ ἴδια οὐκ ἐγνώσθη[7], ἀλλ' ἐζηλώθη καὶ ἐμισήθη. καὶ γὰρ ἡ γραφὴ λέγει· «ἰδόντες δὲ οἱ ἀδελφοὶ αὐτοῦ, ὅτι αὐτὸν ὁ πατὴρ φιλεῖ, ἐζήλωσαν αὐτὸν καὶ μᾶλλον προσέθεντο τοῦ μισεῖν αὐτόν.[8]» διὰ τοῦτο Ἰακὼβ λέγει· «υἱός μου ζηλωτός, υἱός μου νεώτατος.[9]» καὶ γὰρ ἡ γραφὴ λέγει· «ἠγάπα δὲ αὐτὸν Ἰακώβ, ὅτι υἱὸς γήρως ἦν αὐτῷ.[10]» γηράσκοντι γὰρ ἤδη τῷ κόσμῳ καὶ παντελῶς ἀπολωλότι ἐπιφανεὶς ὁ υἱὸς τοῦ θεοῦ καὶ ἐκ παρθένου γεννηθεὶς υἱὸς γήρως ἀπεδείχθη τῷ πατρὶ πρὸ τῶν αἰώνων ἀεὶ συνὼν τῷ θεῷ. || διὰ τοῦτο πρὸς αὐτὸν λέγει· «πρός με ἀνάστρεψον.[11]» ἐκ γῆς εἰς οὐρανοὺς προσκαλούμενος τὸν αὐτοῦ παῖδα. «εἰς ὃν διαβουλευόμενοι ἐλοιδόρουν καὶ ἐνεῖχον αὐτῷ κύριοι τοξευμάτων.» τίνες δὲ ἦσαν οἱ βουλευόμενοι κακὰ περὶ αὐτοῦ καὶ λοιδοροῦντες αὐτόν, ἀλλ' ἢ ὁ ἄνομος καὶ ἀπειθὴς λαός, οἱ πολλὰ κακὰ διαβλασφημοῦντες εἰς αὐτὸν ἔλεγον; «κύριοι δὲ τοξευμάτων», ὅτι εὔκοποι ἦσαν εἰς τὸ κακὸν ποιεῖν καὶ φονεύειν πάντας. «καὶ συνετρίβη μετὰ κράτος τὰ τόξα αὐτῶν.[12]» ὡς γὰρ κατ' αὐτοῦ κακὰ ἐβουλεύσαντο καὶ κατελάλησαν ὡς τόξα ἐπ' αὐτὸν ἀκοντίζοντες, ὑπὲρ ὧν αὐτοὶ κατῃσχύνθησαν, μαθόντες αὐτὸν ἐκ νεκρῶν ἐγηγερμένον. ὡς καὶ Ἡσαΐας λέγει· «ματαία ἡ βουλὴ τοῦ πατρὸς ὑμῶν». καὶ Ἰακὼβ λέγει «ἐξελύθη νεῦρα || βραχιόνων χειρὸς αὐτῶν διὰ

1. Μαλ. 4, 2. 2. Γεν. 49, 21. 3. Ψαλμ. 44, 2. 4. Γεν. 49, 22-26. 5. Γεν. 49, 22. 6. Γεν. 49, 22. 7. Πρβλ. Ἰω. 1, 10-11. 8. Γεν. 37, 4. 9. Γεν. 49, 22. 10. Γεν. 37, 3. 11. Γεν. 49, 22-23. 12. Γεν. 49, 24.

χεῖρα δυνάστου Ἰακώβ.[1]» οἱ γὰρ ἐφ' ἑαυτούς, οὐκ ἐπὶ τὸν θεὸν τὴν ἐλπίδα κεκτημένοι, ἀλλ' ἐν ἰδίᾳ δυνάμει καυχώμενοι ἐξελύθησαν καὶ ἐγεννήθησαν εἰς οὐδέν, ὑπ' αὐτοῦ τοῦ λόγου πολεμηθέντες καὶ τοῖς ἔθνεσιν εἰς διασπορὰν παραδοθέντες. «ἐκεῖθεν ὁ κατισχύσας Ἰσραὴλ παρὰ θεοῦ πατρός, καὶ ἐβοήθησέν σοι ὁ θεὸς ὁ ἐμός[2]», τίς ἄρα ἐστὶν ὁ κατισχύσας τὸν Ἰσραὴλ καὶ βοηθήσας τῷ ἑαυτοῦ παιδὶ ἢ μόνος θεός; ὡς καὶ διὰ Ἡσαΐου λέγει· «Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου.[3]» καὶ πάλιν λέγει· «μὴ φοβοῦ ὅτι κατῃσχύνθης, μηδὲ ἐντραπῇς, ὅτι ὠνειδίσθης·[4]» διὰ τοῦτο ἀντὶ τῶν ὕβρεων ἀνταποδιδοὺς αὐτῶν τὰς εὐλογίας φησίν· «εὐλόγησέν σε εὐλογίαν οὐρανοῦ ἄνωθεν || καὶ εὐλογίαν γῆς ἐχούσης <πάντα>.[5]» «πάντα γὰρ ὑπέταξαν ὑπὸ τοὺς πόδας αὐτοῦ.[6]» τὰ μὲν ἐπουράνια, ὡς εὐλογίαν οὐρανοῦ τὰ δὲ ἐπίγεια, εὐλογίαν γῆς, <ἵνα> καὶ ἀγγέλων καὶ ἀνθρώπων κύριος φανῇ ὁ ὑπ' αὐτῶν ἐξουδενούμενος. «ἕνεκεν εὐλογίας μαστῶν καὶ μήτρας, εὐλογίας πατρός σου καὶ μητρός σου.[7]» «εὐλογίας μαστῶν» ἤτοι τῶν δύο διαθηκῶν, ἐξ ὧν προεκηρύσσετο ὁ λόγος ἐν κόσμῳ φανησόμενος, δι' ὧν μαστῶν καὶ ἡμᾶς γαλουχεῖ καὶ ἀνατρέφει τέκνα θεῷ προσάγων· ἢ τοὺς τῆς Μαρίας μαστούς, οὓς ἐθήλασεν, σημαίνει, οἵτινες ἦσαν εὐλογημένοι, πρὸς οὓς καὶ ἀναβοήσασα γυνὴ ἔφη· «μακαρία ἡ κοιλία ἡ βαστάσασά σε· καὶ μαστοί, οὓς ἐθήλασας.[8]»

XXVII. Κς. Τῷ δὲ ἐπενεγκεῖν αὐτὸν καὶ εἰπεῖν· «καὶ μήτρας εὐλογίας πατρός σου καὶ μητρός σου[9]» μυστήριον πνευματικὸν || προαναφωνεῖ ὁ προφήτης. ἠδύνατο γὰρ εἰρηκέναι· «καὶ μήτρας εὐλογίας μητρός σου», ἵνα διὰ τοῦ ῥητοῦ μηνύσῃ τὴν Μαρίαν, δι' ἧς μήτρας ἐκυοφορήθη ὁ λόγος· ἀλλ' οὐχ οὕτως ἔφη, ἀλλὰ φησιν· «καὶ μήτρας εὐλογίας πατρός σου καὶ μητρός σου», τὰ ἀμφότερα συνάψας ἑνοποίησεν, ἵνα νοηθῇ αὐτοῦ <τὸ> κατὰ σάρκα· ἦν γὰρ ὁ λόγος ἐκ καρδίας πατρὸς καὶ ἐκ σπαργάνων ἁγίων, ἐκ μήτρας πατρὸς γενόμενος. ὡς καὶ διὰ τοῦ προφήτου λέγει· «ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.[10]» ἦν δὲ τὸ κατὰ σάρκα ἐπ' ἐσχάτων ἐκ παρθενικῆς μήτρας κυοφορούμενος, ἵνα καὶ ἐκ μήτρας μητρὸς πάλιν γενόμενος φανερός. καὶ διὰ τοῦτο λέγει· «οὕτως ὁ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῷ.[11]» καὶ διὰ Ἱερεμίου· «πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε, καὶ πρὸ τοῦ σε || προελθεῖν ἐκ μήτρας ἡγίακά σε.[12]» ἐπεὶ οὖν καὶ κατὰ πνεῦμα ἦν γεγεννημένος ὁ λόγος καὶ κατὰ σάρκα, ἅτε δὴ καὶ θεὸς καὶ ἄνθρωπος ὤν, εὐλόγως ὁ προφήτης μήτραν πατρὸς καὶ μητρὸς ὠνόμασεν, ὃ εἰ μὴ οὕτως νοηθείη, γέλοιόν τισι δόξῃ. τῇ γὰρ θηλείᾳ μόνῃ φύσει <μήτρα> παρακολουθεῖ.

1. Γεν. 49, 27. 2. Γεν. 49, 24-25. 3. Ἡσ. 42, 1. 4. Ἡσ. 54, 4. 5. Γεν. 49, 25. 6. Α' Κορ. 15, 27. Ἐφ. 1, 22. 7. Γεν. 49, 25-26. 8. Λουκ. 11, 27. 9. Γεν. 49, 25-26. 10. Ψαλμ. 44, 2. 11. Ἡσ. 49, 5. 12. Ἱερ. 1, 5.

ἐνταῦθα δὲ εἴρηκεν· «καὶ μήτρας εὐλογίας πατρός σου καὶ μητρός σου[1]», ἵνα δὴ νοήσῃς τὸν λόγον ἐκ δύο οὐσιῶν γεγενῆσθαι, ἐκ θεοῦ καὶ ἐκ παρθένου· δι' ὃ καὶ ἐπιφέρει λέγων· «ὑπερίσχυσας ἐπ' εὐλογίαις ὀρέων μονίμων καὶ ἐπ' εὐλογίαις θινῶν ἀενάων.[2]» ὑπὲρ γὰρ πάντας ἀρχάς, προφήτας τε καὶ ἀποστόλους ὑπερίσχυσεν καὶ ἐδοξάσθη ὑψωθεὶς ὑπὸ τοῦ θεοῦ, τὴν πᾶσαν εὐλογίαν ἐπὶ κεφαλῆς κληρονομῶν. πάντων γὰρ τῶν ἁγίων κεφαλὴ ὁ Χριστὸς ἦν.[3] «ἔσονται» γὰρ λέγει «ἐπὶ || κεφαλὴν Ἰωσὴφ καὶ ἐπὶ κορυφήν, ὧν ἡγήσατο ἀδελφῶν.[4]» <«ἀδελφῶν»> αὐτοῦ εἴρηκεν, οὐ τοὺς κατὰ σάρκα, τούτους γὰρ ἀπεβάλετο, ἀλλὰ τοὺς κατὰ πνεῦμα λογιζόμενος αὐτοῦ ἀδελφούς, οἷς ἔφη ὁ κύριος· «ἀδελφοί μου καὶ συγκληρονόμοι·» ἐπὶ τούτους ἔφη ὁ Ἰακὼβ τὰς εὐλογίας ἐπελθεῖν, οὓς ἂν αὐτὸς ὁ σωτὴρ ἀδελφοὺς ἰδίους ἡγήσηται.[5] XXVIII. «Βενιαμὶν λύκος ἅρπαξ τὸ πρωϊνὸν ἔδεται ἔτι· καὶ τὸ ἑσπέρας δίδωσι τροφὴν ἄρχουσιν.» λύκον οὖν ἅρπαγα σαφέστατα Παῦλον τὸν ἀπόστολον ὠνόμασεν, ὃς ἐκ τῆς φυλῆς τοῦ Βενιαμὶν ἐγεννήθη λύκος ἅρπαξ ἐν ἀρχῇ, σπαράσσων καὶ κατεσθίων τὰ πρόβατα τῆς ἐκκλησίας. ὡς καὶ αὐτὸς ὁ Παῦλος ὁμολογεῖ λέγων· «ὅτι οὐκ εἰμι ἱκανὸς καλεῖσθαι ἀπόστολος· διότι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ θεοῦ· χάριτι δὲ θεοῦ εἰμι, ὅ εἰμι.[6]» διὰ τοῦτο δὲ || καὶ Ῥαχὴλ τίκτουσα τὸν Βενιαμὶν τότε ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ «υἱὸς ὀδύνης μου[7]», προφητεύουσα τὸ μέλλον, ὅτι ἔμελλεν ὁ Παῦλος ἐκ φυλῆς Βενιαμὶν γεννηθεὶς ὀδυνᾶν καὶ θλίβειν τὴν ἰδίαν μητέρα, τουτέστιν τὴν ἐκκλησίαν, ἀναιρῶν πάντας τοὺς τὸ ὄνομα κυρίου ἐπικαλουμένους. ὅς, ἐν ἀρχῇ βλάσφημος καὶ διώκτης γενηθείς, ὕστερον μετανοήσας μετέδωκεν πᾶσιν τὴν πνευματικὴν καὶ ἐπουράνιον τροφήν, αὐτὸς πρῶτος ἐν τοῖς ἔθνεσιν τὸν Χριστὸν εὐαγγελιζόμενος, ᾧ πιστεύοντες καὶ ἡμεῖς δῶμεν αἶνον τῷ θεῷ· αὐτοῦ γάρ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

1. Γεν. 49, 25-26. 2. Γεν. 49, 26. 3. Α' Κορ. 11, 3. 4. Γεν. 49. 26. 5. Ματθ. 12, 49. 6. Α' Κορ. 15, 9. 7. Γεν. 35, 18.

ΕΚ ΤΩΝ ΕΥΛΟΓΙΩΝ ΤΟΥ ΒΑΛΑΑΜ*

Ἀριθ. 24,17 (;). 23,19 (;).

Τοῦ ἁγίου Ἱππολύτου ἐπισκόπου καὶ μάρτυρος
ἐκ τῶν εὐλογιῶν τοῦ Βαλαάμ.

Ἵνα δὲ δειχθῇ τὸ συναμφότερον ἔχων ἐν ἑαυτῷ, τήν τε τοῦ θεοῦ οὐσίαν καὶ τὴν ἐξ ἀνθρώπων, ὡς καὶ ὁ ἀπόστολος λέγει «μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς.[1]» «ὁ δὲ μεσίτης ἑνὸς ἀνθρώπου οὐ γίνεται[2]», ἀλλὰ δύο. ἔδει οὖν τὸν Χριστὸν θεοῦ καὶ ἀνθρώπων μεσίτην γενόμενον παρ' ἀμφοτέρων ἀρραβῶνά τινα εἰληφέναι, ἵνα φανῇ δύο προσώπων μεσίτης.

* Κατὰ τὴν ἔκδοσιν Hans Achelis, Hippolyt's kleinere exegetische und homiletische Schriften ἐν Hippolytus Werke, Leipzig 1897.
1. Α' Τιμ. 2, 5. 2. Γαλ. 3, 20.

ΕΙΣ ΤΗΝ ΩΔΗΝ ΤΗΝ ΜΕΓΑΛΗΝ*

I. Δευτ. 33,26 (;)

Τοῦ αὐτοῦ (Ἱππολύτου)
ἐκ τοῦ λόγου τοῦ εἰς τὴν ᾠδὴν τὴν μεγάλην.

Ὁ τὸν ἀπολωλότα ἐκ γῆς πρωτόπλαστον ἄνθρωπον καὶ ἐν δεσμοῖς θανάτου κρατούμενον ἐξ ᾅδου κατωτάτου ἑλκύσας· ὁ ἄνωθεν κατελθὼν καὶ τὸν κάτω εἰς τὰ ἄνω ἀνενέγκας· ὁ τῶν νεκρῶν εὐαγγελιστὴς καὶ τῶν ψυχῶν λυτρωτής, καὶ ἀνάστασις τῶν τεθαμμένων γινόμενος, οὗτος ἦν ὁ τοῦ νενικημένου ἀνθρώπου γεγενημένος βοηθός, κατ' αὐτὸν ὅμοιος αὐτῷ, πρωτότοκος λόγος τὸν πρωτόπλαστον Ἀδὰμ ἐν τῇ παρθένῳ ἐπισκεπτόμενος· ὁ πνευματικὸς τὸν χοϊκὸν ἐν τῇ μήτρᾳ ἐπιζητῶν· ὁ ἀεὶ ζῶν τὸν διὰ παρακοῆς ἀποθανόντα· ὁ οὐράνιος τὸν ἐπίγειον εἰς τὰ ἄνω καλῶν· ὁ εὐγενὴς τὸν δοῦλον διὰ τῆς ἰδίας ὑπακοῆς ἐλεύθερον ἀποδεῖξαι θέλων· ὁ τὸν εἰς γῆν λυόμενον ἄνθρωπον καὶ βρῶμα ὄφεως γεγενημένον, εἰς ἀδάμαντα τρέψας, καὶ τοῦτον ἐπὶ ξύλου κρεμασθέντα, κύριον κατὰ τοῦ νενικηκότος ἀποδείξας, καὶ διὰ τοῦτο διὰ ξύλου νικηφόρος εὑρίσκεται.

(Θεοδωρήτου, Ἐρανιστής. Διάλογος II. Migne LXXXIII σ. 173).

II.

Τοῦ αὐτοῦ (Ἱππολύτου)
ἐκ τοῦ αὐτοῦ λόγου (δηλ. εἰς τὴν ᾠδὴν τὴν μεγάλην).

Οἱ γὰρ τὸν υἱὸν τοῦ θεοῦ ἔνσαρκον νῦν μὴ ἐπιγινώσκοντες ἐπιγνώσονται αὐτὸν κριτὴν ἐν δόξῃ παραγινόμενον, τὸν νῦν ἐν ἀδόξῳ σώματι ὑβριζόμενον.

(Θεοδωρήτου, Ἐρανιστής. Διάλογος II. Migne LXXXIII σ. 173).

III. Δευτ. 34,6.

Τοῦ αὐτοῦ (Ἱππολύτου)
ἐκ τοῦ αὐτοῦ λόγου (δηλ. εἰς τὴν ᾠδὴν τὴν μεγάλην).

Καὶ γὰρ οἱ ἀπόστολοι ἐλθόντες εἰς τὸ μνημεῖον τῇ ἡμέρᾳ τῇ τρίτῃ οὐχ εὕρισκον τὸ σῶμα τοῦ Ἰησοῦ·[1] ὃν τρόπον υἱοὶ τοῦ Ἰσραὴλ τὴν ταφὴν τοῦ Μωϋσέως ἀναβάντες ἐν τῷ ὄρει ἐζήτουν καὶ οὐχ εὕρισκον.[2]

(Θεοδωρήτου, Ἐρανιστής. Διάλογος II. Migne LXXXIII σ. 173).

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis, ἔνθ' ἀνωτ.
1. Ἰω. 20, 3 ἑξ. 2. Δευτ. 34, 6.

ΕΚ ΤΗΣ ΕΡΜΗΝΕΙΑΣ ΡΟΥΘ *

['Εκ τοῦ ὑπ' ἀριθ. 3108 χειρογράφου τῆς Μονῆς Κουτλουμουσίου (11ος αἰ.).]

Ρούθ 2,9,14.

Τοῦ ἁγίου 'Ιππολύτου ἐπισκόπου 'Ρώμης
ἐκ τῆς ἑρμηνείας 'Ρούθ μαρτυρία.

Φησὶ Βοὸζ πρὸς τὴν 'Ρούθ «βάψεις τὸν ψωμόν σου ἐν τῷ ὄξει [1]», «καὶ ἔσται ἐὰν διψήσεις καὶ πορεύσῃ εἰς τὰ σκεύη καὶ πίεσαι ὅθεν ἂν ὑδρεύονται τὰ παιδάρια.[2]» πρῶτον γὰρ τὸ πάθος ἔδει διδαχθῆναι τὴν ἐκκλησίαν εἶθ' οὕτως λαβεῖν διὰ τῶν ἀποστόλων τὸ βάπτισμα. παιδάρια γὰρ οὐκ ἄλλα τινὰ εἴη, ἀλλὰ προφῆται καὶ ἀπόστολοι, οἳ «σκεύη ἐκλεκτὰ καὶ τίμια [3]» γενηθέντες ὑδρεύσαντο ἐκ τῆς ἀενάου πηγῆς τὸ τῆς ἀθανασίας πόμα, ἵνα μεταλαβόντες τὴν παρὰ Χριστοῦ χάριν ποτίσαι δεδιψηκότα ἔθνη δυνηθῶσιν· ὡς καὶ 'Ησαΐας λέγει «οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ, καὶ ὅσοι οὐκ ἔχετε ἀργύριον βαδίσαντες δωρεὰν ἀγοράσατε ἄνευ τιμῆς.[4]» οἱ γὰρ πιστοὶ πρὸς τὸ εὐαγγέλιον προσερχόμενοι δωρεὰν τὴν χάριν παρὰ θεῷ κτῶνται, οὐ χρήμασι τοῦτο ἐξαγοράζοντες ὥς τινὲς τῶν ἀφρόνων νῦν τοῦτο ποιεῖν ἐπιχειροῦσιν, ἑαυτοῖς τε καὶ τοῖς λαμβάνουσι «κρίμα θανάτου [5]» ἐπιφέροντες· οὐ γὰρ ἔγνωσαν τὸ εἰρημένον ὑπὸ τοῦ μακαρίου Πέτρου πρὸς τὸν Σίμωνα ὅτι «τὸ ἀργύριόν σου σὺν σοὶ εἰς ἀπώλειαν, ἀνθ' ὧν τὴν χάριν καὶ τὴν δωρεὰν τοῦ θεοῦ ἠθέλησας ἀργυρίῳ κτᾶσθαι. οὐκ ἔστιν σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ.[6]» ὥστε ὅσοι πειρῶνται εἴτε ἀγοράζειν εἴτε πωλεῖν «μέρος μετὰ Χριστοῦ ἔχειν [7]» οὐ δύνανται, οὐκ «οἰκονόμοι πιστοὶ [8]» ἀλλὰ χριστέμποροι ὑπάρχοντες, καθ' ἡμέραν τὸν ἴδιον δεσπότην πωλοῦντες. καὶ 'Ιούδας μὲν ἅπαξ τὸν Χριστὸν πωλήσας «πρηνὴς γενάμενος ἐλάκησεν μέσος [9]», οὗτοι δὲ χείρονα τοῦ 'Ιούδα ποιοῦντες, «τὴν κρίσιν τοῦ θεοῦ ἐκφυγεῖν [10]» ὑπολαμβάνουσιν.

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis, ἔνθ' ἀνωτ.

1. 'Ρούθ 2, 14. 2. 'Ρούθ 2, 9. 3. Πράξ. 9, 15. Πρβλ. 'Ρωμ. 9, 21. Β' Τιμ. 2, 21. 4. 'Ησ. 55, 1. 5. Λουκ. 24, 20. 6. Πράξ. 8, 20-21. 7. 'Ιω. 13, 8. 8. Λουκ. 12, 42. 9. Πράξ. 1, 18. 10. 'Ρωμ. 2, 3.

ΕΙΣ ΤΟΝ ΕΛΚΑΝΑΝ ΚΑΙ ΕΙΣ ΤΗΝ ΑΝΝΑΝ *

I. Α' Βασ. (Α' Σαμ.) 16,1,2.

Τοῦ αὐτοῦ ('Ιππολύτου)
ἐκ τοῦ λόγου τοῦ εἰς τὸν 'Ελκανᾶν καὶ τὴν ''Ανναν.

Ἄγε δή μοι, ὦ Σαμουήλ, εἰς Βηθλεὲμ ἑλκομένην τὴν δάμαλιν, ἵνα ἐπιδείξῃς τὸν ἐκ Δαβὶδ βασιλέα τικτόμενον, καὶ τοῦτον ὑπὸ πατρὸς βασιλέα καὶ ἱερέα χριόμενον.

(Θεοδωρήτου, 'Ερανιστής. Διάλογος Ι. Migne LXXXIII σ. 88).

II. Α' Βασ. (Α' Σαμ.) 2,5 (;)

Τοῦ αὐτοῦ ('Ιππολύτου)
ἐκ τοῦ αὐτοῦ λόγου (δηλ. εἰς τὸν 'Ελκανᾶν καὶ τὴν ''Ανναν).

Εἰπέ μοι, ὦ μακαρία Μαρία, τί ἦν τὸ ὑπὸ σοῦ ἐν τῇ κοιλίᾳ συνειλημμένον, καὶ τί ἦν τὸ ὑπὸ σοῦ ἐν παρθενικῇ μήτρᾳ βασταζόμενον; λόγος γὰρ ἦν θεοῦ πρωτότοκος ἀπ' οὐρανῶν ἐπὶ σὲ κατερχόμενος, καὶ ἄνθρωπος πρωτότοκος ἐν κοιλίᾳ πλασσόμενος, ἵν' ὁ πρωτότοκος λόγος θεοῦ πρωτοτόκῳ ἀνθρώπῳ συναπτόμενος δειχθῇ.

(Θεοδωρήτου, 'Ερανιστής. Διάλογος Ι. Migne LXXXIII σ. 88).

III. *Τοῦ αὐτοῦ ('Ιππολύτου)*
ἐκ τοῦ αὐτοῦ λόγου (εἰς τὸν 'Ελκανᾶν καὶ τὴν ''Ανναν).

Τὴν δὴ δευτέραν, τὴν διὰ τῶν προφητῶν ὡς διὰ τοῦ Σαμουήλ, ἀνακαλῶν καὶ ἐπιστρέφων τὸν λαὸν ἀπὸ τῆς δουλείας τῶν ἀλλοφύλων. τὴν δὲ τρίτην, ἐν ᾗ ἔνσαρκος παρῆν, τὸν ἐκ τῆς παρθένου ἄνθρωπον ἀναλαβών, ὃς καὶ «ἰδὼν τὴν πόλιν ἔκλαυσεν ἐπ' αὐτῇ.[1]»

(Θεοδωρήτου, 'Ερανιστής. Διάλογος Ι. Migne LXXXIII σ. 88).

IV. *Τοῦ αὐτοῦ ('Ιππολύτου)*
ἐκ τοῦ εἰς τὸν 'Ελκανᾶν καὶ εἰς τὴν ''Ανναν.

Καὶ διὰ τοῦτο τρεῖς καιροὶ τοῦ ἐνιαυτοῦ προετυποῦντο εἰς αὐτὸν τὸν σωτῆρα, ἵνα τὰ προφητευθέντα περὶ αὐτοῦ μυστήρια ἐπιτελέσῃ. ἐν μὲν τῷ πάσχα, ἵνα ἑαυτὸν ἐπιδείξῃ τὸν μέλλοντα ὡς πρόβατον θύεσθαι [2] καὶ ἀληθινὸν πάσχα δείκνυσθαι, ὡς ὁ ἀπόστολος λέγει «τὸ δὲ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη, Χριστὸς ὁ θεός.[3]» ἐν δὲ τῇ πεντηκοστῇ, ἵνα προσημήνῃ τὴν τῶν οὐρανῶν βασιλείαν, αὐτὸς πρῶτος εἰς οὐρανοὺς ἀναβάς, καὶ τὸν ἄνθρωπον δῶρον τῷ θεῷ προσενέγκας.

(Θεοδωρήτου, 'Ερανιστής. Διάλογος ΙΙ. Migne LXXXIII σ. 173).

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis, ἔνθ' ἀνωτ.

1. Λουκ. 19, 41. 2. Πρβλ. 'Ησ. 53, 7. 3. Α' Κορ. 5, 7.

ΕΙΣ ΕΓΓΑΣΤΡΙΜΥΘΟΝ*

Α' Βασ. (Α' Σαμ.) 28,11 ἑξ.

Ζητεῖται εἰ ἀνῆλθε Σαμουὴλ διὰ τῆς ἐγγαστριμύθου ἢ οὔ. καὶ εἰ μὲν δῶμεν ὅτι ἀνῆλθεν, τὰ ψευδῆ συνιστῶμεν· πῶς γὰρ ἠδύνατο δαίμων ψυχήν, οὐ λέγω δικαίου μόνον, ἀλλὰ καὶ τοῦ τυχόντος, τὴν ἀπελθοῦσαν, ἣν οὐκ ᾔδει ποῖ διάγει, καλέσαι; «ἀλλά», φησίν, «πῶς οὖν ἡ γυνὴ ἐπτοήθη, καὶ παρὰ τὸ ἔθος εἶδεν ἀνιόντας ἀνθρώπους; εἰ γὰρ μὴ παρὰ τὸ ἔθος εἶδεν, οὐκ ἂν εἶπεν, θεοὺς ἀναβαίνοντας ἐκ τῆς γῆς ἐγὼ ὁρῶ·[1]» ἕνα ἐκάλεσεν, καὶ πῶς ἀνῆλθον πολλοί; τί οὖν; ὅλων τῶν φανέντων φαμὲν ἀνελθεῖν τὰς ψυχάς, καὶ ταύτας παρὰ τῆς γυναικὸς μὴ κληθείσας, ἢ ἐκείνων φαντασία τὰ ὁρώμενα; οὐκοῦν καὶ τοῦτο. «πῶς», φησίν, «ἐπιγνοὺς Σαοὺλ προσεκύνησεν;[2]» ἀλλὰ Σαοὺλ οὐκ εἶδεν, ἀλλ' ἀκούσας παρὰ τῆς γυναικός, ὅπερ ἔβλεπεν, σχῆμα τῶν ἀνιόντων ἑνὸς καὶ ἐπιγνοὺς ὡς Σαμουήλ, τοιούτῳ ἐχρᾶτο, προσεκύνησεν. οὐδὲν δὲ τῷ δαίμονι μορφῶσαι, ὅπερ ᾔδει, σχῆμα τοῦ Σαμουήλ. «πῶς οὖν προεῖπεν», φησίν, τὰ μέλλοντα συμβαίνειν τῷ Σαούλ, καὶ τῷ Ἰωνάθαν ἐν ταὐτῷ κακά;[3] τὸ μὲν τέλος προεῖπε τοῦ πολέμου, ὡς Σαοὺλ ἡττηθήσεται, στοχασαμένη ἀπὸ τῆς περὶ αὐτὸν ὀργῆς τοῦ θεοῦ. ὡσανεὶ ἰατρὸς ὁ μὴ ἀκριβῆ τῆς ἐπιστήμης ἔχων τὴν γνῶσιν, ἀπεγνωσμένον ἄρρωστον θεασάμενος, εἴπῃ τούτου τὸν θάνατον, περὶ τὴν ὥραν σφαλλόμενος, οὕτω καὶ ὁ δαίμων ἀπὸ τῶν ἔργων τοῦ Σαούλ, καὶ αὐτοῦ τοῦ ἐγχειρήματος τῆς ἐγγαστριμύθου, εἰδὼς τοῦ θεοῦ τὴν ὀργήν, προλέγει τὴν ἧτταν ὁμοῦ καὶ τὸν θάνατον, περὶ τὴν ἡμέραν τοῦ θανάτου σφαλείς.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis, ἔνθ' ἀνωτ.
1. Α' Βασ. 28, 13. 2. Α' Βασ. 28, 14. 3. Α' Βασ. 28, 19.

ΕΙΣΑΓΩΓΙΚΑ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ*

I.

Ἱππολύτου τοῦ ἐπισκόπου Ῥώμης ὑπόθεσις διηγήσεως εἰς τοὺς ψαλμούς.

Ἡ βίβλος τῶν ψαλμῶν καινὴν διδασκαλίαν περιέχει, μετὰ τὴν Μωσέως νομοθεσίαν, καὶ ὅτι δευτέρα μετὰ τὴν Μωσέως γραφὴν διδασκαλικὴ βίβλος τυγχάνει. μετὰ γοῦν τὴν Μωσέως καὶ Ἰησοῦ τελευτὴν καὶ μετὰ τοὺς κριτὰς Δαυὶδ γενόμενος, ὡσανεὶ τοῦ σωτῆρος αὐτὸς χρηματίσαι πατὴρ καταξιωθείς, καινὸν τρόπον τὸν τῆς ψαλμῳδίας πρῶτος Ἑβραίοις παρέδωκεν, δι' ἧς ἀναιρεῖ μὲν τὰ παρὰ Μωσῆ περὶ θυσιῶν νενομοθετημένα, καινὸν δὲ τὸν δι' ὕμνων καὶ ἀλαλαγμῶν τρόπον τῆς τοῦ θεοῦ λατρείας εἰσάγει καὶ ἄλλα δὲ πλεῖστα τὸν Μωσέως νόμον ἐπαναβεβηκότα δι' ὅλης αὐτοῦ τῆς πραγματείας διδάσκει.

(Εὐσεβίου, Εἰς τοὺς Ψαλμούς. Migne XXIII σ. 76).

II. *Ὠριγένης.*

Καὶ οὗτος μὲν τῆς βίβλου ὁ σκοπὸς καὶ τὸ χρήσιμον· ἡ δὲ αἰτία τῆς ἐπιγραφῆς αὕτη. ἐπειδὴ πλεῖστοι τῶν ἐξ ἐθνῶν εἰς Χριστὸν πεπιστευκότων οἴονται τὴν βίβλον ταύτην τοῦ Δαυὶδ ὑπάρχειν, ἐπιγράφουσί τε αὐτὴν Ψαλμοὶ τοῦ Δαυίδ, λεκτέον τὰ εἰς ἡμᾶς ἐληλυθότα περὶ αὐτῆς. Ἑβραῖοι ἐπέγραψαν τὴν βίβλον Σέφρα θελείμ, ἐν δὲ ταῖς πράξεσι τῶν ἀποστόλων «βίβλος ψαλμῶν» εἶναι λέγεται.[1] ἔχει δὲ ἡ λέξις οὕτως «ὡς γέγραπται ἐν βίβλῳ ψαλμῶν.» ὄνομα δὲ ἐν τῇ ἐπιγραφῇ τοῦ βιβλίου οὐ κεῖται ἐνταῦθα, ἡ δὲ αἰτία τὸ μὴ ἑνὸς λόγους ἀναγεγράφθαι ἐπὶ τοῦτο, ἀλλὰ πλειόνων συνειλέχθαι, τοῦ Ἔσδρα, ὡς αἱ παραδόσεις φασίν, μετὰ τὴν αἰχμαλωσίαν συναγαγόντος ψαλμοὺς πλειόνων εἰς ἓν ἢ καὶ λόγους οὐ πάντως ὄντας ψαλμούς. προτέτακται γοῦν ἐπὶ μὲν τινῶν τὸ Δαυὶδ ὄνομα, ἐπὶ δὲ ἑτέρων τὸ Σολομῶν καὶ ἐπὶ ἄλλων τοῦ Ἀσάφ. εἰσὶ δὲ καὶ τοῦ Ἰδιθούμ τινες καὶ παρὰ τούτους ἄλλοι τῶν υἱῶν Κορέ, ὡς καὶ Μωσέως. τῶν οὖν τοσούτων ἐπὶ τὸ αὐτὸ συναχθέντες οἱ λόγοι οὐκ ἂν ὑπὸ τοῦ εἰδότος λέγοιντο μόνου τοῦ Δαυίδ. ζητητέον δὲ περὶ τῶν ἀνεπιγράφων, τίνος αὐτοὺς χρὴ ὑπονοεῖν. διὰ τί γὰρ κἂν ἡ ἁπλουστάτη ἐπιγραφὴ οὐ πρόκειται αὐτῶν, ἥτις οὕτως ἔχει «Τοῦ Δαυὶδ ψαλμὸς» ἢ «Τοῦ Δαυίδ» χωρὶς πάσης προσθήκης; ὑπενοήσαμεν δέ, ὅπου αὕτη μόνη ἐπιγραφή ἐστιν, ὅτι οὔτε ψαλμός ἐστι τὸ λεγόμενον οὔτε ᾠδή, ἀλλὰ λόγος τις ἐξ ἁγίου πνεύ-

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis, ἔνθ' ἀνωτ.
1. Πράξ. 1, 20.

ματος ὠφελείας ἕνεκεν τῆς τοῦ δυναμένου συνιέναι ἀναγεγραμμένος.

Ἦλθε δὲ εἰς ἐμὲ Ἑβραίου τινὸς παράδοσις περὶ τῶν τελευταίων. ἐπεὶ γὰρ πολλοὶ ἦσαν ἀνεπίγραφοι, εἷς δὲ ὁ πρὸ τούτων τῶν ἀνεπιγράφων ἐπιγραφὴν ἔχει «Τοῦ Δαυΐδ», ἔλεγε κἀκείνους ἀπὸ κοινοῦ λαμβανομένους τοῦ Δαυΐδ αὐτοὺς δεῖν νομίζεσθαι. καὶ εἰ τοῦθ' οὕτως, ἀκόλουθόν ἐστι τοὺς ἀνεπιγράφους ἐκείνων εἶναι, ὧν οἱ πρὸ αὐτῶν κατὰ τὴν ἐπιγραφὴν καλῶς εἰσι νενομισμένοι.

III.

Ψαλτήριον δὲ τὴν παροῦσαν τῶν ψαλμῶν βίβλον ὁ προφήτης ὠνόμασεν, ἐπειδὴ μόνον, φασίν, ἐπὶ τοῖς μουσικοῖς ὀργάνοις ἄνωθεν ἐπιφέρεσθαι τὸν ἐνεργοῦντα χαλκὸν τὴν ἀπήχησιν καὶ οὐκ ἐκ τῶν κάτω τοῖς ἄλλοις παραπλησίως. ἵνα οὖν τὴν ἀναλογίαν τῆς τοιαύτης ὀνομασίας οἱ μεμαθηκότες αὐτὸ φυλάττειν σπουδάζωσι καὶ πρὸς τὰ ἄνω βλέπωσιν, ὅθεν ἀπηχήθη, τούτου χάριν ψαλτήριον προσηγόρευσεν. τοῦ γὰρ παναγίου πνεύματος ἀπήχησίς ἐστιν ὅλον καὶ φθόγγος.

IV.

Ὠριγένους περὶ τῶν ρν´ ψαλμῶν.

Διὰ τί δέ εἰσιν ἑκατὸν πεντήκοντα ἐξετάσωμεν. ὁ πεντήκοντα ἀριθμὸς ὅτι ἐστὶν ἱερὸς ἐν μὲν ἡμέραις, δῆλον ἐκ τῆς πολυθρυλλήτου πεντηκοστῆς, λύσιν πόνων καὶ εὐφροσύνην σημαινούσης. διόπερ οὐδὲ νηστεύειν ἐν ταύταις κέκριται οὐδὲ κλίνειν γόνατα. σύμβολα γὰρ ταῦτα μεγάλης πανηγύρεως ἀποκειμένης ἐν τοῖς μέλλουσιν, ὧν σκιὰ κατὰ τὸν Ἰσραὴλ ἦν ἐπὶ γῆς· ἐν δὲ ἐνιαυτοῖς ὁ καλούμενος παρ' Ἑβραίοις ἰωβὴλ πεντηκοστὸς ἀριθμῷ ἐνιαυτὸς τυγχάνει[1], δούλων ἐλευθερίας καὶ χρεῶν ἀποκοπῆς καὶ ἀπὸ γεωργίας καὶ πάσης γεοπονίας ἀνέσεως ἐν τῷ ὠκεανῷ, κατ' ἀγροὺς καὶ οἰκίας ἐκ πατέρων κατά τινας βιωτικὰς χρείας ἀλλοτριούσας ἀποκαθίστασθαι τῷ γένει... τὸ ἱερὸν δὲ εὐαγγέλιον οἶδεν ἄφεσιν πεντηκοντάδος καὶ τοῦ συγγενοῦς αὐτῷ καὶ παρακειμένου ἀριθμοῦ πεντακοσιοστοῦ.[2] οὐ γὰρ μάτην πεντήκοντα δηναρίων καὶ πεντακοσίων ἄφεσις δίδοται. οὕτως οὖν καὶ τοὺς ὕμνους τοὺς εἰς θεὸν ἐπὶ καθαιρέσει ἐχθρῶν καὶ εὐχαριστίᾳ τῇ κατὰ τὰς τοῦ θεοῦ εὐεργεσίας ἐχρῆν περιέχειν οὐ μίαν πεντηκοντάδα, ἀλλὰ τρεῖς, εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος.

Περιέχει δὲ ἡ πεντηκοντὰς ἑπτὰ ἑβδομάδας, σάββατα σαββάτων καὶ ἀρχὴν μετὰ τέλεια σάββατα ὑπὲρ τὰ σάββατα ἐν ὀγδοάδι ἀληθῶς καινῆς ἀναπαύσεως.

Καὶ τοῦτο ἐπὶ τῶν ψαλμῶν ὁ δυνάμενος τηρείτω μεῖζον ἢ κατὰ ἄνθρωπον τὸ ἐπὶ πάντων τοὺς λόγους εὑρεῖν, ὡς παραθησόμεθα· οἷον ὅτι οὐ μάτην ὁ ὄγδοος «περὶ τῶν ληνῶν» ἐπιγέγραπται,

1. Λευΐτ. 25, 8 ἑξ. 2. Λουκ. 7, 41.

καρπῶν περιέχων ἐν ὀγδοάδι τὸν ἀπαρτισμόν. οὐδέπω γὰρ καιρὸς τῆς ἀπολαύσεως τῶν καρπῶν τῆς ἀληθινῆς ἀμπέλου ἐδύνατο εἶναι ἐν τοῖς πρὸ τοῦ ὀγδόου ἀριθμοῖς. καὶ ὅτι ὁ δεύτερος «ὑπὲρ τῶν ληνῶν» ὀγδοηκοστός ἐστιν, ἄλλην ὀγδοάδα περιέχων, τὴν ἐν δεκάσιν. ὁ δὲ ὀγδοηκοστὸς τρίτος, ἐπιπλεκομένων δύο ἁγίων ἀριθμῶν, τοῦ ὀγδόου ἐν δεκάσι καὶ τοῦ τρίτου ἐν μονάσιν. καὶ περὶ ἀφέσεως ἁμαρτημάτων ἀξιῶν καὶ ἐξομολόγησιν περιέχων ὁ πεντηκοστός ἐστιν. ὡς γὰρ ὁ πεντηκοστὸς κατὰ τὸ εὐαγγέλιον ἄφεσιν ἔσχεν, μαρτυρῶν τῇ νοήσει τῇ περὶ τοῦ ἰωβηλαίου, οὕτως ἐλπίζει οὐκ ἐν ἄλλῳ ἢ ἐν τῷ πεντηκοστῷ ἀριθμῷ ἄφεσιν λήψεσθαι ὁ εὐχόμενος τάδε τινὰ τῆς ἐξομολογήσεως.

Πάλιν τε αὐτοῦ εἰσι τινὲς τῶν ἀναβαθμῶν ᾠδαί, τὸν ἀριθμὸν πεντεκαίδεκα, ὅσοι καὶ οἱ ἀναβαθμοὶ τοῦ ναοῦ[1], τάχα δηλοῦσαι τὰς ἀναβάσεις περιέχεσθαι ἐν τῷ ἑβδόμῳ καὶ ὀγδόῳ ἀριθμῷ. ἡ δὲ ἀρχὴ τῶν ἀναβαθμῶν ἀπὸ ἑκατοστοῦ εἰκοστοῦ ἁπλούστερον λεγομένου ψαλμοῦ, ὡς τὰ ἀκριβῆ ἔχει τῶν ἀντιγράφων· οὗτος δέ ἐστιν ἀριθμὸς τελειότητος ζωῆς ἀνθρώπου. καὶ ὁ ἑκατοστός, οὗ ἡ ἀρχὴ «ἔλεος καὶ κρίσεις ᾄσομαί σοι, κύριε», περιέχει βίον ἁγίου κοινωνουμένου ὑπὸ τοῦ θεοῦ. ὁ δὲ ἑκατοστὸς πεντηκοστὸς καταλήγει εἰς τὸ «πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον.»

Ἀλλ' ἐπείπερ, ὡς προείπαμεν, ἐφ' ἑνὸς ἑκάστου τοῦτο ποιῆσαι καὶ εὑρεῖν τὰς αἰτίας σφόδρα ἐστὶ χαλεπώτατον καὶ δυσέφικτον τῇ τῶν ἀνθρώπων φύσει, τούτοις ἀρκεσθησόμεθα, ὑπογραφῆς χάριν μόνον προσθέντες ὅτι οὐ κατὰ τὴν τάξιν τῆς γραφῆς τῆς ἱστορίας οἱ δοκοῦντες ἠρτῆσθαι τῆς ἱστορίας ψαλμοὶ ἐνεγράφησαν. καὶ αἰτίαν τούτων ἔχει οὐκ ἄλλην ἢ τοὺς ἀριθμούς, ἐν οἷς εἰσι τεταγμένοι οἱ ψαλμοί. οἷον ἡ ἱστορία τοῦ πεντηκοστοῦ πρώτου προτέρα ἐστὶ τῆς ἱστορίας τοῦ πεντηκοστοῦ. τὰ γὰρ περὶ Δωὴκ τὸν Ἰδουμαῖον, διαβάλλοντα τὸν Δαυΐδ τῷ Σαοὺλ πᾶς ὁμολογεῖ, πρότερα εἶναι τῆς πρὸς τὴν τοῦ Οὐρίου ἁμαρτίας.[2] οὐκ ἀλόγως δὲ τὸ τῆς ἱστορίας δεύτερον πρότερόν ἐστι τοῦ τῇ ἱστορίᾳ προτέρου, ἐπεὶ ὡς προειρήκαμεν ὁ περὶ ἀφέσεως τόπος συγγενὴς τῷ πεντηκοστῷ ἐστιν ἀριθμῷ, ὁ δὲ οὐκ ἄξιος ἀφέσεως ὑπερέπεσε τὸν πεντηκοστὸν ἀριθμόν, ὡς Δωὴκ ὁ Ἰδουμαῖος. πεντηκοστὸς γὰρ πρῶτός ἐστιν ὁ ἀπαγγέλλων τὰ περὶ αὐτοῦ. ἀλλὰ μὴν καὶ ὁ τρίτος, ἐπεὶ «ὅτε ἔφευγε Δαυΐδ ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ» εἴρηται, δῆλον τοῖς ἀνεγνωκόσι τὰς βασιλείας, ὅτι μετὰ τὸν πεντηκοστὸν πρῶτόν ἐστι καὶ τὸν πεντηκοστόν.

Καὶ τὰ τοιαῦτα δ' ἢν ἐπὶ πλεῖόν τις διατρίψας τηρήσῃ, τῆς ἱστορίας καὶ τῶν ἐπιγραφῶν ἀκριβέστερον εὑρήσει τὰς αἰτίας τῆς τάξεως τῶν ψαλμῶν.

Εἰκὸς δ' ἔχειν ἀναλογίαν καὶ τὸ μόνον προφητῶν τὸν Δαυΐδ

1. Ἰεζ. 40, 49. 2. Α' Βασ. 22, 9 ἑξ. Β' Βασ. 11, 3 ἑξ.

σὺν ὀργάνῳ πεπροφητευκέναι, τῷ παρὰ μὲν Ἕλλησι καλουμένῳ ψαλτηρίῳ, παρὰ δὲ Ἑβραίοις νάβλα, ὅπερ μόνον ὀργάνων μουσικῶν ὀρθότατον εἶναι, οὐδὲν ἔχον ἐπικαμπές. καὶ μὴν οὐδὲ συνεργεῖται εἰς ἦχον ἐκ τῶν κάτω μερῶν, ὡς συμβαίνει ἐπὶ κιθάρας καὶ ἄλλων τινῶν, ἀλλ' ἄνωθεν.

V.

Βασιλείου.

Τῇ κιθάρᾳ μὲν γὰρ καὶ τῇ λύρᾳ κάτωθεν ὁ χαλκὸς ὑπηχεῖ πρὸς τὸ πλῆκτρον, τὸ ψαλτήριον δὲ τοῦτο τῶν ἁρμονικῶν ῥυθμῶν ἄνωθεν ἔχει τὰς ἀφορμάς, ἵνα καὶ ἡμεῖς «τὰ ἄνω ζητεῖν[1]» μελετῶμεν καὶ μὴ τῇ ἡδονῇ τοῦ μέλους ἐπὶ τὰ τῆς σαρκὸς πάθη καταφερώμεθα. κἀκεῖνο δὲ οἶμαι, τὸν προφητικὸν λόγον βαθέως ἡμῖν καὶ σοφῶς διὰ τῆς τοῦ ὀργάνου κατασκευῆς ἐνδεδεῖχθαι, ὅτι οἱ ἐμμελεῖς καὶ εὐάρμοστοι τὰς ψυχὰς ῥᾳδίαν ἔχουσι τὴν εἰς τὰ ἄνω πορείαν.

(Βασ. Ὁμιλ. εἰς τὸν Α' ψαλμ. Migne XXIX σ. 213).

VI.

Ὄργανον δὲ πάλιν ἐκ τῶν ἄνω τὴν ἀφορμὴν τοῦ ἠχεῖν ἐν ῥυθμῷ λαμβάνον, ποῖον ἂν εἴη ἢ τὸ σῶμα τοῦ Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ; ὄργανον τὴν εὐθύτητα μόνον τετηρηκός, «ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ[2]», ὄργανον σύμφωνον, ἐναρμόνιον, ἐμμελές, οὐδεμίαν ἀνθρωπίνην ἀσυμφωνίαν εἰληφὸς οὐδὲ παρὰ μέλος τι πεποιηκός, πάντη δὲ τὴν ἁρμονίαν τὴν πρὸς τὸν πατέρα τετηρηκός. ὡς γάρ φησιν αὐτὸς «ὁ ὢν ἐκ τῆς γῆς ἐκ τῆς γῆς ἐστι καὶ ἐκ τῆς γῆς λαλεῖ, ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος ὃ ἑώρακε καὶ ἤκουσε μαρτυρεῖ.[3]»

VII.

Λοιπόν ἐστι διαλαβεῖν, ὄντων ψαλμῶν καὶ οὐσῶν ᾠδῶν καὶ ψαλμῶν ᾠδῆς καὶ ᾠδῶν ψαλμοῦ, περὶ τῆς τούτων διαφορᾶς. ἡγούμεθα τοίνυν ψαλμοὺς μὲν εἶναι τοὺς πρὸς τὸ ὄργανον μόνον, φωνῆς οὐ συνεζευγμένης, κρουομένους καὶ δι' αὐτοῦ οἱονεὶ ἀπαγγελλομένους, τουτέστι τὴν δι' ὀργάνου μουσικὴν μελῳδίαν· ᾠδὰς δὲ τὰς τῇ φωνῇ ἐκδεχομένῃ εἰς τὸ στόμα ἐπαγγελίας μουσικῆς ἐναρμόνιον ἐκφωνεῖσθαι λεγομένας ὑπάρχειν· ψαλμοὺς δὲ ᾠδῶν, ὅτε προτέτακται μὲν ἡ φωνή, ταύτης δὲ ἤρτηται ὁ ἐκείνης συγγενὴς ἦχος, ἀποδεδομένος εὐρύθμως διὰ τῶν ὀργάνων· ᾠδὰς δὲ ψαλμῶν, ὅταν προτάσσηται μὲν τὸ ὄργανον, χώραν δὲ λαμβάνῃ δευτέραν ἡ φωνὴ ἑπομένη τῇ διὰ τῶν χορδῶν μουσικῇ.

Καὶ ταῦτα μὲν ὡς πρὸς τὸ ῥητὸν τῶν σημαινομένων, κατὰ δὲ τοὺς

1. Κολ. 3, 1. 2. Ἡσ. 53, 9. 3. Ἰω. 3, 31, 32.

τῆς ἀναγωγῆς νόμους ψαλμὸς μὲν ἂν εἴη, ὅτε τὸ ὄργανον, τὸ σῶμα, κρούοντες διὰ τῶν καλῶν ἔργων πρᾶξιν ἀγαθὴν ἐπιτελοῦμεν, κἂν μὴ πάνυ ἐν τῇ θεωρίᾳ προκόπτοντες ὑπάρχωμεν· ᾠδὴ δέ, ὅτε χωρὶς τοῦ πρακτικοῦ θεωρήσαντες τὰ τῆς ἀληθείας μυστήρια, τούτοις συγκατατιθέμενοι φρονοῦμεν τὰ κάλλιστα περὶ θεοῦ καὶ τῶν λογίων αὐτοῦ, γνώσεώς τε φωτιζούσης καὶ σοφίας ἐν ταῖς ψυχαῖς ἡμῶν τρανουμένης· ψαλμὸς δὲ ᾠδῆς, ὅτε τεθεωρηκότες, τῆς γνώσεως σαφηνιζούσης, τινὰ τῶν κεκρυμμένων ἠθικῶν, πρότερον ἐπὶ τὸ πράττειν γινόμεθα συνιέντες καὶ ὃ πρακτέον καὶ ὅτε πρακτέον καὶ ὡς πρακτέον· ᾠδὴ δὲ ψαλμοῦ, ὅτε προαγούσης πράξεως ἀγαθῆς κατὰ τὸ προειρημένον «ἐπιθυμήσας σοφίαν διατήρησον ἐντολὰς καὶ κύριος χορηγήσει σοι[1]» αὐτὴν συνίεμεν, κριθέντες ἄξιοι ὑπὸ θεοῦ τῆς ἀληθείας, τὰ τέως ἡμῖν ἀποκεκρυμμένα. καὶ τάχα διὰ τοῦτο αἱ πρῶται ἐπιγραφαὶ οὐδαμῶς περιέχουσι τὰς κατ' αὐτὰς ᾠδάς, ἀλλὰ μόνον ψαλμὸν ἢ μόνους ψαλμούς. οὐ γὰρ ἀπὸ θεωρίας ἄρχεται ὁ ἅγιος, ἀλλ' ἁπλούστερον πιστεύσας κατὰ ὀρθοδοξίαν ταῖς πραττομέναις πράξεσιν ἑαυτὸν ἐπιδίδωσιν. διὰ τοῦτο ἐπὶ τέλει πολλαὶ ᾠδαὶ καὶ ὅπου ἀναβαθμοί, οὐδαμοῦ ψαλμὸς οὔτε καθ' ἑαυτὸν οὔτε μετά τινος ἐπιπλοκῆς, ἀλλὰ πάντα ᾠδαὶ καθ' αὑτάς. ἐν γὰρ ταῖς ἀναβάσεσιν οἱ ἅγιοι πρὸς οὐδενὶ ἔσονται ἢ πρὸς μόνῳ τῷ θεωρεῖν. καὶ ταῦτα εἰρήσθω ἡμῖν καθολικά, δουλεύουσι τοῖς σημαινομένοις τῆς ἑρμηνείας τῶν ἑβδομήκοντα.

VIII.

Ἐπεὶ δὲ εὕρομεν παρὰ τοῖς ἑβδομήκοντα καὶ Θεοδοτίωνι καὶ Συμμάχῳ ἐπὶ τινῶν κείμενον ἐν μέσῳ ψαλμῶν οὐκ ὀλίγων τὸ «διάψαλμα», ἐστοχασάμεθα μήποτε ὑπεσήμαναν οἱ θέντες αὐτὸ ῥυθμοῦ τινος ἢ μέλους ἢ μέρους μεταβολὴν γεγονέναι κατὰ τοὺς τόπους ἢ κρουμάτων ἀνακωχήν, ἢ καὶ ἐποχὴν τοῦ ἁγίου πνεύματος μάλιστα, ἢ ὡς ἄλλος φησὶ τῶν ἐξηγημένων, ἀπὸ νοήματος εἰς νόημα μεταβολήν, ἢ καὶ τρόπου διδασκαλίας εἰς ἕτερον τρόπον ἢ διανοίας καὶ δυνάμεως λόγου ἐνάλλαγμα. οὔτε δὲ παρὰ τῷ Ἀκύλᾳ κεῖται οὔτε ἐν τῷ ἑβραϊκῷ, ἀλλ' ἀντὶ διαψάλματος γέγραπται «ἀεί.»

IX.

Ἐπιφανίου Κύπρου.

Καὶ τοῦτο δέ σε μὴ παρέλθοι, ὦ Φιλόκαλε, ὅτι καὶ τὸ ψαλτήριον διεῖλαν εἰς πέντε βιβλία οἱ Ἑβραῖοι, ὥστε εἶναι καὶ αὐτὸ ἄλλην πεντάτευχον. ἀπὸ γὰρ πρώτου ψαλμοῦ ἄχρι τεσσαρακοστοῦ μίαν ἐλογίσαντο βίβλον, ἀπὸ δὲ τεσσαρακοστοῦ πρώτου ἕως ἑβδομηκοστοῦ πρώτου δευτέραν ἡγήσαντο, ἀπὸ δὲ ἑβδομηκοστοῦ

1. Σοφ. Σειρ. 1, 26.

δευτέρου ἕως ὀγδοηκοστοῦ ὀγδόου τρίτην βίβλον ἐποίησαν, ἀπὸ δὲ ὀγδοηκοστοῦ ἐνάτου ἕως ἑκατοστοῦ πέμπτου τετάρτην, ἀπὸ δὲ ἑκατοστοῦ ἕκτου ἕως τοῦ ἑκατοστοῦ πεντηκοστοῦ τὴν πέμπτην συνέθηκαν. ἕκαστον γὰρ ψαλμὸν ἐν τῷ τέλει ἔχοντα τὸ «εὐλογητὸς κύριος, γένοιτο, γένοιτο» τοῦτο τέλος εἶναι βιβλίου ἐδικαίωσαν. εὑρίσκεται δὲ τοῦτο ἐν τεσσαρακοστῷ καὶ ἑβδομηκοστῷ πρώτῳ καὶ ὀγδοηκοστῷ ὀγδόῳ καὶ ἑκατοστῷ πέμπτῳ· τοῦ ἑκατοστοῦ πεντηκοστοῦ γὰρ τὸ πλήρωμα ἀντὶ τοῦ «εὐλογητὸς κύριος γένοιτο γένοιτο». «πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον ἀλληλούϊα.»

(Ἐπιφ. Περὶ μέτρων καὶ σταθμῶν. Migne XLIII σ. 244).

X.

Ἄλλος φησίν·

Ἐν τῇ καινῇ διαθήκῃ λέξεων ἀπὸ τῆς βίβλου τῶν ψαλμῶν παραλειφθεισῶν μαρτυρίαι κεῖνται, ὡς ὑπὸ ἁγίου πνεύματος εἰρημέναι. Παῦλος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ ἀπὸ τοῦ ἐνενηκοστοῦ τετάρτου ψαλμοῦ κεφάλαιον λαβών, ὑπὸ τοῦ ἁγίου πνεύματος ἀπηγγέλθαι αὐτὸ γράφει φήσας «καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον» «σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε[1]» κτέ. πρὸς τούτῳ καὶ ὁ τῶν ἀποστόλων πρόκριτος Πέτρος ἐν ταῖς πράξεσι τῶν ἀποστόλων σύμφωνα λέγει ὅπου μὲν «ἔδει πληρωθῆναι τὴν γραφήν, ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαυὶδ περὶ Ἰούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσιν Ἰησοῦν[2]» καὶ τὰ ἑξῆς, οἷς ὀλίγα ἐπειπὼν ἐπήγαγε «γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν· γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος.[3]» οὐδὲν δὲ ξένον εἰ οἱ ἀπόστολοι ταῦτα γράφουσιν, αὐτοῦ μάλιστα τοῦ σωτῆρος ταῦτα ἐπισφραγιζομένου· μνήμης γὰρ γεναμένης ἐν τῷ εὐαγγελίῳ τῆς ἀρχῆς τοῦ ἑκατοστοῦ ἐνάτου ψαλμοῦ ὧδε ἐχούσης «εἶπεν ὁ κύριος τῷ κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.[4]» ἐπύθετο τῶν Φαρισαίων, εἰ «Δαυὶδ ἐν πνεύματι ἁγίῳ τὸν Χριστὸν κύριον» εἶπεν «πῶς υἱὸς αὐτοῦ ἐστιν.» εἰ τοίνυν πνευματικὰ νοήματα περιέχουσιν οἱ ψαλμοί, οὐχ ὡς ἔτυχεν ἐντευκτέον τῇ γραφῇ αὐτῶν. καὶ ἐντεῦθεν ῥᾴδιον συνιδεῖν ὡς πάλαι παρ' Ἑβραίοις τὰς ἐπιγραφὰς εὑρόντες, οἱ τὰς θείας ἑρμηνευκότες γραφὰς ταύτας μετέθεσαν εἰς τὴν Ἑλλάδα φωνήν· τοῦτον γὰρ καὶ τὸν μετὰ τοῦτον ψαλμὸν ἀνεπιγράφους κατέλιπον, οὐ τολμήσαντες παρ' ἑαυτῶν προσθεῖναι τοῖς λόγοις τοῦ πνεύματος.

1. Ἑβρ. 3, 7. 2. Πράξ. 1, 16. 3. Πράξ. 1, 20. 4. Ματθ. 22, 44. Μάρκ. 12, 36. Λουκ. 20, 42.

XI.

Ἔστι δὲ προσευχὴ ἱκετηρία περί τινος τῶν συμφερόντων προσαγομένη τῷ θεῷ· εὐχὴ δὲ ὑπόσχεσις· ὕμνος ἡ ἐπὶ τοῖς ὑπάρχουσιν ἡμῖν ἀγαθοῖς ἀνατιθεμένη τῷ θεῷ εὐφημία· αἶνος ἤτοι αἴνεσις τῶν θείων θαυμάτων ἔπαινος· οὐδὲν γὰρ ἄλλο ἔπαινος ἢ τοῦ αἴνου ἐπίτασις.

XII.

Πότε καὶ ὅπως εἰς ταύτην ἦλθε τῶν ψαλμῶν τὴν ἐπίνοιαν ὁ θεῖος Δαυίδ; δοκεῖ μὲν καὶ πρῶτος καὶ μόνος ἐξ ἀρχῆς, ὅτε καὶ τοῖς δακτύλοις ἔλεγεν ἁρμόζεσθαι τὸ ψαλτήριον. εἰ γὰρ καὶ ἕτερος ἦν ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν, ἀλλ' ἄλλως ἐκεῖνος ἄτεχνόν τι καὶ ἰδιωτικὸν συμπήξας ἢ διατείνας ὄργανον καὶ οὔτε πρὸς μέλος οὔτε πρὸς λόγον ᾄδων, ἀλλ' ἀγροικικήν τινα παίζων τέρψιν. ὁ δὲ πρῶτος μετ' ἐκεῖνον εἰς ῥυθμὸν ἀγαγὼν τὸ πρᾶγμα καὶ τάξιν καὶ τέχνην, ἀλλὰ καὶ τῷ μέλει συγκαταμίξας τὸ ᾆσμα καὶ τὸ μεῖζον, πρὸς θεὸν ἢ θεὸν ᾄσας, οὗτος ὁ θεοφορητότατος, ἀρξάμενος μὲν ἐκ ποιμένων καὶ παίδων ἰδιωτικώτερόν τε καὶ ταπεινότερον, γενόμενος δὲ καὶ εἰς ἄνδρας καὶ βασιλέας ἐνδοξότερον ὁμοῦ καὶ κοινότερον. λαβεῖν δὲ λέγεται μάλιστα τὴν ἐπίδοσιν τοῦτο μετὰ τὴν ὑπ' αὐτοῦ τῆς κιβωτοῦ πρὸς τὴν πόλιν ἀποκατάστασιν, ἧς πολλὰ τότε προχορεύσας καὶ πολλαχῶς ᾄσας εὐχαριστήριά τε καὶ εἰσδεκτήρια ἅμα μετ' ὀλίγον καὶ τὴν φυλὴν ὅλην εἰς κλῆρον τῶν Λευϊτῶν λαβών, ἀρχὰς μὲν ἀπολέγεται τῶν χορῶν τέσσαρας, Ἀσάφ, Αἱμάν, Αἰθάν, Ἰδιθούμ[1], ἐπειδὴ καὶ πάντων τῶν ὁρωμένων ἀρχαὶ τέσσαρες· τοὺς δὲ χοροὺς ἐξ ἀνδρῶν συνίστησιν, ἐξελὼν τῶν ἄλλων, καὶ τούτους δύο καὶ ἑβδομήκοντα, πρὸς τὰς γλώσσας ἀπαριθμήσας οἶμαι τὰς συγχυθείσας ἢ μᾶλλον διακριθείσας ἐν τῇ πυργοποιΐᾳ.[2] τί τούτῳ τυπῶν, ἢ δηλῶν τὸ καὶ πάσας αὐτῷ γλώσσας ὕστερον ἐξομολογεῖσθαι κοινῶς ὀφείλειν ἢ μέλλειν, ὅτε καὶ πᾶσαν ὁ λόγος περιλάβῃ τὴν οἰκουμένην. καὶ οὐ τοῦτο μόνον τυπῶν, ἀλλὰ καὶ τὴν ὕστερον τοῦ Χριστοῦ «λατρείαν λογικήν[3]» ἀντὶ τῶν λύτρων καὶ θυσιῶν. ἐκείνων μὲν οὖν ἄλλος ἄλλο τι τῶν ὀργάνων, ὡς ἕκαστος εἶχεν, γνώμης ἢ τέχνης ἢ καὶ δυνάμεως ἐμελῴδει· ὁ δὲ Δαυίδ, ὥσπερ χορηγὸς χορηγῶν, καὶ οὐ προφητικοῦ μόνου, ἀλλὰ καὶ ἡγεμονικοῦ πνεύματος ὅλος ὤν, ἐξῆρχέ τε πάντων μέσον ἑστώς, τὸ βασιλικὸν ὄργανον τὸ ψαλτήριον ἐν χερσὶ κρατῶν καὶ τὴν ἐπιστήμην κινῶν· λόγος δὲ ἄλλος οὗτος ἱερὸς καὶ πατροπαράδοτος, ὡς κἀκείνων τῶν λοιπῶν ἕκαστος ὑπὸ τοῦ πνεύματος καταλαμβανόμενος· ἔνθους τε ἦν, καὶ τὸ μέλισμα ἀπεθέσπιζεν. ἡσύχαζε δὲ πᾶς ἄλλος ὑπᾴδων μόνον τὸ ἀλληλούϊα· ὃ ταὐτόν, τῷ «αἰνεῖτε τὸν ὄντα μόνον θεόν» ἢ τῷ «κραταιὸς θεὸς μόνος δύναται», μετεπήδα πάλιν ἐπ' ἄλλον τὸ πνεῦμα, κἀκείνου

1. Α' Παρλ. 16, 41 ἑξ. 25, 1 ἑξ. 2. Γεν. 11, 9. 3. Ῥωμ. 12, 1.

πάλιν τὸ ᾆσμα καὶ τῶν λοιπῶν ἡ σιγή. καὶ οὕτως ἀνὰ μέρος ἀνακινούμενοι καὶ τοὺς ψαλμοὺς ἀνακινοῦντες τοὺς χοροὺς ἴστων.

Ὁ δὲ τῶν ψαλμῶν ἀριθμὸς ἀμύθητόν τι χρῆμα τὸ κατ' ἀρχάς φασι ἀλλ' ἀσπούδαστον ὑπὸ τῶν Ἑβραίων· ὕστερον ἐπιγνοὺς Ἐζεκίας ἀφεῖλε τὴν περιφρόνησιν διὰ τῆς ἐνδείας, τὴν πολυπλήθειαν ἐπισυστείλας, καὶ εἰς πεντήκοντα μόνον καὶ ἑκατὸν αὐτοὺς συνελών, τρὶς ποιήσας τὸν παρ' αὐτοῖς ἐπαινούμενον ἀριθμόν, ὁμοῦ καὶ τὸν πεντήκοντα παραλαβὼν καὶ τὸ τῆς τριάδος συμπαραλαβὼν ἢ καὶ προκαταλαβὼν μυστήριον. τούτων δὲ οἱ μὲν πλεῖστοι καὶ κάλλιστοι, μᾶλλον δὲ καὶ πάντες πλὴν ὀλίγων σχεδὸν τοῦ Δαυΐδ· εἰσὶ γὰρ οἱ καὶ τῶν λοιπῶν ἀρχῳδῶν· ἀναφέρονται δὲ πρὸς αὐτὸν πάντες, καὶ τῷ πρῶτον αὐτὸν τοῦ πράγματος ἄρξαι, καὶ τῷ μόνον διδάσκαλον γενέσθαι τῶν χοροδιδασκάλων, καὶ αὐτὸν καὶ τοὺς ὕμνους αὐτοῖς ἀνατάξασθαι, καὶ πάντα τὰ περὶ ταῦτα καταστῆσαι καὶ διαθεῖναι κόσμον, οὕτω τούτων προαποδεδομένων ἀκόλουθον ἂν εἴη λοιπὸν ζητεῖν.

ΑΠΟΣΠΑΣΜΑΤΑ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ ΑΠΟΔΙΔΟΜΕΝΑ ΕΙΣ ΤΟΝ ΙΠΠΟΛΥΤΟΝ*

Ι. Ψαλμ. 2,7.

Τοῦ αὐτοῦ (Ἱππολύτου)

ἐκ τῆς ἑρμηνείας τοῦ δευτέρου ψαλμοῦ.

Οὗτος ὁ προελθὼν εἰς τὸν κόσμον, θεὸς καὶ ἄνθρωπος ἐφανερώθη. καὶ τὸν μὲν ἄνθρωπον αὐτοῦ εὐκόλως ἐστὶ νοεῖν, ὅτε πεινᾷ, καὶ κοπιᾷ, καὶ κάμνων διψᾷ, καὶ δειλιῶν φεύγει, καὶ προσευχόμενος λυπεῖται[1], καὶ ἐπὶ προσκεφαλαίου καθεύδει[2], καὶ ποτήριον πάθους παραιτεῖται, καὶ ἀγωνιῶν ἱδροῖ[3], καὶ ὑπ' ἀγγέλου δυναμοῦται[4], καὶ ὑπὸ Ἰούδα παραδίδοται, καὶ ἀτιμάζεται ὑπὸ Καϊάφα, καὶ ἀπὸ Ἡρώδου ἐξουθενεῖται, μαστίζεταί τε ὑπὸ Πιλάτου, καὶ ὑπὸ στρατιωτῶν παίζεται, καὶ ὑπὸ Ἰουδαίων ξύλῳ προσπήγνυται, καὶ πρὸς πατέρα βοῶν παρατίθεται τὸ πνεῦμα, καὶ κλίνων κεφαλὴν ἐκπνεῖ, καὶ πλευρὰν λόγχῃ νύσσεται, καὶ σινδόνι ἑλισσόμενος ἐν μνημείῳ τίθεται, καὶ τριήμερος ὑπὸ πατρὸς ἀνίσταται. τὸ δὲ θεϊκὸν αὐτοῦ πάλιν φανερῶς ἐστιν ἰδεῖν, ὅτε ὑπ' ἀγγέλων προσκυνεῖται, καὶ θεωρεῖται ὑπὸ ποιμένων, καὶ προσδοκᾶται ὑπὸ Συμεών, καὶ ὑπὸ Ἄννης μαρτυρεῖται, καὶ ζητεῖται ὑπὸ μάγων, καὶ σημαίνεται δι' ἀστέρος, καὶ ὕδωρ ἐν γάμοις οἶνον ἀπεργάζεται, καὶ θαλάττῃ ὑπὸ βίας ἀνέμων κινουμένῃ ἐπιτιμᾷ, καὶ ἐπὶ θαλάσσης περιπατεῖ, καὶ τυφλὸν ἐκ γεννητῆς ὁρᾶν ποιεῖ, καὶ νεκρὸν Λάζαρον τετραήμερον ἀνιστᾷ, καὶ ποικίλας δυνάμεις τελεῖ, καὶ ἁμαρτίας ἀφίησιν, καὶ ἐξουσίαν δίδωσι μαθηταῖς. (Θεοδωρήτου, Ἐρανιστής. Διάλογος II. Migne LXXXIII σ. 173-176).

II. Ψαλμ. 3,8.

Ἱππολύτου.

Περὶ τῆς Χριστοῦ ἀναστάσεως φησίν. Ἐκ μεταφορᾶς τῶν θηρίων, ἃ τῶν ὀδόντων στερούμενα, εὐκαταφρόνητα λίαν ἐστίν.

III. Ψαλμ. 22 (23).

Τοῦ ἁγίου Ἱππολύτου ἐπισκόπου καὶ μάρτυρος

ἐκ τοῦ λόγου τοῦ εἰς τὸ «κύριος ποιμαίνει με.[5]» Καὶ «κιβωτὸς» δὲ «ἐκ ξύλων ἀσήπτων[6]» αὐτὸς ἦν ὁ σωτήρ. τὸ γὰρ ἄσηπτον αὐτοῦ καὶ

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis ἔνθ' ἀνωτ.

1. Ματθ. 26, 37 ἑξ. Μάρκ. 14, 33 ἑξ. Λουκ. 22, 39 ἑξ. 2. Μάρκ. 4, 38. 3. Λουκ. 22, 44. 4. Λουκ. 22, 43. 5. Ψαλμ. 22, 1. 6. Ἔξ. 25, 10.

ἀδιάφθορον σκῆνος ταύτῃ κατηγγέλλετο, τὸ μηδεμίαν ἁμαρτήματος σηπεδόνα φύσαν. ὁ γὰρ ἁμαρτήσας καὶ ἐξομολογούμενός φησι «προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.[1]» ὁ δὲ κύριος ἀναμάρτητος ἦν, ἐκ τῶν «ἀσήπτων ξύλων[2]» τὸ κατ' ἄνθρωπον, τουτέστιν ἐκ τῆς παρθένου καὶ τοῦ ἁγίου πνεύματος, ἔσωθεν καὶ ἔξωθεν τοῦ λόγου τοῦ θεοῦ οἷα καθαρωτάτῳ χρυσίῳ περικεκαλυμμένος.

(Θεοδωρήτου, Ἐρανιστής. Διάλογος I. Migne LXXXIII σ. 85-88).

IV. Ψαλμ. 23 (24), 7.

Τοῦ αὐτοῦ (Ἱππολύτου) ἐκ τοῦ λόγου τοῦ εἰς τὸν κγ' ψαλμόν.

Ἔρχεται ἐπὶ τὰς οὐρανίας πύλας, ἄγγελοι αὐτῷ συνοδεύουσι καὶ κεκλεισμέναι εἰσὶν αἱ πύλαι τῶν οὐρανῶν. οὐδέπω γὰρ ἀναβέβηκεν εἰς οὐρανούς· πρῶτον νῦν φαίνεται ταῖς δυνάμεσι ταῖς οὐρανίαις σὰρξ ἀναβαίνουσα. λέγεται οὖν ταῖς δυνάμεσιν ὑπὸ τῶν ἀγγέλων τῶν προτρεχόντων τὸν σωτῆρα καὶ κύριον «ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.[3]»

(Θεοδωρήτου, Ἐρανιστής. Διάλογος II. Migne LXXXIII σ. 176).

V. Ψαλμ. 30 (31), 22.

Ἀνωνύμου.

Οὐ τοσοῦτον θαύματος ἄξιον, ὅταν ἐμφαίνεται ὁ ἔλεος τοῦ θεοῦ ἐν ταῖς ἡπλωμέναις πόλεσιν, ὅσον «θαυμαστούμενος» τότε, ὅταν «ἐν πόλει περιοχῆς[4]» γένηται, ὡς καὶ διὰ τοῦτο εὐλογητὸν εἶναι.

VI. Ψαλμ. 54 (55), 16.

Ἀνωνύμου.

Ἔλεγέν τις τῶν παλαιῶν, ζῶντας εἰς Ἅιδου κατέρχεσθαι μόνους τοὺς κατήχησιν τῶν θείων παιδευμάτων ἔχοντας· ὁ γὰρ ἄγευστος τῶν τῆς ζωῆς λόγων νεκρός...

VII. Ψαλμ. 57 (58), 12.

Ἀνωνύμου.

...Ἐπεὶ δὲ ἐστί τις καιρός, ἐν ᾧ ὁ μὲν δίκαιος χαρήσεται, οἱ δὲ ἁμαρτωλοὶ τὸ λεχθὲν περὶ αὐτῶν τέλος ἕξουσιν, εἰκότως ὁμολογεῖν πάντως προσήκει καὶ ἀποφαίνεσθαι, ὅτι ἐστὶ θεὸς ἔφορος καὶ ἐπίσκοπος τῶν ἐν ἀνθρώποις πραττομένων, κρίνων ἅπαντας τοὺς ἐν τῇ γῇ πολιτευσαμένους. ἐπιστῆσαι δὲ προσήκει, μήποτε ἡ μετὰ χεῖρας προφητεία, πᾶσα ἀκόλουθος οὖσα καὶ συνημμένη ταῖς πρὸ αὐτῆς, τὰ τέλη διαγράφῃ. ἐπίστησιν ὁ γραμματικός, τίνος ἕνεκεν ἐπεσημειώθη

1. Ψαλμ. 37, 6. 2. Ἐξ. 25, 10. 3. Ψαλμ. 23, 7. 4. Ψαλμ. 30, 22.

μοι τὸ διαγράφῃ ὑποτακτικῶς, ὡς δισταγμὸν ὑποφαίνων. οἶδας δὲ πάντως, ὅτι τὰ τῶν τοιούτων σχηματισμῶν εἰς ὑποτακτικὴν ἀναφέρονται ἔκκλησιν τῶν τὰς περὶ Χριστοῦ προφητείας μελετώντων, καὶ δικαιοσύνην τῷ στόματι λαλούντων, μὴ μὴν παραδεξαμένων αὐτὸν ἐλθόντα, μηδὲ ἐπακουσάντων αὐτοῦ τῆς φωνῆς βοῶντος πρὸς αὐτοὺς καὶ λέγοντος «ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.[1]» οἵτινες ὡμοίωσαν ἑαυτοὺς τῷ ὄφει, καὶ τὰ ὦτα αὐτῶν πεποιήκασιν ὡσεὶ ἀσπίδος κωφῆς, καὶ τὰ ἑξῆς τούτων εἰρημένα. ἔστιν οὖν ἀληθῶς ὁ ἐπιμελόμενος τῶν δικαίων θεός, καὶ δικάζων μὲν αὐτοῖς ἀδικουμένοις ἐπὶ τῆς γῆς· τιμωρούμενος δὲ τοὺς τολμῶντας αὐτοὺς ἀδικεῖν.

VIII. Ψαλμ. 58 (59), 7.

Ἀνωνύμου.

...Διὸ καὶ μέχρι τῆς σήμερον ὁρῶντες τοὺς ὅρους καὶ κύκλῳ περιϊόντες πόρρωθεν ἵστανται...

IX. Ψαλμ. 58 (59), 12.

Ἀνωνύμου.

... Οὐκέτι οὖν βασιλεὺς οὐδὲ ἀρχιερεὺς οὐδὲ προφήτης, ἀλλ' οὐδὲ γραμματεῖς καὶ Φαρισαῖοι καὶ Σαδδουκαῖοι παρ' αὐτοῖς εἰσιν. οὐ μὲν καὶ ἀποκτανθῆναί φησιν· διὸ συνέστηκεν αὐτῶν τὸ γένος, καὶ τῶν παίδων ἡ διαδοχὴ πληθύνει. οὐ γὰρ ἀπεκτάνθησαν, οὐδ' ἐξ ἀνθρώπων ἀπεσβησαν, ἀλλ' εἰσὶ μὲν καὶ ὑφεστήκασιν· οὕτω δὲ ὡς καταβεβλημένοι καὶ κατενηνεγμένοι, ἧς πάλαι ἠξίωντο παρὰ θεῷ τιμῆς. ἀλλὰ καὶ «διασκόρπισον αὐτούς», φησίν, «ἐν τῇ δυνάμει σου.[2]» ὃ δὴ καὶ γέγονεν. [εἰς πᾶσαν γὰρ τὴν γῆν διεσπαρμένοι τυγχάνουσιν, δουλεύοντες πανταχοῦ, καὶ τὰς ἐλαχίστους καὶ δουλοπρεπεῖς τέχνας, πάσας τε τὰς ἀπρεπεῖς μεθόδους ἕνεκα τοῦ πεινᾶν μετερχόμενοι.] εἰ γὰρ ἦσαν ἐξ ἀνθρώπων ἀφανισθέντες, μηδαμῇ μηδαμῶς ἐν ζῶσιν ὄντες, οὐκ ἂν εἶδον, φησίν, τὸν ἐμὸν λαόν, οὐδ' ἂν ἔγνωσαν ἀνθοῦσαν τὴν ἐμὴν ἐκκλησίαν. διασκόρπισον τοίνυν αὐτοὺς ἁπανταχῇ γῆς, ἔνθα μέλλει καὶ ἡ ἐμὴ ἐκκλησία συνίστασθαι· ὅπως βλέποντες τὴν ὑπ' ἐμοῦ θεμελιωθεῖσαν ἐκκλησίαν, εἰς ζῆλον ἔρχοιντο θεοσεβείας. οὐκοῦν καὶ ταῦτα ὁ σωτὴρ ὑπὲρ αὐτῶν ηὔχετο.

X. Ψαλμ. 61 (62), 7.

Ἀνωνύμου.

Μετανάσται κυρίως λέγονται οἱ παρά τινων ἐχθρῶν ἢ πολεμίων πορθηθέντες, εἶτα γενόμενοι μέτοικοι· ὅπερ καὶ ἡμεῖς παρὰ τῶν δαιμόνων ὑπεμείναμεν πρότερον. ἀφ' οὗ δὲ ἡμῶν Χριστὸς διὰ τῆς εἰς αὐτὸν ἀντελάβετο πίστεως, οὐκέτι μετανάσται ἀπὸ τῆς ὄντως πα-

1. Ματθ. 11, 15. 2. Ψαλμ. 58, 12.

τρίδος Ἱερουσαλὴμ τῆς ἄνω γινόμεθα, οὐδὲ μετοικισθῆναι ἀπὸ τῆς ἀληθείας εἰς τὴν πλάνην ἀνεχόμεθα.

XI. Ψαλμ. 67 (68), 19.

Ἀνωνύμου.

... Ἕλκει δὲ καὶ τοὺς ἀπειθοῦντας ἐσθ' ὅτε διὰ νόσων καὶ περιστάσεων. πολλοὶ δὲ καὶ δι' ὁραμάτων ἦλθον εἰς τὸ «κατασκηνῶσαι[1]» παρὰ τῷ Ἰησοῦ.

XII. Ψαλμ. 77 (78), 45.

Ὥσπερ δὲ διὰ τῆς ἀτακτοτέρας διαίτης φθοροποιός τις χυμὸς καὶ χολώδης ἐν τοῖς σπλάγχνοις συνίσταται, ὃν ὁ ἰατρὸς διὰ τῆς τέχνης εἰς ἔμετον ἐφελκόμενος οὐκ ἂν ἐν αἰτίᾳ γένοιτο τοῦ αὐτοῦ ἐνποιῆσαι τῷ σώματι τὸν νοσώδη χυμόν, ἀλλ' ἐποίησε μὲν τῆς τροφῆς ἀταξία, εἰς δὲ τὸ ἐμφανὲς ἤγαγεν ἡ ἰατρικὴ ἐπιστήμη· οὕτως κἂν περὶ θεοῦ γίνεσθαι λέγηται τοῖς μοχθηροῖς τὴν προαίρεσιν, ἡ ἀλγεινὴ ἀνταπόδοσις εὔλογον ἂν εἴη ἐξ ἡμῶν αὐτῶν νοεῖν τὰς ἀρχὰς καὶ τὰς αἰτίας τὰ τοιαῦτα λαμβάνειν πάθη. τῷ γὰρ ἀναμαρτήτως βεβιωκότι οὐ σκότος ἐστίν, οὐ σκώληξ, οὐ γέεννα, οὐ πῦρ, οὐκ ἄλλο τι τῶν φοβερῶν ὀνομάτων τε καὶ πραγμάτων ὡς οὐδὲ τοῖς Ἑβραίοις αἱ Αἰγύπτιαι πληγαί, οἱ λεπτοὶ σκινίπες ἐκεῖνοι, οἱ τοῖς ἀφανέσιν ἀλγύνοντες δήγμασιν, ἡ ὀδυνηρῶς διὰ τοῦ δήγματος ἐμφυομένη τῷ σώματι κυνόμυια.[2] οἱ ἄνωθεν πρηστῆρες τοῖς τῆς χαλάζης λίθοις συγκαταπίπτοντες ἡ ὑπὸ τῶν ἀκρίδων καταφθειρομένη γεωπονία, ὁ μελαινόμενος ἀήρ, τὰ ἄλλα.

Πρόκειται δὲ τῷ θεῷ γεωργεῖν μὲν τὴν «ἀληθινὴν ἄμπελον[3]», ἀποκτεῖναι δὲ τὴν Αἰγυπτίαν, φειδομένῳ τῶν μελλόντων ἐσθίειν «σταφυλὴν χολῆς, καὶ πίνειν θυμὸν ἀσπίδων ἀνίατον.[4]» ἀναιρεῖται δὲ καὶ συκάμινος Αἰγυπτία, οὐ μὴν ἐκείνη ἐφ' ἣν ἀναβαίνει Ζακχαῖος[5], ἵνα δυνηθῇ ἰδεῖν μου τὸν κύριον. καὶ διαφθείρονται καρποὶ Αἰγύπτιοι, «ἔργα σαρκός, οὐ μὲν ὁ τοῦ πνεύματος καρπός, ἀγάπη, χαρά, εἰρήνη.[6]»

XIII. Ψαλμ. 77 (78), 48.

Ὁ δὲ Σύμμαχος τοῦ «ἐκδόντος λοιμῷ τὰ κτήνη αὐτῶν, καὶ τὰ κτήματα αὐτῶν οἰωνοῖς.» ἀθρόαν γὰρ δεξάμενα τελευτήν, θοίνη τῶν σαρκοβόρων ὀρνίθων ἐγένοντο. κατὰ δὲ τοὺς ἑβδομήκοντα οὐ τοῦτο λέγει, ὅτι ἰδίᾳ μὲν ἡ χάλαζα τὰ κτήνη ἀνῄρει, ἰδίᾳ δὲ τὸ πῦρ τὴν ἄλλην ὕπαρξιν, ἀλλ' ὅτι χάλαζα μετὰ πυρὸς παραδότως καταφερομένη, πρὸ πάντων μὲν τὴν ἄμπελον ἀπενέκρου καὶ τὰς συκαμίνους, ὡς μὴ δυναμένας ὅλως ἀντισχεῖν τῇ πρώτῃ προσβολῇ. εἶτα τὰ κτήνη ὅσα ἐν τοῖς πεδίοις ἐνέμοντο, ἔπειτα δὲ πᾶσαν βοτάνην καὶ πᾶν φυτόν, τὸ ἐν τῇ

1. Ψαλμ. 67, 19. 2. Πρβλ. Ψαλμ. 77, 45. 3. Ἰω. 15, 1. 4. Δευτ. 32, 32-33. 5. Πρβλ. Λουκ. 19, 4. 6. Γαλ. 5, 19, 22.

χαλάζῃ πῦρ ἐπεβόσκετο, καὶ ἦν τὸ πρᾶγμα τεράστιον, πυρὸς ἐν ὕδατι τρέχοντος καὶ διαπλεκομένου. «διέτρεχε γάρ», φησίν, «τὸ πῦρ[1]» ἐν τῇ χαλάζῃ, ἦν δὲ ἡ χάλαζα καὶ τὸ πῦρ φλογίζον ἐν τῇ χαλάζῃ. ὕπαρξιν δὲ εἴτ' οὖν πλοῦτον καλεῖ ὁ Δαβίδ, τὰ κτήνη δὲ τὸν καρπὸν τῶν φυτῶν. χρὴ δὲ γινώσκειν ὅτι εἰ καὶ πᾶσαν βοτάνην καὶ πᾶν ξύλον ἡ χάλαζα διαφθεῖραι ἱστόρηται, ἀλλ' οὖν ὑπελείπετό τινα ἃ μετὰ τὴν πυρίπλοκον χάλαζαν· ἐπελθοῦσα κατέφαγεν ἡ ἀκρίς, περὶ ἧς εἴρηται, ὅτι κατέδεται «πᾶσαν βοτάνην καὶ πάντα τὸν καρπὸν τῶν ξύλων, ὃν ὑπελείπετο ἡ χάλαζα.[2]» κατὰ δὲ θεωρίαν· ἔστι τινὰ κτήνη Χριστοῦ, καὶ ἔστι τινὰ Αἰγυπτίων, δύναται μέντοι τά ποτε ἀλλότρια γενέσθαι αὐτοῦ κτήματα, ὡς τὰ Λαβὰν τοῦ Ἰακώβ[3], καὶ ἀνάπαλιν, τῶν γοῦν προβάτων ὅσα Ἰακὼβ ἀπεδοκίμασεν, ἐχαρίσατο τῷ Ἡσαῦ.[4] ὅρα γοῦν μήποτε ἐκ τῆς ποίμνης εὑρισκόμενος Ἰησοῦ ὅταν πέμπηται δῶρα τῷ Ἡσαῦ ἐκλεγῆς καὶ ὡς ἀδόκιμος καὶ ἀνάξιος τοῦ πνευματικοῦ Ἰακώβ, ἐκπεμφθῇς πρὸς τὸν Ἡσαῦ. κτήνη Χριστοῦ οἱ ἁπλούστεροι, οὓς σώζει ὁ θεὸς κατὰ τὸ «ἀνθρώπους καὶ κτήνη σώζεις κύριε[5]», κτήνη Αἰγυπτίων οἱ ἀλογίᾳ τῇ ἀθέῳ διδασκαλίᾳ συγκατατιθέμενοι, ἃ καὶ χαλαζοῦνται, καὶ Αἰγύπτιοι μὲν ὅσα ἔχουσι τῷ πυρὶ παραδίδοται, Ἀβραὰμ δὲ τὰ ὑπάρχοντα τῷ Ἰσαὰκ ἔδωκεν.

XIV. Ψαλμ. 77 (78), 49.

«Θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν[6]», τὰς πικρὰς τιμωρίας ἐκάλεσεν. ὁ γὰρ θεὸς ἀπαθής, καὶ θυμὸν μὲν νοήσεις τὰς ἧττον κολαζούσας, ὀργὴν δὲ τὰς μᾶλλον, θλῖψιν δὲ τὰς ἔτι, ἀγγέλους δὲ πονηρούς, τοὺς τῆς ὀργῆς ὑπουργούς, οὔτε φύσει τοῦτο ὄντας, οὔτε προαιρέσει, ἀλλὰ διὰ τὸ εἰς τοιαῦτα διακονῆσαι, καὶ πόνους καὶ ὀδύνας ἐνεργῆσαι, πονηροὺς ὀνομασθέντας, ὡς πρὸς τὴν τῶν πασχόντων διάθεσιν, καθὸ καὶ ἡμέρα πονηρὰ ἡ τῆς κρίσεως λέγεται, ὡς ἀναγκῶν καὶ πόνων τοῖς ἁμαρτωλοῖς γέμουσα. τοιοῦτον καὶ τὸ παρὰ τῷ Ἡσαΐᾳ «ἐγὼ κύριος ποιῶν εἰρήνην καὶ κτίζων κακά[7]», ἵνα εἴπῃ καὶ εἰρηνεύειν ἐῶν, καὶ πολεμεῖσθαι συγχωρῶν.

XV. Ψαλμ. 88 (89), 4.

Ἀνωνύμου.

Κύκλω δὲ ἡμῶν εἰσιν Ἑλλήνων οἱ σοφοί, μυκτηρίζοντες καὶ χλευάζοντες ἡμᾶς, ὡς ἀνεξετάστως καὶ μωρῶς πιστεύοντας.

XVI. Ψαλμ. 95 (96), 11.

Ἀνωνύμου.

... Σημαίνει δὲ διὰ τούτων ὁ λόγος διελεύσεσθαι τὸ εὐαγγελικὸν κήρυγμα καὶ τὰ πελάγη καὶ τὰς ἐπὶ θαλάσσης νήσους τούς τε ἐν ταύ-

1. Ἔξ. 9, 23. 2. Ἔξ. 10, 15. 3. Γεν. 30, 32 ἑξ. 4. Γεν. 33, 11. 5. Ψαλμ. 35, 7. 6. Ψαλμ. 77, 49. 7. Ἠσ. 45, 7.

ταις κατοικοῦντας ἀνθρώπους, «πλήρωμα αὐτῆς[1]» ὠνομασμένους· ὃ καὶ αὐτὸ τέλος ἔτυχεν. καὶ γὰρ ἐκκλησίαι Χριστοῦ τὰς νήσους ἁπάσας πληροῦσιν, πληθύει τε ὁσημέραι, καὶ ἐπιδίδωσιν ἡ σωτήριος διδασκαλία...

XVII. Ψαλμ. 118 (119), 30.

Ἀνωνύμου.

Ὁ φιλαλήθης καὶ μήποτε προφέρων ψευδῆ λόγον διὰ στόματος, εἴποι ἂν «ὁδὸν ἀληθείας ᾑρετισάμην.[2]» ἀλλὰ καὶ ὁ διὰ παντὸς πρὸ ὀφθαλμῶν τιθέμενος τὰ τοῦ θεοῦ κρίματα, καὶ ἐπὶ πάσῃ πράξει μεμνημένος αὐτῶν ἐρεῖ «τὰ κρίματά σου οὐκ ἐπελαθόμην.[3]»

XVIII. Ψαλμ. 118 (119), 32.

Ἀνωνύμου.

Καὶ πῶς ἡμῶν ἡ καρδία πλατύνεται διὰ πειρασμῶν καὶ θλίψεων; ταῦτα γὰρ τὰς ἐν ἡμῖν ἀκάνθας τῶν λογισμῶν ἐκτέμνει, καὶ τὴν καρδίαν εὐρυτέραν εἰς τὴν τῶν νόμων τῶν θείων ὑποδοχὴν ἐργάζεται. «ἐν θλίψει γάρ», φησίν, «ἐπλάτυνάς μοι.[4]» τότε τὴν ὁδὸν τῶν ἐντολῶν τοῦ θεοῦ διαβαίνομεν, εὔζωνες διὰ τῆς τῶν πειρασμῶν ὑπομονῆς γινόμενοι.

XIX. Ψαλμ. 137 (138), 7.

Ἀνωνύμου.

... Εἶδες ἐφ' ἑκάτερα τὰ μέρη μεγίστην δύναμιν; ἐμέ τε γὰρ ἐν μέσοις ὄντα τοῖς δεινοῖς διασῶσαι δυνήσῃ, ἐκείνους δὲ μαινομένους καὶ λυττῶντας καὶ πῦρ πνέοντας καταστεῖλαι.

XX. Ψαλμ. 138 (139), 15.

Ἀνωνύμου.

Εἴρηται καὶ τοῖς περὶ φύσεως καὶ γενέσεως τῶν ζῴων πραγματευσαμένοις, ἀόρατον εἶναι καὶ ἀκατάληπτον τὴν εἰς ὀστέον τοῦ αἵματος μεταβολήν, καίτοι τῶν ἄλλων, σαρκῶν καὶ νεύρων λέγω, ὅπως ποτὲ ἔχουσι γενέσεως θεωρουμένων. καὶ ἡ γραφὴ δὲ τοῦ ἐκκλησιαστοῦ παρίστησι τοῦτο λέγουσα «ὡς ὀστᾶ ἐν γαστρὶ τῆς κυοφορούσης, οὕτως οὐ γνώσῃ ποιήματα τοῦ θεοῦ·[5]» «οὐκ ἐκρύβη δὲ ἀπὸ σοῦ, οὐδὲ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς[6]» φθάσασα...

1. Ψαλμ. 95, 11. 2. Ψαλμ. 118, 30. 3. Ψαλμ. 118, 30. 4. Ψαλμ. 4, 2. 5. Ἐκκλ. 11, 5. 6. Ψαλμ. 138, 15.

ΕΙΣ ΤΑΣ ΠΑΡΟΙΜΙΑΣ ΣΟΛΟΜΩΝΤΟΣ *

ΓΝΗΣΙΑ ΑΠΟΣΠΑΣΜΑΤΑ ΤΟΥ ΙΠΠΟΛΥΤΟΥ ΕΙΣ ΤΑΣ ΠΑΡΟΙΜΙΑΣ

(κ. Βατικ. 1802.)

I. Παρμ. 1,11 ἑξ.

Ἱππολύτου.

Ταῦτα εἰς τὸν τῶν Ἰουδαίων δῆμον καὶ τὴν κατὰ Χριστοῦ μιαιφονίαν ἐξείληφεν· ᾤοντο γὰρ αὐτὸν ἐπὶ γῆς μόνον ἔχειν τὸ πολίτευμα.

II. Παρμ. 3,35.

Ἱππολύτου.

Οὐχ ἁπλῶς «λήψονται», ἀλλὰ «κληρονομήσουσιν.» «οἱ δὲ ἀσεβεῖς», εἰ καὶ ὑψοῦνται, ἀλλ' ὥστε μείζονα γενέσθαι τὴν «ἀτιμίαν» αὐτῶν. ὡς γάρ τις τὸν δυσειδῆ καὶ διεστραμμένον, εἰ ὑψώσειεν, οὐκ ἐδόξασεν, ἀλλ' ἠτίμωσε πλέον κατάδηλον αὐτοῦ τὸ αἶσχος πλείοσι καταστήσας, οὕτω καὶ ὁ θεὸς ὑψοῖ τοὺς ἀσεβεῖς, ἵνα ἐμφανῆ καταστήσῃ τὴν ἐκείνων ἀσχημοσύνην. ὑψώθη καὶ Φαραώ, ἀλλ' ὥστε τὴν οἰκουμένην κατήγορον ἔχειν.

III. Παρμ. 4,2.

Ἱππολύτου.

Σημειωτέον ὅτι «δῶρον ἀγαθὸν» ὀνομάζει τὸν νόμον διὰ τὸν «λαμβάνοντα δῶρα ἐν κόλποις ἀδίκως.[1]» οὗτος δὲ «ἐγκαταλιμπάνει νόμον[2]», ὁ παραβαίνων αὐτόν. «νόμον» δὲ ἤτοι ὃν λέγει ἢ ὃν καὶ αὐτὸς ἐφύλαξεν;

IV. Παρμ. 4,8.

Ἱππολύτου.

Καὶ πῶς ἐστι «περιχαρακῶσαι»; λογισμοὺς αὐτῇ κύκλῳ περίθες ἱερούς. πολλῆς γάρ σοι δεῖ τῆς ἀσφαλείας, ἐπεὶ καὶ πολλὰ τὰ ἐπιβουλεύοντα τῇ τοιαύτῃ κτήσει. εἰ δὲ ἐφ' ἡμῖν ἐστι τὸ «περιχαρακοῦν» αὐτήν, αἱ δὲ ἀρεταὶ ἐφ' ἡμῖν, χάρακες ἄρα εἶεν αἱ ἀρεταὶ αἱ ὑψοῦσαι τὴν γνῶσιν τοῦ θεοῦ, οἷον ἄσκησις, μελέτη καὶ ὁ ἄλλος τῶν ἀρετῶν ὁρμαθός, ἃς ὁ τηρῶν τὴν σοφίαν τιμᾷ· μισθὸς δὲ τὸ πρὸς αὐτὴν μετεωρισθῆναι καὶ περιληφθῆναι ὑπ' αὐτῆς ἐν τῷ ὑπερκοσμίῳ παστῷ.

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis ἔνθ' ἀνωτ. Ἐντὸς [ ] ἐτέθησαν ὑπὸ τοῦ ἐκδότου τὰ προστεθέντα εἰς τὸ κείμενον μέρη.

1. Παρμ. 17, 23. 2. Παρμ. 4, 2.

V. Παρμ. 4,11. 10.

Ἱππολύτου.

Εἶπε καὶ τὴν αἰτίαν πῶς ἔσται τοῦτο. «ὁδοὺς γὰρ σοφίας» ἤτοι τῆς εὐμηχάνου, τῆς εὐπόρου· ὅθεν ἂν βαδίσαι θέλῃς, πάντα ὑπεξίσται, οὐδὲν τὸ ἀντιπίπτον, εἴκουσι πάντα καθὰ βασιλίδα. θείως δὲ εἶπεν τὸ «ἐμβιβάζω», ὥστε φησὶ ἀσφαλῆ γενέσθαι τὴν παραμονήν. οὐ γὰρ τοσαῦται παρεκτροπαὶ τῶν λεωφόρων, ὅσαι τῆς ἀρετῆς· καὶ ἔργον ἐστὶν ἐρεῖν ἄνδρα ὀρθὸν ἀεί. εἰ γοῦν ἀκούεις ἐμοῦ, «πληθυνθήσεται ἔτη ζωῆς σου», ἵνα σχῇς ἄφθαρτον ζωήν· δηλονότι «πολλαὶ ὁδοὶ βίου» πράξεις ἀγαθαί, ἐπὶ τὴν γνῶσιν φέρουσαι τοῦ θεοῦ· «τροχιαὶ δὲ ὀρθαὶ» αἱ ἀπὸ τῶν ἀγαθῶν πράξεων πρὸς ἀγαθὰς πορεύσεις.

VI. Παρμ. 4,14.

Ἱππολύτου.

«Ἀσεβεῖς» μὲν οἱ ἑτερόδοξοι, «παράνομοι» δὲ οἱ παραβάται τοῦ νόμου, ὧν «τὰς ὁδοὺς» ἤτοι τὰς πράξεις «μὴ ἐπελθεῖν» φησιν. «τὰς ὁδοὺς» φησι τῶν ἑτεροδόξων «μὴ ἐπέλθῃς» ἢ τῶν τὸν νόμον παραβαινόντων. τὸ γοῦν «μὴ ἐπέλθῃς» ἀντὶ τοῦ μὴ ἐπιθυμηθῇς τὰ διανοήματα αὐτῶν· ἔκκλινον οὖν ἀπ' αὐτῶν ἡνιόχων τὰς ἀλόγους ὁρμάς. ἢ «ἀσεβεῖς» φησι τοὺς πονηροὺς λογισμούς, ψυχὰς ἀποκτείνοντας· ὁ στρατὸς αὐτῶν εἰς φόνον ψυχῆς ἀφορᾷ.

VII. Παρμ. 4,25.

Ἱππολύτου (;).

«Ὀρθὰ» ὁρᾷ ὁ λογισμοὺς ἔχων ἀπαθεῖς καὶ δόγματα ἀληθῆ, ὁ μὴ πρὸς τὰς ἔξω φαντασίας ἐπτοημένος. ὅταν λέγῃ «οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν», τὴν ὅρασιν δηλοῖ τῆς ψυχῆς, καὶ ὅταν παραινῇ «φάγε μέλι υἱέ, ἵνα γλυκανθῇ ὁ φάρυγξ σου[1]», μέλι τροπικῶς τὴν θείαν λέγει διδασκαλίαν, ἥτις τὴν πνευματικὴν καταρτίζει τῆς ψυχῆς γνῶσιν. ἀλλὰ καὶ ἅπτεται τῆς ψυχῆς ἡ σοφία· «ἐράσθητι» γάρ φησιν «αὐτῆς, ἵνα σε περιλάβῃ.[2]» ψυχὴ δὲ διὰ περιπλοκῆς σοφίᾳ ἑνωθεῖσα, ἁγιασμοῦ πληροῦται καὶ καθαρότητος. ἔστι γε μὴν τῶν Χριστοῦ μύρων, ἀντιλαμβάνεται ἡ τῆς ψυχῆς ὄσφρησις.

VIII. Παρμ. 4,27.

Ἱππολύτου.

Ἡ ἀρετὴ μεσότης· διὸ καὶ τὴν ἀνδρείαν μεταξὺ τῆς θρασύτητος καὶ τῆς δειλίας εἶναί φησιν. νῦν δὲ ὀνομάζει «δεξιὰ» οὐ τὰ φύσει δεξιά, ὅπερ ἐστὶν αἱ ἀρεταί, ἀλλὰ τὰ φαινόμενά σοι δεξιὰ διὰ τὰς ἡδονάς. ἡδοναὶ δέ εἰσιν οὐ μόνον ἀφροδίσια, ἀλλὰ καὶ πλοῦτος καὶ τρυφή· «ἀριστερὰ» δὲ φθόνος, φόνος, ἁρπαγαὶ καὶ τὰ τούτοις ὅμοια. «βορέας» γάρ φησι «σκληρὸς ἄνεμος, ὀνόματι δὲ ἐπιδέξιος καλεῖται.[3]»

1. Παρμ. 24, 13. 2, Παρμ. 4, 6, 8. 3. Παρμ. 27, 16.

βορέαν γὰρ συμβολικῶς τὸν πονηρὸν καλεῖ ἤτοι τὸν διάβολον, ἀφ' οὗ ἐξεκαύθη πάντα τὰ κακὰ ἐπὶ τῆς γῆς. «ὀνόματι δὲ» οὗτος «ἐπιδέξιος», ὅτι ἄγγελος καλεῖται δεξιῷ ὀνόματι.

IX. Παρμ. 4,27.

Ἱππολύτου.

Σύ, φησιν, «ἔκκλινον ἀπὸ κακοῦ[1]», καὶ τῷ θεῷ μελήσει τοῦ τέλους. προπορεύεται γάρ σου καταλύων τοὺς πολεμίους, ὡς ἐν εἰρήνῃ σε βαδίσαι.

X. Παρμ. 5,19.

Ἱππολύτου.

Ὅρα πῶς αὐτὸν εἰς σύνδεσμον ἄγει τῆς ὁμοζύγου. δείκνυσι γὰρ καὶ διὰ τοῦ ζῴου τὸ τῆς ἡδονῆς καθαρὸν καὶ διὰ τοῦ πώλου τὸ τῆς γυναικὸς παρίστησι γαῦρον καὶ ποθεινόν· καὶ ἐπειδὴ πολλὰ οἶδε τὰ παροξύνοντα, ἀσφαλῆ, ἀρραγῆ τὸν τῆς φιλίας αὐτοῖς δεσμὸν ἐπιτίθησιν, τὸ ἀδιάρρηκτον αὐτοῖς μηχανώμενος.

[Ἄλλως δέ. ἡ σοφία ἤτοι οὖν ἔλαφος τοὺς τῶν ἑτεροδόξων ὀφιώδεις λόγους πέφυκεν ἐλαύνειν καὶ ἀναιρεῖν. αὕτη οὖν φησι συνέστω σοι πῶλος οὖσα τῷ νεάζειν ἅπασαν ἀρετήν. καὶ ἐπεὶ μὴ ὅμοιον γυνὴ καὶ σοφία, αὕτη τοὐναντίον ἡγείσθω σοι· οὕτω γὰρ ἀποκυήσεις λογισμοὺς ἀγαθούς.]

XI. Παρμ. 6,26.

Ἡ ἀρχικὴ ἀναθεώρησις τῆς Σειρᾶς.
Ἱππολύτου.

Οὐ τὸν ἄρτον τῇ μίξει παραβάλλει, ἀλλὰ τὸ ἐπὶ τῇ μίξει καταβαλλόμενον ἀργύριον τῷ τοῦ ἑνὸς ἄρτου τιμήματι. οὐκ εἶπε δὲ «γυναικός», ἀλλὰ «πόρνης·» οὐ γὰρ ἀπὸ τῆς φύσεως, ἀλλ' ἀπὸ τῆς κακίας αὐτὴν ἐκάλεσεν. κακία δὲ οὐδενὸς ἀξία, φέρει δέ πως τοῖς ἡττωμένοις ὀδύνην, ὅταν ὁ νενικηκὼς εὐκαταφρόνητος ᾖ. ἢ ὅτι τοσαύτη ἐστὶν ἡ ἡδονὴ τῆς κακίας, ὅση καὶ ἑνὸς ἄρτου. γυνὴ δὲ... αἰσχύνθητι, φησίν, ὅτι γυνή σε νικᾷ καὶ ὅτι τῇ οὐδενὸς ἀξίᾳ πόρνῃ τὸ παρὰ σοὶ τιμιώτερον, τὴν ψυχήν, προδίδως.

Ἡ ἀναθεώρησις τοῦ Πολυχρονίου Διακόνου.
Βασιλείου.

Οὐ τὸν ἄρτον τῇ μίξει παραβάλλει, ἀλλὰ τὸ ἐπὶ τῇ μίξει καταβαλλόμενον ἀργύριον τῷ τοῦ ἑνὸς ἄρτου τιμήματι.

τοῦ Χρυσοστόμου.

Τιμὴ γὰρ πόρνης, ἐννόησον, τί ἐστιν ἐκείνη, πῶς οὐδενὸς ἀξία λόγου· φέρει γάρ τινα καὶ τοῦτο τοῖς ἠτιμωμένοις ὀδύνην, ὅταν ὁ νενικηκὼς εὐκαταφρόνητος ᾖ. τιμὴ γὰρ οὐκ εἶπε «γυναικός», ἀλλὰ «πόρνης», οὐκ ἀπὸ τῆς φύσεως, ἀλλ' ἀπὸ τῆς κακίας αὐτὴν ἐκάλεσεν· κακία δὲ οὐδενὸς ἀξία λόγου.

1. Παρμ. 3, 7.

XII. Παρμ. 6,27.

Ἱππολύτου.

"Ινα μὴ λέγῃς «τί γὰρ βλάβος τοῖς ὀφθαλμοῖς μὴ πάντως οὔσης ἀνάγκης τὸν ἐνορῶντα τραπῆναι», δείκνυσί σοι, ὡς ἡ μὲν ἐπιθυμία πῦρ ἐστιν, ἡ δὲ σὰρξ ἱμάτιον· τὸ μὲν εὐάλωτον, ἡ δὲ τυραννική. ὅταν δὲ οὐχ ἁπλῶς ἐγκείμενον ᾖ, ἀλλὰ καὶ ἀποδεδεμένον, οὐ πρότερον ἐξελεύσεται, ἕως ἑαυτῷ ποιήσει διέξοδον. ὁ γὰρ ἰδὼν γυναῖκα, εἰ καὶ διέφυγεν, ἀλλ' οὐκ ἐπιθυμίας καθαρὸς ἀνεχώρησεν. τί δὲ δεῖ πραγμάτων, παρὸν ἀπραγμόνως σωφρονεῖν; ὅρα τί φησιν ὁ Ἰὼβ «διαθήκην διεθέμην τοῖς ὀφθαλμοῖς μου, τοῦ μὴ κατανοῆσαι γυναῖκα ἀλλοτρίαν[1]», οὕτως οἶδε τὴν τῆς ἐπηρείας ἰσχύν. καὶ ὁ Παῦλος δὲ τούτου ἕνεκεν «ὑπεπίεζε τὸ σῶμα καὶ ἐδουλαγώγει.[2]»

[Κατὰ δὲ θεωρίαν. «ἀποδεσμεύει πῦρ ἐν κόλπῳ[3]» ὁ συγχωρῶν ἀκάθαρτον λογισμὸν ἐγχρονίζειν τῇ καρδίᾳ· «περιπατεῖ δὲ ἐπάνω ἀνθράκων[4]» ὁ διὰ τῆς κατ' ἐνέργειαν ἁμαρτίας τὴν ἰδίαν ἀπολλύων ψυχήν.]

XIII. Παρμ. 7,22.

Ἱππολύτου.

Κέμφος ἐστὶν εἶδος λάρου, ὃς οὕτως ἀκρατῶς ἔχει πρὸς ἡδονήν, ὡς αἵματος πληροῦσθαι δοκεῖν τοὺς ὀφθαλμοὺς ἐν τῷ ὀχεύειν καὶ λανθάνει ἀναισθητῶν, βρόχοις πολλάκις ἢ χερσὶ περιπίπτων ἀνθρώπων. τούτῳ οὖν τὸν προστιθέμενον τῇ πόρνῃ δι' ἀκολασίας ἀπείκασεν ἢ διὰ τὸ τοῦ ζῴου εὔηθες· καὶ γὰρ καὶ οὗτος ὡς ἄφρων ἐπηκολούθησεν. φασὶ δὲ αὐτὸ τοσοῦτον χαίρειν ἀφρῷ, ὥστε εἴτις πλέων ἀφρὸν ἐπὶ χειρὸς ἕξει, ἐπικάθηται τῇ χειρί· τίκτει δὲ καὶ ἐν ὀδύνῃ.

XIV. Παρμ. 7,27.

Ἱππολύτου.

Εἶδες αὐτῆς τὴν βλάβην, μὴ ἀναμείνῃς δέξασθαι τὴν ἐπιθυμίαν· θάνατος γὰρ αὐτῆς ἡ τελευτή.

[Ἄλλως δέ. «τιτρώσκει» μὲν λόγοις, ἤτοι λογισμοῖς, «φονεύει[5]» δὲ ταῖς ἁμαρτίαις τοὺς πειθομένους· πολλὰ γὰρ εἴδη κακίας τοὺς ἀνοήτους εἰς ᾅδου κατάγοντα· «ταμεῖα δὲ θανάτου[6]» ἢ τὸ βάθος ἢ ὁ πλοῦτος αὐτοῦ· πῶς οὖν ἔστι διαφυγεῖν;]

XV. Παρμ. 9,1.

Ἱππολύτου.

Τὴν νέαν Ἱερουσαλὴμ καὶ ἁγίαν σάρκα. «στύλους ἑπτὰ» τὴν ἑβδομάδα τοῦ ἁγίου πνεύματος ἐπ' αὐτῇ ἀναπαυομένου ἐσήμανεν,

1. Ἰὼβ 31, 1. 2. Α' Κορ. 9, 27. 3. Παρμ. 6, 27. 4. Παρμ. 6, 28. 5. Παρμ. 7, 26. 6. Παρμ. 7, 27.

καθὼς Ἡσαΐας μαρτυρεῖ λέγων «<καὶ ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, ἐμπλήσει αὐτὸν πνεῦμα φόβου θεοῦ>.[1]»

XVI. Παρμ. 9,12.

Ἱππολύτου.

Σημείωσαι ὅτι τὸν σοφὸν πολλοῖς εἶναι χρήσιμον ἀναγκαῖον, ὡς ὅ γε ἑαυτῷ χρήσιμος μόνον οὐκ εἴη σοφός· πολλὴ γὰρ τῆς σοφίας κατηγορία, εἰ μέχρι τοῦ κεκτημένου τὴν δύναμιν ἕξει. ὥσπερ δὲ ἰὸς οὐκ ἂν εἴη βλαβερὸς ἑτέρῳ σώματι, ἀλλὰ τῷ δεχομένῳ μόνῳ, οὕτω καὶ ὁ ἀποβὰς κακὸς ἑαυτὸν βλάψει, οὐκ ἄλλον. οὐδεὶς γὰρ ἐνάρετος παρὰ κακοῦ βλάπτεται.

XVII. Παρμ. 11,30.

Ἱππολύτου.

«Καρπὸς δικαιοσύνης» καὶ «δένδρον ζωῆς» ὁ Χριστός ἐστιν, ὁ μόνος ἀνθρωπίνως «πᾶσαν δικαιοσύνην πληρώσας·[2]» καὶ ὡς αὐτοζωὴ τοὺς τῆς γνώσεως καὶ ἀρετῆς καρποὺς ὡς δένδρον ἐβλάστησεν· ἐξ οὗ οἱ ἐσθίοντες ἀειζωΐαν λήψονται, καὶ τοῦ παραδείσου τοῦ δένδρου τῆς ζωῆς ἀπολαύσονται σὺν Ἀδὰμ καὶ πᾶσι τοῖς δικαίοις. «αἱ δὲ τῶν παρανόμων ψυχαὶ ἀφαιροῦνται[3]» μὲν «ἄωροι» ἐκ προσώπου τοῦ θεοῦ παρὰ τὸ παρορᾶν αὐτὸς αὐτοὺς ἐν τῇ φλογὶ τῆς βασάνου.

XVIII. Παρμ. 12,2.

Ἱππολύτου.

Οὐ παρὰ ἀνθρώπων, ἀλλὰ παρὰ τῷ θεῷ δύναμιν εὑρῇ.

XIX. Παρμ. 17,28.

Ἱππολύτου.

Οὗτος «ἐρωτᾷ σοφίαν» ὁ γνῶναι ζητῶν, τί τὸ θέλημα τοῦ θεοῦ, «ἐννεὸν δὲ ἑαυτὸν ποιήσας», περὶ οὗ μαθεῖν ἦλθεν, οὗτος «δόξει φρόνιμος εἶναι.» εἰ οὗτος ἐρωτᾷ περὶ σοφίας, ὁ βουλόμενός τι περὶ σοφίας μαθεῖν, οὗτος δὲ σιωπᾷ ἀπὸ σοφίας ὁ μὴ μόνον οὐδὲ θέλων γνῶναι περὶ σοφίας, ἀλλ' ἀποπαύων καὶ τοὺς πλησίον. διὸ καὶ φρονιμώτερος λέγεται εἶναι ὁ πρότερος τοῦ δευτέρου.

XX. Παρμ. 24,50 (30,15).

Ἱππολύτου.

Αὗται αἱ «τρεῖς θυγατέρες», εἶτα κατ' ἰδίαν ἄλλαι.

1. Ἡσ. 11, 2-3. 2. Ματθ. 3, 15. 3. Παρμ. 11, 30.

XXI. Παρμ. 24,50.51. (30,15.16).

Ἱππολύτου.

«Τῇ βδέλλῃ» τῇ ἁμαρτίᾳ· «θυγατέρες» πορνεία φόνος εἰδωλολατρεία. «καὶ οὐκ ἐνεπίμπλασαν αὐτήν», οὐ γὰρ πίμπλαται αὕτη ἀεὶ διὰ τούτων τῶν πράξεων, νεκροῦσα ἡ ἁμαρτία τὸν ἄνθρωπον, μηδέποτε ἠλλοιωμένη ἀλλὰ πάντοτε ἐπαύξουσα· «ἡ γὰρ τετάρτη» φησὶν «οὐκ ἠρκέσθη εἰπεῖν ἱκανόν·» τετάρτην λέγων τὴν κατὰ πάντων ἐπιθυμίαν ἐσήμανεν. ὥσπερ γὰρ «ἓν μέν ἐστι τὸ σῶμα, μέλη δὲ πολλὰ ἔχει [1]», οὕτω καὶ ἡ ἁμαρτία, μία οὖσα, πολλὰς καὶ ποικίλας ἐπιθυμίας ἐν ἑαυτῇ ἔχει, δι' ὧν ἐπίβουλος τῷ ἀνθρώπῳ γίνεται. ἐκ παραδειγμάτων δέ φησιν «ᾅδης καὶ ἔρως γυναικὸς καὶ τάρταρος καὶ γῆ οὐκ ἐμπιπλαμένη ὕδατος, καὶ ὕδωρ καὶ πῦρ οὐ μὴ εἴπωσιν ἀρκεῖ· [2]» ὃν γὰρ τρόπον ὁ ᾅδης οὐ διαλείπει δεχόμενος ψυχὰς ἀνόμων ἀνθρώπων, οὐδὲ ὁ ἔρως τῆς ἁμαρτίας, ὡς γυναικός, παύσεται ἐκπορνεύων, προδότης τῆς ἑαυτοῦ ψυχῆς ὥς τις γενόμενος. τάρταρος δὲ ἀεὶ ἐν λυγρώδει καὶ ζοφώδει τόπῳ ὑπάρχων, οὐ καταλαμβάνεται ὑπὸ ἀκτῖνος φωτός· οὕτως ἐστὶ πᾶς ὁ ἐν παντὶ πάθει σαρκὸς «τῇ ἁμαρτίᾳ δουλεύων· [3]» ὡς «γῆ μὴ ἐμπιπλαμένη ὕδατος [4]» μηδέποτε εἰς ἐξομολόγησιν καὶ «λουτρὸν παλινγενεσίας [5]» ἐλθεῖν δυνάμενος, ὡς «ὕδωρ καὶ πῦρ μὴ λέγοντα ἀρκεῖ. [6]»

XXII. Παρμ. 24,54 b (30,19 b).

Ἱππολύτου.

Ὃν γὰρ τρόπον «ὄφις ἐπὶ πέτρας» ἰχνοποιῆσαι οὐ δύναται, οὕτως οὐδὲ ὁ διάβολος ἐπὶ σῶμα Χριστοῦ ἁμαρτίαν ἠδυνήθη εὑρεῖν. λέγει γὰρ ὁ κύριος «ἰδοὺ ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν. [7]»

XXIII. Παρμ. 24,54 c (30,19 c).

Ἱππολύτου

Καθὼς γὰρ «ναῦς» διαπλέουσα ἐν τῷ πελάγει «ἴχνη» καὶ ὁδοὺς οὐ καταλείπει, οὕτως οὐδὲ ἡ ἐκκλησία, ἐν κόσμῳ πολιτευομένη ὡς ἐν πελάγει, καταλείπει τὴν ἰδίαν ἐλπίδα ἐπὶ τῆς γῆς, ἔχουσα τὴν ζωὴν «ἀποκειμένην ἐν τοῖς οὐρανοῖς. [8]» ἧς ἐπὶ βραχὺ παρελθούσης, οὐκ ἔστιν ἰχνηλατῆσαι τὴν δίοδον.

XXIV. Παρμ.24,54 c (30,19 c).

Τοῦ αὐτοῦ (Ἱππολύτου).

Τῆς ἐκκλησίας τῆς μὴ καταλιμπανούσης ἐν κόσμῳ τὴν ἐλπίδα, τῆς τὰ πάντα φερούσης.

---

1. Α' Κορ. 12, 20. 2. Παρμ. 24, 51. 3. Ῥωμ. 6, 6. 4. Παρμ. 24, 51. 5. Τίτ. 3, 5. 6. Παρμ. 24, 51. 7. Ἰω. 14, 30. 8. Κολ. 1, 5.

[Χριστοῦ σαρκώσεως· τρίβον γὰρ νεκρώσεως ἐν ᾅδου οὐχ ὑπελίπετο.]

XXV. Παρμ. 24,54 d (30,19 d).

Τοῦ αὐτοῦ (Ἱππολύτου).

Τίνος ἀλλ' ἢ τοῦ ἐκ πνεύματος ἁγίου καὶ παρθένου γεγεννημένου, ὃς τὸν «τέλειον ἄνθρωπον [1]» ἀνανεώσας ἐν κόσμῳ ἐπιτελεῖ τὰς δυνάμεις, «ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου· [2]» ὡς καὶ ὁ εὐαγγελιστὴς μαρτυρεῖ «ἦν δὲ ὁ Ἰησοῦς ἀρχόμενος ὡς ἐτῶν τριάκοντα. [3]» τοῦτο οὖν τὸ νέον καὶ ἀκμαῖον τῆς ἡλικίας ὃς διοδεύων κατὰ πόλεις καὶ χώρας ἰᾶτο τὰς νόσους καὶ τὰς ἀσθενείας τῶν ἀνθρώπων.

XXVI. Παρμ. 24,56-58 (30,21-23).

Ἱππολύτου.

Ὁ «σεισμὸς» δηλοῖ τὴν τῶν ἐπὶ γῆς πραγμάτων μεταβολήν... «ἡ ἁμαρτία» τοίνυν, δούλη οὖσα φύσει, «ἐβασίλευσεν ἐν τῷ θνητῷ τῶν ἀνθρώπων σώματι [4]»... ἅπαξ μὲν ἐπὶ τοῦ κατακλυσμοῦ· [5] δεύτερον δὲ ἐπὶ τῶν Σοδομιτῶν μὴ ἐνεγκάντων τὴν εὐφορίαν τῆς γῆς [6], ἀλλὰ καὶ τοὺς ξένους βιασαμένων· τρίτον ἐπὶ τῆς μισητῆς Αἰγύπτου, τῆς λαχούσης ἄνδρα τὸν Ἰωσὴφ σιτομετροῦντα πᾶσιν, ἵνα μὴ διαφθαρῶσι λιμῷ· ἀλλ' οὐκ ἤνεγκε τὴν εὐτυχίαν, εἰς τοὺς υἱοὺς Ἰσραὴλ ἐξυβρίσασα. . . . «οἰκέτις δὲ ἐκβαλοῦσα τὴν ἑαυτῆς δέσποιναν [7]», ἣ ἡ ἐξ ἐθνῶν ἐκκλησία, ἡ δούλη οὖσα καὶ ξένη τῶν ἐπαγγελιῶν, τὴν εὐγενίδα καὶ κυρίαν συναγωγὴν «ἐκβαλοῦσα» γέγονε κυρία καὶ νύμφη Χριστοῦ. [8]

XXVII. Παρμ. 24,56-58 (30,21—23).

Ἱππολύτου.

Διὰ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος «σείεται ἡ σύμπασα γῆ, τὸ δὲ τέταρτον οὐ δύναται φέρειν.» ἦλθε γὰρ τὸ μὲν πρῶτον διὰ νόμου διδάσκων, δεύτερον διὰ προφητῶν τὰ μέλλοντα προκηρύττων, τρίτον δὲ διὰ τοῦ εὐαγγελίου, ἑαυτὸν φανερῶς ἐπιδεικνύς· τέταρτον «κριτὴς ζώντων καὶ νεκρῶν [9]» ἐρχόμενος, οὗ τὴν δόξαν σύμπασα κτίσις οὐ μὴ βαστάξῃ. ἵνα οὖν διδάξῃ ἡμᾶς ὁ μακάριος Σολομὼν τὸ προκείμενον, ἐπήνεγκε λέγων «ἐὰν οἰκέτης βασιλεύσῃ, καὶ ἄφρων πλησθῇ σιτίων καὶ παιδίσκη ἐὰν ἐκβάλῃ τὴν ἑαυτῆς κυρίαν, καὶ γυνὴ μισητὴ ἐὰν τύχῃ ἀνδρὸς ἀγαθοῦ. [10]»

XXVIII. Παρμ. 24,61 (30,26).

Ἱππολύτου.

Τίνες «οἱ χοιρογρύλλιοι», ἀλλ' ἢ ἡμεῖς, οἳ ἐοίκαμέν ποτε χοίροις,

---

1. Κολ. 1, 28. 2. Πράξ. 1, 22. 3. Λουκ. 3, 23. 4. Πρβλ. Ῥωμ. 6, 12. 5. Γεν. 7, 1 ἑξ. 6. Γεν. 19, 1 ἑξ. 7. Παρμ. 24, 58. 8. Πρβλ. Ἀποκ. 21, 9. 9. Πράξ. 10, 42. 10. Παρμ. 24, 57 ἑξ.

ἐν πάσῃ ῥυπαρίᾳ τοῦ κόσμου ἀναστρεφόμενοι· νυνὶ δὲ πιστεύσαντες Χριστῷ ἐποικοδομοῦμεν «τοὺς ἑαυτῶν οἴκους» ἐπὶ τὴν ἁγίαν σάρκα Χριστοῦ ὡς ἐπὶ «πέτραν».

XXIX. Παρμ. 27,22.

Ἱππολύτου.

Τὸν πεποιωμένον ἐν τῇ κακίᾳ. ὁ δὲ ἀπόστολος «τοὺς ἁμαρτάνοντάς» φησιν «ἐνώπιον πάντων ἔλεγχε.[1]»

[Τὸν ἐκτραπέντα πρὸς ὀλίγον.]

XXX. Παρμ. 24,53 ᵃ (30,18 ᵃ).

Ἱππολύτου.

Καθάπαξ ἀδύνατον νοηθῆναι. οὐ καθάπαξ, φησίν, «ἀδύνατον νοῆσαι.»

XXXI. Παρμ. 25,2.

Ἱππολύτου.

Ὁ τὴν τοῦ «θεοῦ δόξαν» ἢ τὴν τοῦ «βασιλέως κρύπτων» παρ' ἑαυτῷ τιμᾷ πρόσταγμα αὐτοῦ.*

1. Α' Τιμ. 5, 20.

* Τὰ δύο τελευταῖα θεωροῦνται ὑπὸ τοῦ ἐκδότου H. Achelis, ἔνθ' ἀνωτ., ὡς ἀμφιβαλλόμενα.

ΑΜΦΙΒΑΛΛΟΜΕΝΑ ΑΠΟΣΠΑΣΜΑΤΑ ΕΙΣ ΤΑΣ ΠΑΡΟΙΜΙΑΣ *

XXXII.

Πολυσήμαντον τὸ ὄνομα τῆς παραβολῆς. ἔστι γὰρ παραβολὴ λάλημα καὶ ἀπόδειγμα καὶ ὀνειδισμός. καὶ παραβολή ἐστι λόγος παραβάλλων τὰ νοητὰ τοῖς αἰσθητοῖς καὶ παριστῶν ἐκ τῶν ἐγκοσμίων καὶ ὁρατῶν τὰ ὑπερκόσμια καὶ τὰ ἀόρατα.

XXXIII.

Ἡ ἀναθεώρησις τοῦ Πολυχρονίου Διακόνου. *Ἱππολύτου.*	*Ἡ ἀρχικὴ ἀναθεώρησις τῆς Σειρᾶς.*
Παροιμίαι τοίνυν εἰσὶ λόγοι προτρεπτικοὶ πρὸς πᾶσαν ὁδὸν τοῦ βίου χρησιμεύοντες. τοῖς γὰρ ἐπὶ τὸν θεὸν τὴν ὁδὸν ποιουμένοις ὁδηγός τις γίνεται παραπλησίως τῷ ὑποδείγματι, τοὺς κάμνοντας διὰ τὸ τῆς ὁδοῦ μῆκος ἀνακτωμένη. εἰσὶν οὖν αὗται αἱ παροιμίαι Σολομῶντος, ὅ ἐστιν εἰρηνικοῦ ἤτοι τοῦ Σωτῆρος Χριστοῦ. ἐπειδὴ δὲ τοὺς τοῦ κυρίου λόγους, ἅτε δὴ κυρίου τυγχάνοντας, ἀπταίστως ἐπιστάμεθα, ἵνα μή τις ἐκ τῆς ὁμωνυμίας ἡμᾶς ἀφαρπάσῃ, φησίν, τίς ὁ γράψας ταῦτα καὶ τίνων ἦν βασιλεύς, ἵνα ἡ τοῦ λέγοντος ἀξιοπιστία εὐπαράδεκτον τὸν λόγον καταστήσῃ, καὶ προσεχεῖς τοὺς ἀκούοντας. Σολομῶντος γάρ εἰσιν ἐκείνου, πρὸς ὃν εἶπεν ὁ κύριος «δώσω σοὶ καρδίαν φρονίμην καὶ σοφήν· ὡς σὺ οὐ γέγονεν ἐπὶ τῆς γῆς καὶ μετὰ σὲ οὐκ ἀναστήσεται ὅμοιός σοι[1]» καὶ τὰ λοιπὰ περὶ	Λόγοι γάρ εἰσιν αἱ παροιμίαι προτρεπτικοὶ πρὸς πᾶσαν τοῦ βίου τὴν ὁδὸν χρησιμεύοντες. … πρόσκειται δὲ τὸ τοῦ συγγραφέως ὄνομα, ἵνα ἡ τοῦ λέγοντος γραφέως ἀξιοπιστία εὐπαράδεκτον καταστήσῃ τὸν λόγον.

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis ἔνθ' ἀνωτ.

1. Γ' Βασ. 3, 12.

αὐτοῦ γεγραμμένα. ἦν δὲ σοφὸς ἐκ σοφοῦ, διὸ καὶ πρόσκειται τῷ Δαβίδ, ἐξ οὗ Σολομῶν γέγονεν, «ἐκ βρέφους τὰ ἱερὰ γράμματα παιδευόμενος[1]» καὶ οὐ κλήρῳ τὴν ἀρχὴν λαβόμενος οὐδὲ βίᾳ, ἀλλὰ κρίσει τοῦ πνεύματος καὶ ψήφῳ θεοῦ.

XXXIV. Παρμ. 1,2.3.

Ἱππολύτου; Χρυσοστόμου;

Ὁ γὰρ «γνοὺς τὴν σοφίαν» τοῦ θεοῦ λαμβάνει παρ' αὐτοῦ καὶ «παιδείαν», ἐκμανθάνων δι' αὐτῆς τὰ τοῦ λόγου μυστήρια. καὶ οἱ ἐπιγνόντες τὴν ἀληθῆ καὶ ἐπουράνιον σοφίαν εὐκόλως «νοήσουσι» τοὺς σοφοὺς ὑπ' αὐτῆς λελαλημένους «λόγους», διό φησι «δέξασθαι στροφὰς λόγων.»

XXXV. Παρμ. 1,3.

Χρυσοστόμου.

Τὰ γὰρ ἀντιστρόφως ἐν παραβολαῖς ὑπὸ τοῦ ἁγίου πνεύματος λελαλημένα, ταῦτα τοῖς πιστὴν καρδίαν ἔχουσι πρὸς θεὸν εὔγνωστα γίνεται, «νοοῦσι γὰρ τὴν ἀληθῆ δικαιοσύνην», διὰ Χριστοῦ καταγγελλομένην.

XXXVI. *Ὠριγένους.*

Παροιμία ἐστὶ λόγος ἀπόκρυφος, δι' ἑτέρου προδήλου σημαινόμενος.

XXXVII. Παρμ. 1,11.

Ὀλυμπιοδώρου.

«Κρύπτουσιν εἰς γῆν» οὓς ἀναπείθουσι τὰ ἐπίγεια φρονεῖν· «ἄνδρα δὲ δίκαιον» τὸν οὐράνιον ἔχοντα φρόνημα δηλοῖ. δύναται δὲ ταῦτα νοεῖσθαι καὶ εἰς τὸν Χριστὸν καὶ εἰς τὸν τῶν Ἰουδαίων λαόν.

XXXVIII. Παρμ. 1,10.11.

Ἱππόλυτος.

Σοφὸς ὑπάρχων παιδευτὴς ὁ παροιμιαστὴς καὶ τῆς τῶν νέων στοχαζόμενος ἕξεως, ἐν ἀπαγορεύσει τῆς μιαιφονίας οὐ πρότερα τίθησι τὰ δοκοῦντα ἐξ αὐτῆς περιγίνεσθαι κέρδη, ὡς ἂν μὴ λάθῃ δὴ ἀποτρέπων τοῦ φόνου, μᾶλλον προτρεπόμενος· ἀλλὰ πολλὰ τὰ ἐκ ψιλῆς τῆς προσηγορίας ἀποτρέποντα τὸν ἀκούοντα προσθείς, ὀψέ ποτε ἐπάγει τὰ ἀπὸ τούτων τοῖς τοιούτοις περιγινόμενα κέρδη. μηδὲ ὑπόσχῃς οὖν τὴν ἀκοὴν ἀσεβῶν διδάγμασιν, σκόπησον γὰρ πρότερον ἐφ' οἵαν σε κοινωνίαν προτρέπονται, καὶ τίνων ἐργάτην γενέσθαι παρακαλοῦσιν. οὐ γὰρ ἐπὶ πορείαν ὀνήσιμον ἄγουσιν, οὐκ ἐπ' ἐργασίαν ἐλευθέροις προσήκουσαν, ἀλλ' ἐπ' ἔκχυσιν αἵματος, καὶ τούτου δικαίου, οὐκ ἀφορμὴν δεδωκότος, οὐ λύπης αἰτίαν παρεσχηκότος, ὡς καὶ αὐτοὶ συνομολογοῦσιν.

1. Β' Τιμ. 3, 15.

XXXIX. Παρμ. 8,17.

Ἱππόλυτος.

Μεῖζον τοῦ φιλεῖν τὸ ἀγαπᾶν. οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες ἢ στρεβλὸν καὶ καμπύλον, πάντα εὐθεῖα, φανερά, οὐδὲν σοφιστικὸν οὐδὲ μεμαγγανευμένον ἔχοντα· ἡ γὰρ ἔξω διδασκαλία λόγους μὲν ἔχει, ἐργασίαν δὲ οὐκ ἔχει.

XL. Παρμ. 9,2 b.

Ἱππόλυτος.

Ἄκρατον γὰρ ὄντα· τὰ θεῖα φωναῖς ἀνθρωπίναις ἐκέρασεν, ὅ ἐστι σοφία ἀνθρώπων, ἵνα χωρίσαι αὐτὰ δυνηθῶμεν.

XLI. Παρμ. 9,4.

Ἱππόλυτος.

Καρδίαν. ὁ γὰρ μήπω «νοῦν ἔχων Χριστοῦ[1]», ὅταν λάβῃ ἀρχὴν ἀρετῆς, «ἐκκλίνει» ἀπὸ κακοῦ καὶ ποιεῖ ἀγαθόν.

XLII. Παρμ. 9,12 c.

Τὸ ψεῦδος ἄστατον φύσει. ὅστις οὖν χρῆται τούτῳ, τὸν φυσικὸν θεμέλιον ἐάσας, τὴν τοῦ θεοῦ σοφίαν, ἀλήθειαν οὖσαν, «ποιμαίνει ἀνέμους.[2]» περὶ ὧν φησιν ὁ Παῦλος «κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ διδασκαλίας.[3]» οὗτος δὲ καὶ «διώξεται ὄρνεα πετόμενα[4]», συγγένειαν ἔχοντα πρὸς τὰ πετεινά, τὰ ἁρπάζοντα τὰ «παρὰ τὴν ὁδὸν» σπαρέντα, ἅπερ ἡρμήνευσεν ὁ σωτὴρ εἶναι «τὸν πονηρόν.[5]»

XLIII. Παρμ. 11,31.

Ὅτι οὐδὲν ἰσοστάσιον δίδοται παρ' ἡμῶν τῷ θεῷ τοῖς δοθεῖσιν ἡμῖν παρ' αὐτοῦ. «οὐ γὰρ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν[6]», φησὶν ὁ Δαυίδ, κἂν αὐτοῦ τοῦ ἡλίου καθαρώτερος ᾖ, ὥστε διὰ φιλανθρωπίαν σῳζόμεθα.

XLIV. Παρμ. 12,13.

Ἱππόλυτος.

Ὁ μὴ σφαλλόμενος τὴν διάκρισιν ἢ ὁ μὴ βασκάνῳ καὶ πλεονεκτικῷ κεχρημένος ὀφθαλμῷ.

1. Α' Κορ. 2, 16. 2. Παρμ. 9, 12. 3. Ἐφ. 4, 14. 4. Παρμ. 9, 12. 5. Ματθ. 13, 19. 6. Ψαλμ. 142, 2.

XLV. Παρμ. 14,28 [a].

Ἱππόλυτος.

Πληθυνθείσης τῆς ἐκκλησίας δεδόξασται ὁ Χριστός.

XLVI. Παρμ. 24,13.

Ἱππόλυτος.

«Μέλι» ἡ ἀλληγορία, «κηρίον» ἡ ἱστορία, ἥτις ἔχει ἐπικεχρυμμένον μέλι· «φάρυγξ» δὲ ἡ θρεπτικὴ τῆς ψυχῆς δύναμις, δι' ἧς τροφαὶ παραπέμπονται εἰς τὴν κοιλίαν αὐτῆς.

XLVII. Παρμ. 24,54 [d] (30,19 [d]).

Τίνος;· τοῦ ἐν παλιγγενεσίᾳ πολιτευσαμένου. ἢ οὕτως· ἀνδρὸς τοῦ ἀεὶ νεάζοντος τῇ ἀνδρείᾳ· ἢ ὅτι· ὡς εἴπομεν ὁ νέος τεταγμένας ὁδοὺς οὐκ ἔχει· ἢ ἄλλως· τοῦ ἀναγεννηθέντος διὰ τοῦ βαπτίσματος καὶ ἄφεσιν ἁμαρτιῶν λαβόντος.

XLVIII. Παρμ. 24,54 [d] (30,19 [d]).

«Τὸ δὲ τέταρτον ἀνεπίγνωστον [1]» διὰ τὸ ἄστατον τῶν τρόπων. τοῦτο ἦθος νεαροῦ, ᾧ συντακτέον καὶ τὰς τῆς μοιχαλίδος ὁδούς. δυσφώρα τοίγαρ, ἐπεὶ μηδὲν ἐκ τοῦ προφανοῦς βλάβος ἐνορᾶται τῷ σώματι πρὸ τῆς ἀθεμίτου πράξεως.

XLIX. Παρμ. 25,13 [a].

Ἱππόλυτος.

Καύσωμα διαλύει, μεγάλα τὸν σῖτον βλάπτοντα, ὡς πρὸ ὥρας πεσεῖν πολλάκις, ἀφανισθέντα ὑπὸ τῆς καύσεως.

L. Παρμ. 25,16.

Ἱππόλυτος.

Μηδενὶ ἀκορέστως πρόσιθι, μάλιστα τῶν κατὰ τὸν ἀνθρώπινον βίον, ἀλλ' οὕτως ἀπόλαυσαι ἀβλαβῶς.

LI. Παρμ.25,25 [a].

Ἱππόλυτος.

Τὸ ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. οὐ γὰρ μάτην τῇ ψυχῇ πρόσκειται, ἀλλ' ἵνα πνευματικῶς τοῦτο ἐκλάβωμεν.

LII. Παρμ. 25,25 [b].

Ἱππόλυτος.

«Οὕτω» φησὶν «ἀγγελία ἀγαθή·» ἡ περὶ τῆς ἀναστάσεως καὶ ἡ ἐπαγγελιῶν· ὠφελεῖ τὸν παραδεξάμενον.

LIII. Παρμ. 26,6

Ἱππόλυτος.

Ὡς τοὺς πολλοὺς λέγειν, ὡσαύτως ἔχειν τῷ ἀποστελλομένῳ τὸν ἀποστείλαντα· ἐξ ἑαυτοῦ ὕβρεις πάσχει.

1. Παρμ. 24, 53.

ΕΙΣ ΤΟ ΑΣΜΑ*

Καὶ ποῦ πᾶσα ἡ πλουσία αὕτη γνῶσις; ποῦ δὲ τὰ μυστήρια ταῦτα; καὶ ποῦ αἱ βίβλοι; [1] ἀναφέρονται γὰρ μόναι αἱ παροιμίαι καὶ ἡ σοφία καὶ ὁ ἐκκλησιαστὴς καὶ τὸ ᾆσμα τῶν ᾀσμάτων. τί οὖν; ψεύδεται ἡ γραφή; μὴ γένοιτο· ἀλλὰ πολλὴ μέν τις ὕλη γεγένηται τῶν γραμμάτων, ὡς δηλοῖ τὸ λέγειν ᾆσμα ᾀσμάτων. σημαίνει γὰρ ὅτι ὅσα περιεῖχον αἱ πεντακισχίλιαι ᾠδαὶ ἐν τῷ ἑνὶ διηγήσατο. ἐν δὲ ταῖς ἡμέραις Ἐζεκίου τὰ μὲν τῶν βιβλίων ἐξελέγησαν, τὰ δὲ καὶ περιώφθησαν. ὅθεν φησὶν ἡ γραφή· «αὗται αἱ παροιμίαι Σολομῶντος αἱ ἀδιάκριτοι, ἃς ἐξεγράψαντο οἱ φίλοι Ἐζεκίου τοῦ βασιλέως.[2]» πόθεν δὲ ἐξελέξαντο ἀλλ' ἢ ἐκ τῶν βιβλίων τῶν ἐγκειμένων ἐν αἷς λέγει τρισχιλίαις παραβολαῖς καὶ πεντακισχιλίαις ᾠδαῖς; ἐξ αὐτῶν οὖν τούτων οἱ φίλοι Ἐζεκίου σοφοὶ ὑπάρχοντες ἐξελέξαντο τὰ πρὸς οἰκοδομὴν ἐκκλησίας.

ΕΙΣ ΤΟΝ ΕΚΚΛΗΣΙΑΣΤΗΝ**

I. Ἐκκλ. 2,10.

Ἑρμηνεία. Ἱππολύτου.

Τῆς ἐπιθυμίας εἰς πέρας ἀγομένης ἐπὶ τοῖς μόχθοις τοῖς δι' αὐτὴν γενομένης ηὐφραίνετο καὶ τοῦτο ηὕρισκε μερίδα καὶ κλῆρον τὴν ἀπόλαυσιν· «μόχθον» οὖν (;) οὐ μόνον τὴν φιλοπονίαν αὐτοῦ, ἀλλὰ καὶ τὸν πρὸς ἀρετὴν πόνον λέγει. οἷον οἱ μοχθοῦντες «εὐφραίνονται τῇ καρδίᾳ [3]» οὐ μόνον δι' ὁράσεων καὶ ἀποκαλύψεων, ἀλλὰ καὶ δι' ἀγγέλων θεοῦ μυούμενοι τά τε ἑαυτοῖς καὶ τοῖς ἐν τῷ κόσμῳ συμβήσεσθαι μέλλοντα.

II. Ἐκκλ. 2,24.

Οὐ σαρκικῶς ἐσθίειν καὶ πίνειν προστάσσει ὁ Ἐκκλησιαστής, ἀλλὰ πνευματικῶς. Ἐπεὶ ὁ ἐν ταῖς Παροιμίαις εἰπών, «Μὴ ἀπατᾶσθε χορτασίᾳ κοιλίας», καί, «Ἀγαθὸν πορεύεσθαι εἰς οἶκον πένθους, ἢ εἰς οἶκον πότου», καί, «Καρδία σοφῶν ἐν οἴκῳ πένθους, καὶ καρδία ἀφρόνων ἐν οἴκῳ εὐφροσύνης», πῶς ἐνταῦθα ἐπὶ ἀνατροπῇ τῶν οἰκείων λόγων προσέταττεν εὐφραίνεσθαι καὶ γαστρίζεσθαι; Ἐσθίει δέ τις καὶ πίνει πνευματικῶς, ἐργαζόμενος τὰς ἐντολὰς τοῦ Κυρίου, τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον. «Ἐμὸν γάρ, φησί, βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ Πατρός μου.» (Migne 89,593).

* Κατὰ τὴν ἔκδοσιν τοῦ G. Nathanael Bonwetsch, Hippolyt's Kommentar zum buche Daniel und die fragmente des Kommentars zum Hohenliede, ἐν Hippolytus Werke, A, Leipzig 1897.

1. Πρβλ. Γ' Βασ. 4, 32. 2. Παρμ. 25, 1. 3. Ἐκκλ. 2, 10.

** Κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis ἔνθ' ἀνωτ.

ΕΙΣ ΗΣΑ·Ι·ΑΝ

I. Ἡσ. 19,1.

Τοῦ ἁγίου Ἱππολύτου ἐκ τοῦ λόγου εἰς τὴν ἀρχὴν τοῦ Ἡσαΐου.

Αἰγύπτῳ μὲν τὸν κόσμον ἀπείκασε, χειροποιήτοις δὲ τὴν εἰδωλολατρίαν, σεισμῷ δὲ τὴν μετανάστασιν καὶ κατάλυσιν αὐτῆς. Κύριον δὲ τὸν Λόγον, νεφέλην δὲ κούφην τὸ καθαρώτατον σκῆνος, εἰς ὃ ἐνθρονισθεὶς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰσῆλθεν εἰς τὸν βίον, σεῖσαι τὴν πλάνην.

(Θεοδωρήτου, Ἐρανιστής. Διάλ. I. Migne X σ. 632).

II. Ἡσ. 3,5,7,8.

Ἱππολύτου ἐπισκόπου Ῥώμης, περὶ Ἐζεκίου.

Ἔτι μαλακισθέντος τοῦ Ἐζεκίου τοῦ βασιλέως τῆς Ἰουδαίας, καὶ κλαύσαντος, ἦλθεν ἄγγελος καὶ εἶπεν αὐτῷ· «Εἶδον τὰ δάκρυά σου, καὶ ἤκουσα τῆς φωνῆς σου. Ἰδοὺ προστίθημι εἰς τὸν χρόνον σου ἔτη ιε΄, τοῦτο δέ σοι τὸ σημεῖον παρὰ Κυρίου· ἰδοὺ στρέφω τὴν σκιὰν τῶν ἀναβαθμῶν τοῦ οἴκου τοῦ πατρός σου, οὓς κατέβη ὁ ἥλιος, τοὺς δέκα ἀναβαθμούς [1]», οὓς κατέβη ἡ σκιά, ὥστε γενέσθαι τὴν ἡμέραν ἐκείνην ὡρῶν λβ΄. Τοῦ γὰρ ἡλίου δραμόντος ἐπὶ τὴν δεκάτην ὥραν, πάλιν ἀνεπόδισε. Καὶ πάλιν ἡνίκα Ἰησοῦς ὁ τοῦ Ναυὴ ἐπολέμει τοὺς Ἀμωραίους, τοῦ ἡλίου ἤδη εἰς δυσμὰς κλίνοντος, καὶ τοῦ πολέμου ἀθρόως ἐπικειμένου, εὐλαβηθεὶς Ἰησοῦς, μήποτε νυκτὸς ἐπιγενομένης διαφύγωσιν οἱ ἀλλόφυλοι, ἐβόησε λέγων· «Στήτω ὁ ἥλιος κατὰ Γαβαών, καὶ ἡ σελήνη κατὰ φάραγγα Ἐλών· [2]» ἕως ἂν ἐκπολεμήσω τὸν λαὸν τοῦτον. Καὶ ἔστη ὁ ἥλιος, καὶ ἡ σελήνη ἐν τῇ στάσει αὐτῶν, ὥστε γενέσθαι τὴν ἡμέραν ἐκείνην ὡρῶν κδ΄. Καὶ ἀνέστρεψεν ἐπὶ Ἐζεκίου σὺν τῷ ἡλίῳ, καὶ σελήνη εἰς τοὐπίσω· ἵνα μὴ ἡ σύγκρουσις τῶν δύο στοιχείων γένηται ἀτάκτως ἀλλήλων ἐπιφερομένων. Καὶ καταπλαγεὶς τότε Μαροδαχὼν ὁ Χαλδαῖος ὁ βασιλεὺς Βαβυλῶνος, διὰ τὸ τὴν ἀστρολογικὴν τέχνην ἀσκεῖν, καὶ τὸν τούτων δρόμον ἀκριβῶς καταμετρεῖν, μαθὼν τὴν αἰτίαν, ἔπεμψεν ἐπιστολὴν καὶ δῶρα τῷ Ἐζεκίᾳ, ὃν τρόπον ἐποίησαν καὶ οἱ μάγοι ἀπὸ ἀνατολῶν πρὸς Χριστόν. (Migne X σ. 629).

III. Ἡσ. 38,8.

Εὑρίσκομεν ἐν τοῖς ὑπομνηματισμοῖς τοῖς ὑπὸ τῶν πρεσβυτέρων ἀναγεγραμμένοις, γεγενῆσθαι τὴν ἡμέραν ἐκείνην ὡρῶν λβ΄. Τοῦ

1. Ἡσ. 38, 5, 7, 8. 2. Ἰησ. Ν. 10, 12.

γὰρ ἡλίου διαδραμόντος, καὶ ἐπὶ τὴν δεκάτην ὥραν φθάσαντος, καὶ τῆς σκιᾶς τοὺς δέκα ἀναβαθμοὺς τοῦ οἴκου τοῦ ναοῦ κατελθούσης, ἀνέστρεψε πάλιν ὁ ἥλιος τοὺς δέκα ἀναβαθμοὺς εἰς τὰ ὀπίσω, κατὰ τὸ ῥῆμα Κυρίου, καὶ ἐγένοντο ὧραι κ΄. Καὶ πάλιν τὸν ἴδιον δρόμον κατὰ τὴν ἰδίαν τάξιν κυκλώσας ὁ ἥλιος ἐπορεύθη εἰς δυσμάς. Ἐγένοντο οὖν ὧραι λβ΄. (Migne X σ. 632).

ΕΙΣ ΙΕΖΕΚΙΗΛ

Πόσος ἐστὶ τὸ μέγεθος ὁ Σολομώντιος ναός; τὸ μὲν μῆκος ἑξήκοντα πηχῶν, τὸ δὲ εὖρος κ΄. Ἐτέτραπτο δὲ οὐ πρὸς ἕω, ἵνα οἱ προσευχόμενοι μὴ τὸν ἥλιον ἀνίσχοντα προσκυνῶσιν, ἀλλὰ τὸν τοῦ ἡλίου Δεσπότην. Θαυμαζέτω δὲ μηδείς, εἰ τῆς Γραφῆς μ΄ πηχῶν εἰρηκυίας τὸ μῆκος, ἑξήκοντα εἶπον ἐγώ. Μετ᾽ ὀλίγα γὰρ καὶ τῶν ἄλλων κ΄ ἐπιμέμνηται τὰ Ἅγια τῶν ἁγίων, ἃ καὶ Δαβὴρ ὀνομάζει. Οὐκοῦν τὰ μὲν ἅγια μ΄ πηχῶν ἦν· τὰ δὲ Ἅγια τῶν ἁγίων ἄλλων κ΄. Ὁ δὲ Ἰώσηππος διόροφον τὸν ναὸν γεγενῆσθαι λέγει, καὶ πᾶν τὸ ὕψος ρκ΄ πηχῶν εἶναι. Οὕτω γὰρ καὶ ἡ τῶν Παραλειπομένων βίβλος δεδήλωκε, λέγουσα· «Καὶ ἤρξατο Σολομὼν τοῦ οἰκοδομῆσαι τὸν οἶκον τοῦ Θεοῦ. Μῆκος πηχῶν ἡ διαμέτρησις ἡ πρώτη ξ΄, καὶ εὖρος πηχῶν κ΄, καὶ ὕψος ρκ΄, καὶ κατεχρύσωσεν αὐτὸν ἔσωθεν χρυσίῳ καθαρῷ.[1]» (Migne X σ. 632).

ΑΠΟΣΠΑΣΜΑΤΑ ΕΚ ΤΟΥ ΥΠΟΜΝΗΜΑΤΟΣ ΕΙΣ ΜΑΤΘΑΙΟΝ *

Ματθ. 6,11.

Ἀνωνύμου.

Διὰ τοῦτο ζητεῖν προσετάχθημεν τὸ πρὸς τήρησιν ἐξαρκοῦν τῆς σωματικῆς οὐσίας, οὐ τρυφήν, ἀλλὰ τροφήν, τὸ ἐλλεῖπον ἀναπληροῦσαν τοῦ σώματος, καὶ τὴν ἐκ τοῦ λιμοῦ κωλύουσαν θάνατον· οὐ τραπέζας φλεγμαινούσας καὶ εἰς ἡδονὰς ἐκμαινούσας, οὐδ᾽ ὅσα σκιρτᾶν τὸ σῶμα κατὰ τῆς ψυχῆς παρασκευάζει, ἀλλ᾽ «ἄρτον», καὶ τοῦτον οὐκ εἰς πολὺν ἐτῶν ἀριθμόν, ἀλλὰ τὸν «σήμερον» ἡμῖν ἀρκοῦντα.

1. Β΄ Παρλ. 3, 1, 3, 4.

* Πάντα τὰ ἀποσπάσματα τῶν ὑπομνημάτων εἰς τὴν Κ. Δ. εἶναι κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis ἔνθ᾽ ἀνωτ.

ΕΙΣ ΤΗΝ ΤΩΝ ΤΑΛΑΝΤΩΝ ΔΙΑΝΟΜΗΝ

Ματθ. 25,24 ἑξ.

Τοῦ ἁγίου Ἱππολύτου ἐπισκόπου καὶ μάρτυρος
ἐκ τοῦ λόγου τοῦ εἰς τὴν τῶν ταλάντων διανομήν.

Τούτους δὲ καὶ τοὺς ἑτεροδόξους φήσειεν ἄν τις γειτνιᾶν, σφαλλομένους παραπλησίως. καὶ γὰρ κἀκεῖνοι ἤτοι ψιλὸν ἄνθρωπον ὁμολογοῦσι πεφηνέναι τὸν Χριστὸν εἰς τὸν βίον, τῆς θεότητος αὐτοῦ τὸ τάλαντον ἀρνούμενοι· ἤτοι τὸν θεὸν ὁμολογοῦντες, ἀναίνονται πάλιν τὸν ἄνθρωπον, πεφαντασιωκέναι διδάσκοντες τὰς ὄψεις αὐτῶν τῶν θεωμένων, ὡς ἄνθρωπον οὐ φορέσαντα ἄνθρωπον, ἀλλὰ δόκησίν τινα φασματώδη μᾶλλον γεγονέναι, οἷον ὥσπερ Μαρκίων καὶ Οὐαλεντῖνος καὶ οἱ γνωστικοί, τῆς σαρκὸς ἀποδιασπῶντες τὸν λόγον, τὸ ἓν τάλαντον ἀποβάλλονται, τὴν ἐνανθρώπησιν.

(Θεοδωρήτου, Ἐρανιστής. Διάλογος II. Migne LXXXIII σ. 172).*

ΕΙΣ ΤΟΥΣ ΔΥΟ ΛΗΣΤΑΣ

I. Ἰω. 19,34.

Τοῦ αὐτοῦ (Ἱππολύτου)
ἐκ τοῦ λόγου τοῦ εἰς τοὺς δύο λῃστάς.

Ἀμφότερα παρέσχε τὸ τοῦ κυρίου σῶμα τῷ κόσμῳ, αἷμα τὸ ἱερὸν καὶ ὕδωρ τὸ ἅγιον.

(Θεοδωρήτου, Ἐρανιστής. Διάλογος III. Migne LXXXIII σ. 285).

II. Ἰω. 19,34.

Τοῦ αὐτοῦ (Ἱππολύτου)
ἐκ τοῦ αὐτοῦ λόγου (εἰς τοὺς δύο λῃστάς).

Καὶ νεκρόν τε ὂν τὸ σῶμα κατὰ τὸν ἀνθρώπινον τρόπον, μεγάλην ἔχει ζωῆς ἐν αὐτῷ δύναμιν. ἃ γὰρ οὐ προχεῖται τῶν νεκρῶν σωμάτων, ταῦτα ἐξ αὐτοῦ προεχέθη, αἷμά τε καὶ ὕδωρ· ἵν' εἰδείημεν, ἡλίκον ἡ κατασκηνώσασα δύναμις ἐν τῷ σώματι πρὸς ζωὴν δύναται, ὡς μήτε αὐτὸ τοῖς ἄλλοις ὅμοιον φαίνεσθαι νεκρόν, ἡμῖν δὲ τὰ ζωῆς αἴτια προχεῖν δύνασθαι.

(Θεοδωρήτου, Ἐρανιστής. Διάλογος III. Migne LXXXIII σ. 285).

* Τὰ ἐκ τοῦ ὑπομνήματος εἰς τὸν Λουκᾶν ἀποσπάσματα εὑρίσκονται κατωτέρω, μεταξὺ τῶν ἀποσπασμάτων ἐκ τοῦ Περὶ τοῦ Ἁγίου Πάσχα. (Ὑπ' ἀριθ. I, II, III).

III. Ἰω. 19,33.

Τοῦ αὐτοῦ (Ἱππολύτου)
ἐκ τοῦ αὐτοῦ λόγου (εἰς τοὺς δύο λῃστάς).

Οὐ συντρίβεται δὲ ὀστοῦν τοῦ ἁγίου προβάτου, δεικνύντος τοῦ τύπου μὴ καθικνούμενον τῆς δυνάμεως τὸ πάθος. σώματος γὰρ ὀστέα δύναμις.

(Θεοδωρήτου, Ἐρανιστής. Διάλογος III. Migne LXXXIII σ. 285).

ΑΠΟΣΠΑΣΜΑΤΑ ΕΚ ΤΟΥ ΕΙΣ ΤΟΝ ΙΩΑΝΝΗΝ ΚΑΙ ΤΗΝ ΑΝΑΣΤΑΣΙΝ ΤΟΥ ΛΑΖΑΡΟΥ

Εἰς τὸν τετραήμερον Λάζαρον. β'.

Ἀγαπητοί· ὥσπερ μήτηρ φιλότεκνος ἐπιδοῦσα τὴν θηλὴν τῷ νηπίῳ τέρπεται τοῦ παιδὸς ἐφέλκοντος τὴν ἁπαλὴν τροφὴν τοῦ γάλακτος· ἐπειδὰν δὲ ὁ θρόμβος τοῦ γάλακτος τυρωθεὶς ἐμφράξῃ τοὺς ὀχετοὺς τοῦ μαζοῦ, τότε δὴ καὶ τὸ παιδίον κλαυθμυρίζει, καὶ ἡ μήτηρ ὀδυνᾶται, τὴν μὲν προαίρεσιν τοῦ τρέφειν ἡπλωμένην ἔχουσα, τὴν δὲ τροφὴν μὴ ἐπιδιδομένην ὁρῶσα· ὡσαύτως καὶ ἡμεῖς τῇ προτεραίᾳ τὴν θηλὴν τῆς διανοίας ὑμῖν ὑποβαλόντες ἐτερπόμεθα ὑμῶν ἐφελκόντων τὸ γάλα τοῦ λόγου· ὅτε δὲ τὸ τῆς λήθης νέφος ὑποδραμὸν τῇ διανοίᾳ, τὸν λόγον, ἀνέκοψεν, τότε δὴ καὶ ὑμεῖς ἠγανακτήσατε ὡς ἀποστερούμενοι τῶν εὐαγγελικῶν διδαγμάτων τὰ νοήματα, καὶ ἡμεῖς ἐδυσφοροῦμεν, τὴν μὲν προθυμίαν τοῦ λέγειν ἐκτεταμένην ἔχοντες, τὸν δὲ νοῦν κωλυόμενον ὑπὸ τῆς λήθης ὁρῶντες.

Ἀλλ' ἴσως τοῦτο συμβέβηκεν ἡμῖν, ἵνα γνῶμεν, ὅτι «οὔτε τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, οὐδὲ τοῦ διώκοντος, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ.[1]» δεῦρο τοιγαροῦν, ἐπειδήπερ θεὸς δίδωσι τοῖς λέγουσι χάριν, οὐ διὰ τὴν ἀξίαν τῶν λεγόντων, ἀλλὰ διὰ τὴν χρείαν τῶν ἀκουόντων, αὐτὸν παρακαλέσαντες, ἀπὸ τῶν ἀρτίως ὑμῖν ὑπαναγνωσθέντων εὐαγγελικῶν ἀναγνωσμάτων κατὰ δύναμιν τὸ πότιμον τῆς διδασκαλίας ἀρυσώμεθα νᾶμα.

«Ἦν τις ἀσθενῶν, φησίν, Λάζαρος ἀπὸ Βηθανίας ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς. ἦν δὲ Μαρία ἡ ἀλείψασα τὸν κύριον μύρῳ, ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει. εἶπε δὲ ὁ Ἰησοῦς· οὐκ ἔστιν ἡ ἀσθένεια αὕτη πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ θεοῦ, ἵνα δοξασθῇ ὁ θεὸς δι' αὐτῆς.[2]» Ἀνθυποφέρων λέγω «ἡ ἀσθένεια αὕτη οὐκ ἔστι πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ θεοῦ·[3]» οὐκ

1. Ῥωμ. 9, 16. 2. Ἰω. 11, 1, 2, 4. 3. Ἰω. 11, 4.

ἔστιν ἀσθένεια, ἀλλ' εὐαγγελία· οὐκ ἔστιν ἀσθένεια, ἀλλ' ἀσφάλεια. ὦ ἀσθένεια ἀρρωστούντων ἰατρέ, πίστεως ὁδηγέ, θανάτου ἀντίπαλε, διαβόλου ἀντίδικε, σωτηρίας ἀρχηγέ. ὦ ἀσθένεια, ἀρετῆς θεμέλιε ἄρρηκτε, πίστεως διδάσκαλε, εὐσεβείας οἰκονόμε. ὦ ἀσθένεια πυρετοὺς ψυχῶν ἀποσοβοῦσα, καὶ ἱδρῶτας βαπτίσματος δροσίζουσα, καὶ λαμπρὰς στολὰς ψυχῆς ἐξυφαίνουσα. ὦ ἀσθένεια, οὐρανίου ἄρτου πάροχε, πίστεως λαμπαδοῦχε ἄριστε, διαβόλου παγὶς καὶ ἀνθρώπου σφραγίς.

«Ὅτε δὲ ἤκουσεν, φησίν, ὁ Ἰησοῦς, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας.[1]» τί δὲ τὸ ἀναγκαῖον τοῦ ἐπιμεῖναι τὸν κύριον ἀκούσαντα, καὶ μὴ εὐθὺς ἀπελθεῖν πρὸς τὸν ἀσθενοῦντα; ἀλλὰ πάντως ἐξεδέχετο τὸν θάνατον τοῦ Λαζάρου, ὅπως ἐν τῷ θανάτῳ μείζονα τῶν θαυματουργημάτων τὴν πίστιν τοῖς ὁρῶσιν ἐνδείξηται. μετὰ ταῦτα οὖν λέγει τοῖς μαθηταῖς ὁ Ἰησοῦς· «Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν.[2]» ἀληθῶς γὰρ ὁ τῶν ἀνθρώπων θάνατος ὕπνος παρὰ τῷ κυρίῳ λελόγισται. «πορεύομαι, ἵνα ἐξυπνίσω αὐτόν.» τί γάρ; καὶ ἐνταῦθα ὢν ἀδυνατεῖς ζωοποιῆσαι τὸν νεκρόν; ἀλλ' οὐχ οὕτω δέχονται τὴν χάριν οἱ Ἰουδαῖοι ἐμοῦ ἀπόντος· ἴσως γὰρ ἀναστάντος αὐτοῦ νομίσουσιν ἐκ συντυχίας τινὸς ἀναβιῶσαι τὸν Λάζαρον. αὐτὸς οὖν ἐγὼ παραγίνομαι, ὅπως παρόντος μου αὐτόπται γενόμενοι τῶν παρ' ἐμοῦ γενομένων θαυματουργημάτων, καὶ τὴν χάριν παρ' ἐμοῦ δεξάμενοι, εἰς πίστιν βεβαίαν ἐνεχθῶσιν.

«Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· ἀλλὰ πορεύομαι ἐξυπνίσαι αὐτόν. οἱ δὲ μαθηταὶ ἀκούσαντες εἶπον· κύριε, εἰ κεκοίμηται, σωθήσεται.[3]» οὐ τοσοῦτον δὲ θεοσεβῶς ἀπεκρίναντο, ὅσον ἰατρικῶς. ὕπνος γὰρ ληθαργικοὺς μὲν βλάπτει ἐπεκτεινόμενος, πυρετοὺς δὲ λύει μᾶλλον ἱδρώτων. ἐπειδὴ τοίνυν «ἔδοξαν οἱ μαθηταὶ λέγειν τὸν κύριον περὶ τῆς κοιμήσεως τοῦ ὕπνου, εἶπε μετὰ παρρησίας· Λάζαρος ὁ φίλος ἡμῶν ἀπέθανεν· καὶ χαίρω δι' ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι οὐκ ἤμην ἐκεῖ· ἀλλὰ ἄγωμεν πρὸς αὐτόν.[4]» «ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ[5]» χαίρει νῦν ἐπὶ θανάτῳ φίλου; «χαίρω», οὐ δι' ἐμαυτόν, οὐδὲ διὰ τὸν τεθνεῶτα, ἀλλὰ «δι' ὑμᾶς·[6]» κέχρημαι γὰρ τῷ θανάτῳ πρὸς τὸν τῆς ὑμετέρας πίστεως θεμέλιον. ὦ θάνατος, Χριστοῦ ἀγαλλίασις. ὦ θάνατος, ζωῆς ἀνάπλεως. ὦ θάνατος, θανάτου λυτήριον, «σωτηρίας ἀρχηγός[7]», πεπτωκότων ἀνάστασις, καμνόντων ἀνάπαυσις, ἀσθενούντων ῥῶσις, δικαίων ἀνάψυξις· ὦ θάνατος διαβόλου κατάλυσις, δαιμόνων καθαίρεσις, τοῦ πρωτοπλάστου Ἀδὰμ ἀνανέωσις. ὦ θάνατε, εὐφροσύνης συνεργέ, ἀφθαρσίας μηνυτά, χαρᾶς χορευτά. ἵνα δὲ ἐπιτεμὼν τῷ λόγῳ εἴπω; ἔρχεται Ἰησοῦς εἰς τὴν Βηθανίαν, ἀπήντησαν αὐτῷ αἱ ἀδελφαὶ Λαζάρου, προσπίπτουσι τοῖς

1. Ἰω. 11, 6. 2. Ἰω. 11, 11. 3. Ἰω. 11, 11-12. 4. Ἰω. 11, 13-15. 5. Ἰεζ. 18, 23. 6. Ἰω. 11, 15. 7. Ἑβρ. 2, 10.

γόνασι τοῦ κυρίου κλαίουσαι καὶ λέγουσαι· «κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ἡμῶν ὁ ἀδελφός.[1]» ἆρα γὰρ οὐκ ἦν ἐκεῖ; ἀλλὰ τῷ μὲν σώματι οὐκ ἦν ἐκεῖ, τῇ δὲ θεότητι οὐ μόνον ἐκεῖ, ἀλλὰ καὶ ἐν οὐρανοῖς. πῶς γὰρ ἐγίνωσκε τὸ πότε ἀπέθανεν ὁ Λάζαρος, εἰ μὴ παρὼν ἦν κατὰ τὴν ἀόρατον δύναμιν τῆς θεότητος; καὶ ἔλεγον· «κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ἡμῶν ὁ ἀδελφός.» εἶπε δὲ πρὸς αὐτὰς ὁ κύριος· πιστεύσατε, καὶ ὄψεσθε τὴν δόξαν τοῦ θεοῦ διδάσκων ὅτι τῶν ἔργων τῶν ἀγαθῶν ἡ πίστις ἐστὶν ἀρχηγός. καὶ θεωρήσας αὐτὰς κλαιούσας, καὶ τοὺς παρόντας Ἰουδαίους, «ἐνεβριμήσατο τῷ πνεύματι, καὶ ἐτάραξεν ἑαυτόν, καὶ εἶπεν· ποῦ τεθείκατε αὐτόν;[2]» τί ἐστι τὸ «ἐνεβριμήσατο τῷ πνεύματι;» ἔκδειξαι, ἀγαπητέ, καὶ μετ' ὀλίγον εὑρήσεις τοῦ ζητουμένου τὴν λύσιν. «ἐτάραξεν ἑαυτόν», οὐχ ὡς ἡμεῖς ὑπὸ δειλίας ἢ λύπης ταρασσόμεθα, ἀλλ' αὐτὸς «ἑαυτὸν ἐτάραξεν», καὶ λέγει· «ποῦ τεθείκατε αὐτόν;» ἆρα γὰρ ἠγνόει ποῦ τέθαπται, ὁ ἐγνωκὼς πότε τετελεύτηκεν; ἀλλὰ μιγνύει τὰ ἀνθρώπινα ῥήματα τοῖς θείοις θαυματουργήμασιν, ἵνα δείξῃ ὅτι καὶ ἄνθρωπος ἦν, καθὰ καὶ ὁ προφήτης λέγει· «καὶ ἄνθρωπός ἐστιν, καὶ τίς γνώσεται αὐτόν;[3]» τοῦτο δὲ προέταξεν ἵνα σημαίνῃ, ὅτι καὶ ἄλλο τί ἐστιν, ὅπερ ἐστὶ θεός.

«Ποῦ τεθείκατε αὐτόν;» ἡ δὲ Μαρία· «ἔρχου, φησίν, καὶ ἴδε, κύριε. καὶ ἐδάκρυσεν ὁ Ἰησοῦς.[4]» τίς δὲ χρεία δακρύειν, ὃν ἔμελλεν ἀνιστᾶν μετ' ὀλίγον; ἀλλ' ἐδάκρυσεν ὁ Ἰησοῦς, ἵνα τὸ συμπαθὲς καὶ τὸ φιλάνθρωπον περὶ τοὺς ὁμοφύλους ἡμῖν ὑποδείξῃ· ἐδάκρυσεν ὁ Ἰησοῦς, ἵνα τὸ «κλαίειν μετὰ κλαιόντων[5]» ἔργῳ μᾶλλον ἢ λόγῳ διδάξῃ· «ἐδάκρυσεν ὁ Ἰησοῦς·» ἐδάκρυσεν, οὐκ ἐπένθησεν, τὸ μὲν ἀδάκρυτον παντελῶς ὡς ἀπηνὲς καὶ ἀπάνθρωπον παραιτούμενος, τὸ δὲ φιλοπενθὲς ὡς ἀγενὲς καὶ ἄνανδρον διωθούμενος· τάξιν δὲ ἐπιτιθεὶς τῇ συμπαθείᾳ ἐδάκρυσεν. ἔρχεται ἐπὶ τὸ σπήλαιον, καὶ θεωρεῖ λίθον ἐπικείμενον τῷ μνήματι. κελεύει τοῖς παρεστῶσιν Ἰουδαίοις ἀποκυλῖσαι τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ σπηλαίου. ὁ λέγων· «ἐὰν πίστιν ἔχητε ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ· ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ γενήσεται ὑμῖν·[6]» πῶς νῦν αὐτὸς ἀδυνατεῖς ἀποκυλῖσαι τὸν λίθον; ἀλλ' οὐχ ὡς ἀδυνατῶν τοῦτο ποιῶ, φησίν, ἀλλ' ἵνα μὴ δόξωσι φαντασίαν εἶναι τὸ γινόμενον, ἐπιτάσσω αὐτοῖς τοῖς Ἰουδαίοις ἰδίαις χερσὶν ἀποκυλῖσαι τὸν λίθον, τὸ μέγιστον σημεῖον ἐμαυτῷ καταλιμπάνων· ἵνα αὐτοὶ μάρτυρες γένωνται τῶν ὑπ' ἐμοῦ γενομένων σημείων. εἶτα μετὰ τὸ ἀποκυλῖσαι τὸν λίθον, ἀναβλέψας ὁ Ἰησοῦς εἰς τὸν οὐρανόν, εἶπεν «εὐχαριστῶ σοι, πάτερ, ὅτι ἤκουσάς μου.[7]»

Πότε δὲ προσηύξατο; νῦν λάμβανε, ἀγαπητέ, τὴν πρὸ βραχέως

1. Ἰω. 11, 21. 2. Ἰω. 11, 33-34. 3. Ἰερ. 17, 9. 4. Ἰω. 11, 34-35. 5. Ῥωμ. 12, 15. 6. Ματθ. 17, 20. 7. Ἰω. 11, 41.

ζητουμένην παρὰ σοῦ λύσιν τοῦ ῥητοῦ· ὅτε γὰρ ἐνεβριμήσατο τῷ πνεύματι, τότε προσηύξατο. «καὶ ταῦτα εἰπὼν ἔκραξε φωνῇ μεγάλῃ λέγων, Λάζαρε, δεῦρο ἔξω. καὶ εὐθέως ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος τὰς χεῖρας καὶ τοὺς πόδας κειρίαις.[1]» ὢ φωνῆς δύναμις ᾅδην διαρρήξασα, πύλας χαλκᾶς συντρίψασα, μοχλοὺς σιδηροῦς συνθλάσασα, διάβολον καταστρώσασα, θάνατον καταργήσασα, νεκρὸν ἀνεγείρασα· ὢ φωνῆς δύναμις, τὰ διεστῶτα μέλη εἰς ἓν συναγαγοῦσα καὶ ἀνορθοῦσα, καὶ τὸ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγοῦσα· ὢ φωνῆς δύναμις, τὸν τετραήμερον νεκρὸν ὡς ἐξ ὕπνου ἐγείρουσα καὶ τὸν «κειρίαις δεδεμένον» ὡς εὔλυτον καὶ ὀξυδρομέα τοῦ τάφου προαγαγοῦσα· ἐπίστησον, ἀγαπητέ, τὸν νοῦν σου τῇ φωνῇ, καὶ εὑρήσεις αὐτὸν τὸν λόγον τὸν λέγοντα ἐν τῇ κοσμοποιΐᾳ «γενηθήτω φῶς, καὶ ἐγένετο φῶς· γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ[2]», καὶ ἐγένοντο, τὸν αὐτὸν καὶ νῦν λέγοντα «Λάζαρε, δεῦρο ἔξω.» καὶ οἱ ἀπορρεύσαντες ἰχῶρες τῶν σαρκῶν τὰς κοτύλας πάλιν ἀνεπλήρουν, καὶ αἱ ἀποπεσοῦσαι τρίχες τὴν οἰκείαν τάξιν ἐπεγίνωσκον, καὶ ἐν τοῖς μέλεσι κατεφυτεύοντο. «Λάζαρε δεῦρο ἔξω·» καὶ ὁ νεκρὸς ἀνίστατο, καὶ τεταρταῖος ἴσος ἦν τῷ μήτε τὴν ἀρχὴν τεθνεῶτι. «Λάζαρε δεῦρο ἔξω·» καὶ ἡ ψυχὴ ἐκ τῶν καταχθονίων ἀνασπαστὸς ἐγίνετο, μὴ διαβόλου ἀντιλέγοντος, μὴ θανάτου ἀντιπαλαίοντος, καὶ χαίρουσα τὸ ἴδιον οἴκημα ἐπεγίνωσκεν. τούτων τῶν θαυματουργημάτων, ἀγαπητέ, τὸ θεῖον ἔργον θεωρήσας, τὴν ἀνάστασιν μὴ ἀμφίβαλλε· γενέσθω σοι ἔσοπτρον ὁ Λάζαρος, καὶ ἐν ἐκείνῳ σεαυτὸν θεωρήσας, τὴν ἀνέγερσιν πίστευε. ἡ αὐτὴ γὰρ φωνὴ πάντας ἡμᾶς ἀναστήσει, ὥς που καὶ ὁ ἀπόστολος λέγει «σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἀναστήσονται ἄφθαρτοι[3]» τῇ χάριτι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

1. Ἰω. 11, 43-44. 2. Γεν. 1, 3, 14. 3. Α' Κορ. 15, 52,

ΠΡΟΣ ΒΑΣΙΛΙΔΑ ΤΙΝΑ ΕΠΙΣΤΟΛΗ*

Τοῦ ἁγίου Ἱππολύτου ἐπισκόπου καὶ μάρτυρος ἐκ τῆς πρὸς βασιλίδα τινὰ ἐπιστολῆς.

«Ἀπαρχὴν» οὖν τοῦτον λέγει «τῶν κεκοιμημένων[1]», ἅτε «πρωτότοκον τῶν νεκρῶν.[2]» ὃς ἀναστὰς καὶ βουλόμενος ἐπιδεικνύναι, ὅτι τοῦτο ἦν τὸ ἐγηγερμένον, ὅπερ ἦν καὶ ἀποθνῆσκον, δισταζόντων τῶν μαθητῶν, προσκαλεσάμενος τὸν Θωμᾶν ἔφη «δεῦρο ψηλάφησον καὶ ἴδε, ὅτι πνεῦμα ὀστοῦν καὶ σάρκα οὐκ ἔχει, καθὼς ὑμεῖς ἐμὲ θεωρεῖτε ἔχοντα.[3]»

(Θεοδωρήτου, Ἐρανιστής. Διάλ. II. Migne LXXXIII σ. 172-173. Διάλ. III. Migne LXXXIII σ. 284-285).

Τοῦ αὐτοῦ (Ἱππολύτου) ἐκ τῆς αὐτῆς ἐπιστολῆς (πρὸς βασιλίδα τινά).

«Ἀπαρχὴν[4]» τοῦτον εἰπὼν ἐπεμαρτύρησε τῷ ὑφ' ἡμῶν εἰρημένῳ, ὡς «ἐκ τοῦ αὐτοῦ φυράματος[5]» σάρκα λαβὼν ὁ σωτήρ, ἤγειρε ταύτην, ἀπαρχὴν ποιούμενος τῆς τῶν δικαίων σαρκός, ἵν' οἱ πάντες ἐπ' ἐλπίδι τοῦ ἐγηγερμένου προσδόκιμον τὴν ἀνάστασιν ἔξομεν οἱ πιστεύσαντες.

(Θεοδωρήτου, Ἐρανιστής. Διάλ. III. Migne LXXXIII σ. 285).

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis ἔνθ' ἀνωτ.

1. Α' Κορ. 15, 20. 2. Ἀποκ. 1, 5. Κολ. 1. 18. 3. Λουκ. 24, 39. 4. Α' Κορ. 15, 20. 23. 5. Ῥωμ. 9, 21.

ΠΕΡΙ ΑΝΑΣΤΑΣΕΩΣ ΚΑΙ ΑΦΘΑΡΣΙΑΣ *

Ἱππολύτου ἐπισκόπου Ῥώμης

ἐκ τοῦ Περὶ ἀναστάσεως καὶ ἀφθαρσίας λόγου.

Ἔσονται, φησίν, ἐν τῇ ἀναστάσει οἱ ἄνθρωποι ὡς οἱ ἄγγελοι τοῦ θεοῦ, ἐν ἀφθαρσίᾳ δηλονότι καὶ ἀθανασίᾳ καὶ ἀρρευσίᾳ. ἄφθαρτος γὰρ οὐσία οὐ γεννᾷ, οὐ γεννᾶται, οὐκ αὔξει, οὐχ ὑπνοῖ, οὐ πεινᾷ, οὐ διψᾷ, οὐ κοπιᾷ, οὐ πάσχει, οὐ θνήσκει, οὐ τιτρᾶται ὑπὸ ἥλων καὶ λόγχης, οὐχ ἱδροῖ, οὐχ αἱμορροεῖ. τοιαῦται οὐσίαι εἰσὶν ἥ τε τῶν ἀγγέλων, ἥ τε τῶν ψυχῶν τῶν ἐκ σωμάτων ἀπηλλαγμένων, ἐπειδὴ καὶ ἀμφότεραι ἑτερογενεῖς εἰσιν, καὶ ἀλλότριαι τῆς ὁρωμένης καὶ φθειρομένης ταύτης τοῦ κόσμου κτίσεως.

(Ἀναστ. Σιν. Ὁδηγός. κεφ. 43. Migne LXXXIX σ. 301).

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis ἔνθ' ἀνωτ.

ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΑΣΧΑ *

Ἐκ τῆς Σειρᾶς τοῦ Νικήτα Διακόνου εἰς τὸ Εὐαγγέλιον τοῦ Λουκᾶ.

I. *Ἱππολύτου.*

Εἰ δὲ βούλει, λόγος θεοῦ ἦν πρωτότοκος, ἀπ' οὐρανῶν ἐπὶ τὴν μακαρίαν Μαρίαν κατερχόμενος, καὶ ἄνθρωπος πρωτότοκος ἐν κοιλίᾳ πλασσόμενος, ἵνα ὁ πρωτότοκος λόγος τοῦ θεοῦ πρωτοτόκῳ ἀνθρώπῳ συναπτόμενος δειχθῇ.

II. *Ἱππολύτου.*

Ὅτε «αὐτὸν ἀνήγαγον εἰς τὸ ἱερόν, παραστῆσαι τῷ κυρίῳ[1]», τὰς καθαρσίους ἐπιτελοῦντες ἀναφοράς. εἰ γὰρ τὰ καθάρσια δῶρα κατὰ τὸν νόμον ὑπὲρ αὐτοῦ προσεφέρετο, ταύτῃ καὶ ὑπὸ νόμον γέγονεν. οὔτε δὲ ὁ λόγος ὑπέκειτο τῷ νόμῳ, καθάπερ οἱ συκοφάνται δοξάζουσιν, αὐτὸς ὢν ὁ νόμος· οὔτε ὁ θεὸς ἐδεῖτο θυμάτων καθαρσίων, ἀθρόᾳ ῥοπῇ καθαρίζων ἅπαντα καὶ ἁγιάζων. ἀλλ' εἰ καὶ ἐκ τῆς παρθένου τὸ ἀνθρώπινον ὄργανον ἀναλαβὼν ἐφόρεσε καὶ ὑπὸ νόμον ἐγένετο, κατὰ τὰς τῶν πρωτοτόκων ἀξίας καθαρισθείς, οὐκ αὐτὸς δεόμενος τῆς τούτων χορηγίας ὑπέμενε τὰς θεραπείας, ἀλλ' ἵνα τῆς τοῦ νόμου δουλείας ἐξαγοράσῃ τοὺς πεπραμένους τῇ δίκῃ τῆς ἀρᾶς.

III. *Ἱππολύτου ἐπισκόπου Ῥώμης καὶ μάρτυρος.*

Διὰ τοῦτο «πυλωροὶ ᾅδου ἰδόντες σε ἔπτηξαν[2]», καὶ συνετρίβησαν πύλαι χαλκαῖ, καὶ μοχλοὶ σιδηροῖ συνεκλάσθησαν· καὶ ἰδοὺ ὁ μονογενὴς εἰσῆλθεν ὡς ψυχὴ μετὰ ψυχῶν, θεὸς λόγος ἔμψυχος· τὸ γὰρ σῶμα ἔκειτο ἐν μνημείῳ, οὐχὶ κενωθὲν τῆς θεότητος· ἀλλ' ὥσπερ ἐν τῷ ᾅδῃ ὤν, τῇ οὐσίᾳ ἦν πρὸς τὸν πατέρα, οὕτως ἦν καὶ ἐν τῷ σώματι καὶ ἐν τῷ ᾅδῃ· ἀχώρητος γάρ ἐστι καὶ ὁ υἱὸς ὡς ὁ πατήρ, καὶ πάντα περιέχει· ἀλλὰ θέλων ἐχωρήθη ἐν σώματι ἐμψύχῳ, ἵνα μετὰ τῆς ἰδίας ψυχῆς πορευθῇ εἰς τὸν ᾅδην, καὶ μὴ γυμνῇ τῇ θεότητι.

IV. *Ἐκ τοῦ Πασχαλίου Χρονικοῦ.*

Καὶ πάλιν ὁ αὐτὸς (Ἱππόλυτος) ἐν τῷ πρώτῳ λόγῳ τοῦ Περὶ τοῦ ἁγίου πάσχα συγγράμματος εἴρηκεν οὕτως·

Οὐδὲ ἐν τοῖς πρώτοις οὐδὲ ἐν τοῖς ἐσχάτοις ὡς οὐκ ἐψεύσατο πρόδηλον, ὅτι ὁ πάλαι προειπὼν ὅτι «οὐκέτι φάγομεν τὸ πάσχα[3]»

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis ἔνθ' ἀνωτ.

1. Λουκ. 2, 22. 2. Ἰὼβ 38, 17. 3. Λουκ. 22, 16.

εἰκότως τὸ μὲν δεῖπνον ἐδείπνησε πρὸ τοῦ πάσχα, τὸ δὲ πάσχα οὐκ ἔφαγεν, ἀλλ' ἔπαθεν. οὐδὲ γὰρ καιρὸς ἦν τῆς βρώσεως αὐτοῦ.

V. *Ἐκ τῶν Πρακτικῶν τῆς ἐν Λατερανῷ Συνόδου.*

Τοῦ ἁγίου Ἱππολύτου ἐπισκόπου καὶ μάρτυρος ἐκ τῆς εἰς τὸ πάσχα ἐξηγήσεως.

Ὅλος ἦν ἐν πᾶσι καὶ πανταχοῦ, γεμίσας δὲ τὸ πᾶν πρὸς πάσας τὰς ἀερίους ἀρχάς, γυμνὸς ἀνταπεδύσατο, καὶ πρὸς ὀλίγον βοᾷ «παρελθεῖν τὸ ποτήριον [1]», ἵνα δείξῃ ἀληθῶς ὅτι καὶ ἄνθρωπος ἦν, μεμνημένος δὲ καὶ δι' ὃ ἀπεστάλη, πληροῖ τὴν οἰκονομίαν εἰς ἣν ἀπεστάλη καὶ βοᾷ «πάτερ μὴ τὸ θέλημά μου [2]», «τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.[3]»

1. Ματθ. 26, 39, 42. 2. Λουκ. 22, 42. 3. Ματθ. 26, 41. Μάρκ. 14, 38.

ΙΠΠΟΛΥΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΡΩΜΗΣ ΑΠΟΔΕΙΞΙΣ ΕΚ ΤΩΝ ΑΓΙΩΝ ΓΡΑΦΩΝ ΠΕΡΙ ΧΡΙΣΤΟΥ ΚΑΙ ΠΕΡΙ ΤΟΥ ΑΝΤΙΧΡΙΣΤΟΥ *

I. Βουληθέντι σοι κατ' ἀκρίβειαν ἐκμαθεῖν τὰ προτεθέντα ὑπὸ σοῦ ἡμῖν κεφάλαια, ἀγαπητέ μου ἀδελφὲ Θεόφιλε, εὔλογον ἡγησάμην, ἀφθόνως ἀρυσάμενος ὡς ἐξ ἁγίας πηγῆς ἐξ αὐτῶν τῶν θείων γραφῶν καταστῆσαί σοι κατ' ὀφθαλμὸν τὰ ζητούμενα· ἵνα μὴ μόνον ταῖς τῶν ὤτων ἀκοαῖς ἐγκαταθέμενος ταῦτα εὐφρανθῇς, ἀλλὰ δυνάμει καὶ αὐτὰ τὰ πράγ|ματα ἐνιστορήσας κατὰ πάντα τὸν θεὸν δοξάσαι δυνηθῇς. τοῦτο γάρ σοι ἐφό|διον ἐν τῷ νῦν βίῳ ἀκίνδυνον ἤτω παρ' ἡμῶν, ὅπως τὰ τοῖς πολλοῖς δύσγνωστα καὶ δυσκατάλημπτα ἐξ ἑτοίμων λόγων προενέγκας, ἐγκατασπείρῃς μὲν ἐν τῷ πλάτει τῆς καρδίας σου ὡς ἐν πίονι καὶ καθαρᾷ γῇ, δυσωπήσῃς δὲ δι' αὐτῶν τοὺς ἀντιδιατιθεμένους καὶ ἀντιλέγοντας τῷ σωτηρίῳ λόγῳ. δέδια δὲ μὴ εἰς ἀπίστους καὶ βλασφήμους γλώσσας ἐγκαταθῇ ταῦτα, κίνδυνος γὰρ οὐχ ὁ τυχών· μετάδος δὲ αὐτὰ εὐλαβέσι καὶ πιστοῖς ἀνθρώποις τοῖς θέλουσιν «ὁσίως καὶ δικαίως [1]» μετὰ φόβου ζῆν. οὐ γὰρ μάτην ὁ μακάριος ἀπόστολος παρῄνει Τιμοθέῳ γράφων· «ὦ Τιμόθεε, τὴν παραθήκην φύλαξον, ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως, ἥν τινες ἐπαγγελλόμενοι περὶ τὴν πίστιν ἠστόχησαν· [2]» καὶ πάλιν· «σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι.[3]» | εἰ οὖν ὁ μακάριος ἀπόστολος μετ' εὐλαβείας παρεδίδου ταῦτα, ἅπερ οὐ πᾶσιν εὔγνωστα ἦν, προβλέπων τῷ πνεύματι ὅτι «οὐ πάντων ἡ πίστις [4]», πόσῳ μᾶλλον ἡμεῖς κινδυνεύσομεν, εἰ ἁπλῶς καὶ ὡς ἔτυχε τὰ θεοῦ λόγια μεταδώσομεν βεβήλοις καὶ ἀναξίοις ἀνδράσιν;

II. Ἐπειδὴ γὰρ οἱ μακάριοι προφῆται ὀφθαλμοὶ | ἡμῶν ἐγένοντο, προορῶντες διὰ πίστεως τὰ τοῦ λόγου μυστήρια ἅτινα καὶ ταῖς μεταγενεστέραις διηκόνησαν γενεαῖς, οὐ μόνον τὰ παρῳχηκότα εἰπόντες, ἀλλὰ καὶ τὰ ἐνεστῶτα καὶ τὰ μέλλοντα ἀπαγγείλαντες· ἵνα μὴ μόνον πρὸς καιρὸν ὁ προφήτης ὡς προφήτης δειχθῇ, ἀλλὰ καὶ πάσαις γενεαῖς προλέγων τὰ μέλλοντα ὁ προφήτης ὡς προφήτης σημανθῇ. οὗτοι γὰρ πνεύματι προφητικῷ οἱ πάντες κατηρτισμένοι καὶ ὑπ' αὐ|τοῦ τοῦ λόγου ἀξίως τετιμημένοι, ὀργάνων δίκην ἑαυτοῖς ἡνω-

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis ἔνθ' ἀνωτ.

1. Α' Θεσσ. 2, 10. 2. Α' Τιμ. 6, 20-21. 3. Β' Τιμ. 2, 1-2. 4. Β' Θεσσ. 3, 2.

μένοι ἔχοντες ἐν ἑαυτοῖς ἀεὶ τὸν λόγον ὡς πλῆκτρον, δι' οὗ κινούμενοι ἀπήγγελλον ταῦτα ἅπερ ἤθελεν ὁ θεός. οὐ γὰρ ἐξ ἰδίας δυνάμεως οἱ προφῆται ἐφθέγγοντο, μὴ πλανῶ, οὐδὲ ἅπερ αὐτοὶ ἠβούλοντο ταῦτα καὶ ἐκήρυσσον, ἀλλὰ πρῶτον μὲν διὰ τοῦ λόγου ἐσοφίζοντο ὀρθῶς, ἔπειτα δὲ δι' ὁραμάτων προεδιδάσκοντο τὰ μέλλοντα καλῶς· καὶ εἶθ' οὕτως πεμπόμενοι ἔλεγον ταῦτα, ἅπερ αὐτοῖς μόνοις ἦν ὑπὸ θεοῦ ἀποκεκαλυμμένα. ἐπεὶ κατὰ τίνα λόγον ὁ προφήτης προφήτης λεχθήσεται, εἰ μὴ ὅτι πνεύματι προεώρα τὰ μέλλοντα; εἰ γὰρ περὶ συμβεβηκότος τινὸς πράγματος ἔλεγέ τι ὁ προφήτης, οὐκ ἂν ἦν προφήτης, ταῦτα λέγων ἅπερ πάντες ὑπ' ὀφθαλμὸν ἦσαν τεθεαμένοι, ἀλλὰ τὰ μέλλοντα ἐκδιηγούμενος δικαίως προφή|της ἐκρίνετο. διὸ καὶ εὐλόγως οἱ προφῆται ἀπ' ἀρχῆς «οἱ βλέποντες» ἐκαλοῦντο.[1] ὅθεν καὶ ἡμεῖς τὰ ὑπ' αὐτῶν προειρημένα... καλῶς μαθητευθέντες, λέγομεν οὐκ ἐξ ἰδίας ἡμῶν ἐπινοίας. οὐδὲν γὰρ καινοτομεῖν ἐπιχειροῦμεν, ἀλλ' ἢ τὰ πάλαι προειρημένα ῥητά, ὧν τὰ ἔγγραφα ἐκτιθέντες εἰς φῶς ἀνά|γομεν τοῖς ὀρθῶς πιστεύειν δυναμένοις, ὅπως γένηται ἀμφοτέροις κοινὴ ὠφέλεια, τῷ μὲν λέγοντι τὸ διὰ μνήμης κρατήσαντι ὀρθῶς ἐκθέσθαι τὰ προκείμενα, τῷ δὲ ἀκούοντι τὸ ἐπιστῆσαι τὸν νοῦν πρὸς τὰ λεγόμενα. ἐπεὶ οὖν κοινὸς ὁ κάματος ἀμφοτέροις πρόκειται, τῷ μὲν λέγοντι τὸ ἀκίνδυνον ἐξειπεῖν, τῷ δὲ ἀκούοντι τὸ πιστῶς ἀκούσαντι καταδέξασθαι τὰ λεγόμενα, παρακαλῶ καὶ σέ, ὦ Θεόφιλε, συναγωνίσασθαί μοι ἐν τῇ πρὸς τὸν θεὸν δεήσει, III. ὅπως ἃ πάλαι τοῖς μακαρίοις προφήταις ἀπεκάλυψεν ὁ τοῦ θεοῦ λόγος, νῦν αὐτὸς πάλιν ὁ τοῦ θεοῦ παῖς, ὁ πάλαι μὲν λόγος ὤν, νυνὶ δὲ καὶ ἄνθρωπος δι' ἡμᾶς | ἐν κόσμῳ φανερωθείς, σαφηνίσῃ σοι ταῦτα δι' ἡμῶν ἅπερ δι' εὐχῆς παρ' αὐτοῦ τυχεῖν ἐπιζητεῖς. ἀλλ' ἐπειδὴ τὸ ἑαυτοῦ εὔσπλαγχνον καὶ ἀπροσωπόληπτον ἐνδείκνυσι διὰ πάντων τῶν ἁγίων ὁ λόγος, φυτὸν ῥυθμίζων ἑαυτὸν ὡς ἔμπειρος ἰατρὸς πρὸς τὰ ἡμῖν συμφέροντα, ἐπιστάμενος τὴν τῶν ἀνθρώπων ἀσθένειαν, καὶ τοὺς μὲν ἀγνοοῦντας ἐκδιδάσκειν πειρᾶται, τοὺς δὲ πλανωμένους ἐπιστρέφειν εἰς τὴν ἑαυτοῦ ἀληθινὴν ὁδόν, καὶ τοῖς μὲν μετὰ πίστεως ζητοῦσιν εὐκόλως | εὑρισκόμενος, τοῖς δὲ καθαροῖς σώμασι καὶ ἁγνῇ καρδίᾳ κρούειν τὴν θύραν ἐπιθυμοῦσιν εὐθέως ἀνοιγόμενος. οὐδένα γὰρ ἀποβάλλεται τῶν ἑαυτοῦ δούλων, οὐδένα βδελύσσεται ὡς μὴ ὄντα ἄξιον τῶν θείων αὐτοῦ μυστηρίων, οὐ πλούσιον προτιμῶν πένητος οὐδὲ πένητα διὰ τὸ μέτριον ἐξουθενῶν, οὐ βάρβαρον ὡς ἄσοφον ὀνειδίζων οὐδὲ εὐνοῦχον ὡς μὴ ἄνθρωπον ἀφορίζων, οὐδὲ θῆλυ διὰ τὴν ἐξ ἀρχῆς γενομένην παρακοὴν μισῶν, οὐδὲ τὸν ἄρρενα διὰ τὴν παράβασιν ἀτιμάζων, ἀλλὰ πάντας ἐλεῶν καὶ πάντας σώζειν ἐπιθυμῶν, πάντας υἱοὺς θεοῦ καταρτίσαι θέλων, καὶ τοὺς πάντας ἁγίους εἰς ἕνα τέλειον ἄνθρωπον καλῶν. εἷς γὰρ ὁ τοῦ θεοῦ παῖς,

1. Α' Βασ. 9, 9.

δι' οὗ καὶ ἡμεῖς τυχόντες τὴν διὰ τοῦ ἁγίου πνεύματος ἀναγέννησιν, εἰς τὸν ἕνα τέλειον[1] καὶ ἐπουράνιον ἄνθρωπον οἱ πάντες καταντῆσαι ἐπιθυμοῦμεν. IV. ἐπειδὴ γὰρ ὁ λόγος ὁ τοῦ θεοῦ ἄσαρκος ὢν ἐνεδύσατο τὴν ἁγίαν σάρκα ἐκ τῆς ἁγίας παρθένου ὡς νυμφίος ἱμάτιον, ἐξυφήνας | ἑαυτῷ ἐν τῷ σταυρικῷ πάθει, ὅπως συγκεράσας τὸ θνητὸν ἡμῶν σῶμα τῇ ἑαυτοῦ δυνάμει, καὶ μίξας τὸ φθαρτὸν τῷ ἀφθάρτῳ καὶ τὸ ἀσθενὲς τῷ ἰσχυρῷ σώσῃ τὸν ἀπολλύμενον ἄνθρωπον. ἔστι μὲν οὖν ὁ ἱστὸς τοῦ κυρίου ὡς τὸ πάθος τὸ ἐπὶ τῷ σταυρῷ γεγενημένον, στήμων δὲ ἐν αὐτῷ ἡ τοῦ ἁγίου | πνεύματος δύναμις, | κρόκη δὲ ὡς ἡ ἁγία σὰρξ ἐνυφαινομένη ἐν τῷ πνεύματι, μίτος δὲ ἡ δι' ἀγάπης Χριστοῦ χάρις σφίγγουσα καὶ ἑνοῦσα τὰ ἀμφότερα εἰς ἕν, κερκὶς δὲ ὁ λόγος, οἱ δὲ ἐργαζόμενοι πατριάρχαι τε καὶ προφῆται οἱ τὸν καλὸν ποδήρη καὶ τέλειον χιτῶνα ὑφαίνοντες Χριστοῦ, δι' ὧν ὁ λόγος διικνούμενος κερκίδος δίκην ἐξυφαίνει δι' αὐτῶν ταῦθ' ἅπερ βούλεται ὁ πατήρ.

V. Ἀλλ' ἐπειδὴ καιρὸς λοιπὸν ἀπαιτεῖ πρὸς τὰ προκείμενα, αὐτάρκων ὄντων τῶν ἐν τῷ προοιμίῳ εἰς δόξαν θεοῦ εἰρημένων, δίκαιόν ἐστιν ἡμᾶς ἐφαψαμένους αὐτῶν τῶν θείων γραφῶν ἐπιδεῖξαι δι' αὐτῶν, τίς καὶ ποταπὴ ἡ τοῦ ἀντιχρίστου παρουσία, ποίῳ δὲ καιρῷ καὶ χρόνῳ ὁ ἄνομος ἀποκαλυφθήσεται, πόθεν δὲ καὶ ἐκ ποίας φυλῆς, καὶ τί τὸ τούτου ὄνομα τὸ διὰ τοῦ ἀριθμοῦ ἐν τῇ γραφῇ μηνυόμενον[2], πῶς δὲ πλάνην μὲν τῷ λαῷ ἐγγεννήσει, ἐπισυνάξας αὐτοὺς ἐκ τῶν περάτων τῆς γῆς, θλῖψιν δὲ καὶ διωγμὸν ἐπὶ τοὺς ἁγίους ἐπεγερεῖ, καὶ πῶς ἑαυτὸν δοξάσει ὡς θεόν, τίς δὲ ἡ τούτου συντέλεια, πῶς δὲ ἡ ἐπιφάνεια τοῦ κυρίου ἀποκαλυφθήσεται ἀπ' οὐρανοῦ, καὶ τίς ἡ τοῦ σύμπαντος κόσμου ἐκπύρωσις, τίς δὲ ἡ τῶν ἁγίων ἔνδοξος καὶ ἐπουράνιος βασιλεία τῶν συμβασιλευόντων τῷ Χριστῷ, καὶ τίς ἡ τῶν ἀνόμων αἰώνιος διὰ πυρὸς κόλασις.

VI. Τοῦ μὲν οὖν | κυρίου καὶ σωτῆρος ἡμῶν Χριστοῦ Ἰησοῦ τοῦ υἱοῦ τοῦ θεοῦ διὰ τὸ βασιλικὸν καὶ ἔνδοξον ὡς λέοντος προκεκηρυγμένου[3], τὸν αὐτὸν τρόπον καὶ τὸν ἀντίχριστον ὁμοίως λέοντα προανηγόρευσαν αἱ γραφαὶ διὰ τὸ τυραννικὸν αὐτοῦ καὶ βίαιον. κατὰ πάντα γὰρ ἐξομοιοῦσθαι βούλεται ὁ πλάνος τῷ υἱῷ τοῦ θεοῦ. λέων μὲν ὁ Χριστός, καὶ λέων μὲν ὁ ἀντίχριστος. βασιλεὺς ὁ Χριστός[4], καὶ βασιλεὺς ἐπίγειος ὁ ἀντίχριστος. ἐδείχθη ὁ σωτὴρ ὡς ἀρνίον[5], καὶ αὐτὸς ὁμοίως φανήσεται ὡς ἀρνίον, ἔνδοθεν | λύκος ὤν.[6] ἐμπερίτομος ἦλθεν ὁ σωτὴρ εἰς τὸν κόσμον, καὶ αὐτὸς ὁμοίως ἐλεύ|σεται. ἀπέστειλεν ὁ κύριος τοὺς ἀποστόλους εἰς πάντα τὰ ἔθνη[7], καὶ αὐτὸς ὁμοίως πέμψει ψευδαποστόλους. συνήγαγε τὰ διεσκορπισμένα πρόβατα ὁ σωτήρ[8], καὶ αὐτὸς ὁμοίως ἐπισυνάξει τὸν διεσκορπισμένον

1. Ἐφ. 4, 13. 2. Ἀποκ. 13, 18. 3. Γεν. 49, 9. Ἀποκ. 5, 5. 4. Ἰω. 18, 37. 5. Ἰω. 1, 29. 6. Ματθ. 7, 15. 7. Ματθ. 28, 19. 8. Ἰω. 11, 52.

λαὸν τῶν Ἰουδαίων. ἔδωκεν ὁ κύριος σφραγῖδα τοῖς εἰς αὐτὸν πιστεύουσιν [1], καὶ αὐτὸς δώσει ὁμοίως. ἐν σχήματι ἀνθρώπου ἐφάνη ὁ κύριος [2], καὶ αὐτὸς ἐν σχήματι ἀνθρώπου ἐλεύσεται. ἀνέστησεν ὁ σωτὴρ καὶ ἀπέδειξε τὴν ἁγίαν σάρκα αὐτοῦ ὡς ναόν [3], καὶ αὐτὸς ἀναστήσει τὸν ἐν Ἱεροσολύμοις λίθινον ναόν. καὶ ταῦτα μὲν τὰ πλάνα αὐτοῦ τεχνάσματα ἐν τοῖς ἑξῆς δηλώσομεν, νυνὶ δὲ πρὸς τὸ προκείμενον τραπῶμεν.

VII. Λέγει οὖν ὁ μακάριος | Ἰακὼβ ἐν ταῖς εὐλογίαις προαναφωνῶν τὰ περὶ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν οὕτως· «Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου· αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου· προσκυνήσουσί σε οἱ υἱοὶ τοῦ πατρός σου. σκύμνος λέοντος Ἰούδα· ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης· ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν; οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν. δεσμεύων πρὸς ἄμπελον τὴν ὄνον αὐτοῦ καὶ ἐν τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ· πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ. χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα.[4]» VIII. ταῦτα μὲν οὖν παραφράζειν ἐπισταμένῳ σοι αὐτὰ δοκεῖ τὸ νῦν παραιτεῖσθαι· ἀλλ' ἐπεὶ αὐτὰ τὰ ῥητὰ προτρέπεται τοῦ λέγειν, οὐδὲ τοῦτο παραλείψομεν. ἔστι γὰρ ὄντως θεῖα καὶ ἔνδοξα, δυνάμενα ὠφελῆσαι ψυχήν. «σκύμνον γὰρ λέοντος [5]» εἰπὼν ὁ προφήτης τὸν ἐξ Ἰούδα καὶ Δαβίδ, τὸν κατὰ σάρκα γενόμενον παῖδα θεοῦ ἐσήμανεν· ἐν δὲ τῷ εἰπεῖν «ἐκ βλαστοῦ, υἱέ μου ἀνέβης [6]» ἔδειξε τὸν βλαστή|σαντα καρπὸν ἐκ τῆς ἁγίας παρθένου, μὴ ἐκ σπέρματος γεννώμενον, ἀλλ' ἐξ ἁγίου πνεύματος συλλαμβανόμενον, καὶ τούτου ὡς ἐκ βλαστοῦ ἁγίου ἐκ γῆς προερχομένου. Ἡσαΐας μὲν γὰρ λέγει· «ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, | καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται.[7]» τὸ μὲν οὖν ὑπὸ τοῦ | Ἡσαΐα «ἄνθος» εἰρημένον ὁ Ἰακὼβ «βλαστὸν» εἴρηκεν· πρῶτον γὰρ ἐβλάστησεν ἐν τῇ κοιλίᾳ ὁ λόγος, εἶτα ἤνθησεν ἐν τῷ κόσμῳ. τὸ δὲ λέγειν «ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος[8]» τὴν τριήμερον κοίμησιν τοῦ Χριστοῦ ἐδήλωσεν, ὡς καὶ Ἡσαΐας λέγει· «πῶς ἐγένετο πόρνη πόλις πιστή, Σιὼν πλήρης κρίσεως; ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί.[9]» καὶ Δαβὶδ δὲ ὁμοίως· «ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα, ἐξηγέρθην, ὅτι κύριος ἀντιλήψεταί μου [10]», ἵνα δείξῃ ἐν τῷ ῥητῷ τὴν κοίμησιν καὶ τὴν ἀνάστασιν αὐτοῦ ποτε γεγενημένην. Ἰακὼβ δὲ λέγει «τίς ἐγερεῖ αὐτόν; [11]» τουτέστιν ὁ πατήρ, καθὼς καὶ ὁ Παῦλος λέγει «καὶ θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν.[12]» IX. τὸ δὲ εἰπεῖν «οὐκ

1. Ματθ. 28, 19. Ἀποκ. 7, 2. 9, 4. 2. Φιλιππ. 2, 7. 3. Ἰω. 2, 19. 4. Γεν. 49, 8-12. 5. Γεν. 49, 9. 6. Γεν. 49, 9. 7. Ἡσ. 11, 1. 8. Γεν. 49, 9. 9. Ἡσ. 1, 21. 10. Ψαλμ. 3, 6. 11. Γεν. 49, 9. 12. Γαλ. 1, 1.

ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ αὐτὸς προσδοκία ἐθνῶν [1]» τὴν διαδρομὴν τοῦ βασιλικοῦ γένους ἐξ Ἰούδα πληρουμένην ἐπὶ τὸν Χριστὸν ἐδήλωσεν. αὐτὸς γάρ ἐστιν ἡμῶν τῶν «ἐθνῶν προσδοκία·» προσδεχόμεθα γὰρ αὐτὸν ἐρχόμενον ἀπ' οὐρανῶν ἐν δυνάμει, διὰ πίστεως ἤδη βλέπομεν. X. «δεσμεύων πρὸς ἄμπελον τὴν ὄνον αὐτοῦ [2]» τουτέστι τὸν ἐκ περιτομῆς λαὸν πρὸς τὴν ἑαυτοῦ κλῆσιν. αὐτὸς γὰρ ἦν ἡ ἄμπελος.[3] «καὶ ἐν τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ [4]», τὸν λαὸν τὸν ἐξ ἐθνῶν ὡς νέον πῶλον εἰς αὐτὸν ἑνῶν, ὡς περιτομὴν καὶ ἀκροβυστίαν εἰς μίαν πίστιν καλῶν. XI. «πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ [5]», τὴν τοῦ ἁγίου πνεύματος | κατελθοῦσαν ἐπ' αὐτὸν ἐπὶ τὸν Ἰορ|δάνην πατρικὴν χάριν. «καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ·[6]» αἵματι οὖν σταφυλῆς ποίας, ἀλλ' ἢ τῆς ἁγίας σαρκὸς αὐτοῦ ὡς βότρυος ἐπὶ ξύλου θλιβείσης; ἐξ ἧς πλευρᾶς ἔβλυσαν δύο πηγαί, αἵματος καὶ ὕδατος[7], δι' ὧν τὰ ἔθνη ἀπολουόμενα καθαίρονται, ἅτινα ὡς περιβόλαιον λελόγισται Χριστῷ. XII. «χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου.[8]» ὀφθαλμοὶ Χριστοῦ τίνες ἀλλ' ἢ οἱ μακάριοι προφῆται, οἱ προϊδόντες τῷ πνεύματι καὶ προκηρύξαντες τὰ εἰς αὐτὸν συμβησόμενα πάθη, οἱ δυνάμει ἔχαιρον βλέποντες αὐτὸν πνευματικοῖς ὀφθαλμοῖς, ὑπ' αὐτοῦ τοῦ λόγου καὶ τῆς αὐτοῦ χάριτος ἀεὶ καταρτιζόμενοι. XIII. τὸ δὲ εἰπεῖν «καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ | ἢ γάλα [9]» ἐξ ἁγίου στόματος Χριστοῦ τὰς ἐκπορευομένας ἐντολὰς ἐσήμανεν, καθαρὰς οὔσας ὡς γάλα. XIV. ἐπεὶ οὖν λέοντα καὶ σκύμνον λέοντος τὸν Χριστὸν προανεφώνησαν αἱ γραφαί, τὸ ὅμοιον καὶ περὶ τοῦ ἀντιχρίστου εἴρηται. φησὶ γὰρ Μωσῆς οὕτως· «σκύμνος λέοντος Δὰν καὶ ἐκπηδήσεται ἐκ Βασάν.[10]» ἀλλ' ἵνα μὴ σφαλῇ τις, νομίσας περὶ τοῦ Χριστοῦ εἰρῆσθαι τὸ ῥητὸν τοῦτο, ἐπιστησάτω τὸν νοῦν. «Δάν», φησι «σκύμνος λέοντος» τὴν φυλὴν ὀνομάσας, τὴν τοῦ Δάν, ἐσαφήνισε τὸ προκείμενον, ἐξ ἧς μέλλει ὁ ἀντίχριστος γεννᾶσθαι. ὥσπερ γὰρ ἐκ τῆς Ἰούδα φυλῆς ὁ Χριστὸς | γεγέννηται, οὕτως καὶ ἐκ τῆς τοῦ Δὰν φυλῆς ὁ ἀντίχριστος γεννηθήσεται. ὅτι δὲ οὕτως ἔχει, τί φησιν Ἰακώβ· «γενηθήτω Δὰν ὄφις ἐφ' ὁδοῦ καθήμενος, δάκνων πτέρναν ἵππου.[11]» ὄφις οὖν τίς ἄρα ἢ ὁ ἀπ' ἀρχῆς πλάνος, ὁ ἐν τῇ γενέσει εἰρημένος, ὁ πλανήσας τὴν Εὔαν καὶ πτερνίσας τὸν Ἀδάμ; ἀλλ' ἐπειδὴ διὰ πλειόνων μαρτυριῶν δεῖ ἀποδεῖξαι τὰ προκείμενα, οὐκ ἀτονήσωμεν. XV. ὅτι μὲν γὰρ ὄντως ἐκ τῆς φυλῆς Δὰν μέλλει γεννᾶσθαι καὶ ἀνίστασθαι | τύραννος, βασιλεύς, κριτὴς δεινός, υἱὸς τοῦ διαβόλου, φησὶν ὁ προφήτης «Δὰν κρινεῖ τὸν ἑαυτοῦ λαόν, ὡσεὶ καὶ μίαν φυλὴν ἐν Ἰσραήλ.[12]» ἀλλ' ἐρεῖ τις· τοῦτο ἐπὶ τὸν Σαμψὼν εἴρηται, ὃς ἐκ τῆς φυλῆς τοῦ Δὰν γεννηθεὶς ἔκρινε

1. Γεν. 49, 10. 2. Γεν. 49, 11. 3. Ἰω. 15. 1. 4. Γεν. 49, 11. 5. Γεν. 49, 11. 6. Γεν. 49, 11. 7. Ἰω. 19, 34. 8. Γεν. 49, 12. 9. Γεν. 49 12. 10. Δευτ. 33, 22. 11. Γεν. 49, 17. 12. Γεν. 49, 16.

τὸν λαὸν εἴκοσιν ἔτη.[1] τὸ μὲν ἐπὶ τοῦ Σαμψὼν μερικῶς γεγένηται, τὸ δὲ καθ' ὅλου πληρωθήσεται ἐπὶ τὸν ἀντίχριστον. λέγει γὰρ καὶ Ἱερεμίας οὕτως· «σπουδὴν ἐκ Δὰν ἀκουσόμεθα ὀξύτητος ἵππων αὐτοῦ, ἀπὸ φωνῆς χρεμετισμοῦ ἱππασίας ἵππων αὐτοῦ ἐσείσθη πᾶσα ἡ γῆ.[2]» λέγει δὲ καὶ ἕτερος προφήτης· «συνάξει πᾶσαν δύναμιν αὐτοῦ ἀπὸ ἡλίου ἀνατολῶν μέχρις ἡλίου δυσμῶν· οὓς κεκλήκει καὶ οὓς οὐ κεκλήκει πορεύσονται μετ' αὐτοῦ· λευκανεῖ τὴν θάλασσαν ἀπὸ τῶν ἱστίων τῶν πλοίων αὐτοῦ καὶ μελανεῖ τὸ πεδίον ἀπὸ τῶν θυρεῶν καὶ τῶν ὅπλων· καὶ πᾶς ὃς ἂν συναντήσει αὐτῷ ἐν πολέμῳ, ἐν μαχαίρᾳ πεσεῖται.[3]» ὅτι μὲν οὖν ταῦτα οὐκ ἐπ' ἄλλον | τινὰ εἴρηται ἀλλ' ἢ ἐπὶ τὸν τύραννον καὶ ἀναιδῆ καὶ θεομάχον, δείξομεν διὰ τῶν ἑξῆς. XVI. λέγει γὰρ Ἡσαΐας οὕτως· «καὶ ἔσται ὅταν συντελέσῃ | κύριος πάντα ποιῶν ἐπὶ τῷ ὄρει Σιὼν καὶ Ἱερουσαλήμ, ἐπάξει ἐπὶ τὸν νοῦν τὸν μέγαν, ἐπὶ τὸν ἄρχοντα τῶν Ἀσσυρίων καὶ ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ. εἶπε γάρ· τῇ ἰσχύι ποιήσω καὶ τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω· καὶ σείσω πόλεις κατοικουμένας, καὶ τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρί μου ὡς νοσσιάν, καὶ ὡς καταλελειμμένα ὠὰ ἀροῦμαι· καὶ οὐκ ἔστιν ὅστις διαφεύξεταί με ἢ ἀντείπῃ μοι. καὶ οὐχ οὕτως; ἀλλ' ἀποστελεῖ Ἀδωναΐ κύριος εἰς τὴν σὴν τιμὴν ἀτιμίαν, καὶ εἰς τὴν σὴν δόξαν πῦρ καιόμενον καυθήσεται· καὶ τὸ φῶς τοῦ Ἰσραὴλ εἰς πῦρ, καὶ ἁγιάσει αὐτὸν ἐν φλογὶ καὶ φάγεται ὡσεὶ χόρτον τὴν ὕλην.[4]» XVII. καὶ πάλιν ἐν ἑτέρῳ λέγει· «πῶς ἀναπέπαυται ὁ ἀπαιτῶν καὶ | πῶς ἀναπέπαυται ὁ ἐπισπουδαστής; συνέτριψεν ὁ θεὸς τὸν ζυγὸν τῶν ἀρχόντων· πατάξας ἔθνος θυμῷ πληγῇ ἀνιάτῳ, παίων ἔθνος πληγῇ θυμοῦ, ἣ οὐκ ἐφείσατο· ἀνεπαύσατο πεποιθώς· πᾶσα ἡ γῆ βοᾷ μετ' εὐφροσύνης· τὰ ξύλα τοῦ Λιβάνου εὐφράνθησαν ἐπὶ σοὶ καὶ ἡ κέδρος τοῦ Λιβάνου· ἀφ' οὗ σὺ κεκοίμησαι, οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς. ὁ ᾅδης κάτω ἐπικράνθη συναντήσας σοι, συνηγέρθησάν σοι πάντες | οἱ γίγαντες, οἱ ἄρξαντες τῆς γῆς, οἱ ἐγείροντες ἐκ τῶν θρόνων αὐτῶν πάντας βασιλεῖς ἐθνῶν. ἅπαντες ἀποκριθήσονται καὶ ἐροῦσί σοι· καὶ σὺ ἑάλως ὥσπερ καὶ ἡμεῖς, ἐν ἡμῖν δὲ κατελογίσθης. κατέβη εἰς ᾅδην ἡ δόξα σου, ἡ πολλὴ εὐφροσύνη σου· ὑποκάτω σου στρώσουσι σῆψιν, τὸ δὲ κατακάλυμμά σου σκώληξ. πῶς ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωῒ ἀνατέλλων; συνετρίβη εἰς τὴν γῆν ὁ ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη. σὺ δὲ εἶπας τῇ διανοίᾳ σου· εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, καθίσω ἐν ὄρει ὑψηλῷ ἐπὶ τὰ ὄρη ὑψηλὰ τὰ πρὸς βορρᾶν, ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. νυνὶ δὲ εἰς ᾅδην καταβήσῃ καὶ εἰς τὰ θεμέλια τῆς γῆς. οἱ ἰδόντες σε θαυμάσουσιν ἐπὶ σοὶ καὶ ἐροῦσιν· οὗτος ὁ ἄν-

1. Κριτ. 13, 2. 16, 31. 2. Ἱερ. 8, 16. 3. Γραφικόν; 4. Ἡσ. 10, 12-17.

θρωπος ὁ παροξύνων τὴν γῆν, ὁ σείων βασιλεῖς, ὁ θεὶς τὴν οἰκουμένην ὅλην ἔρημον, καὶ τὰς πόλεις καθεῖλεν, τοὺς ἐν ἐπαγωγῇ οὐκ ἔλυσεν. πάντες οἱ βασιλεῖς τῶν ἐθνῶν ἐκοιμήθησαν ἐν τιμῇ, | ἄνθρωπος ἐν τῷ οἴκῳ αὐτοῦ· σὺ δὲ ῥιφήσῃ ἐν τοῖς ὄρεσιν, ὡς νεκρὸς ἐβδελυγμένος, μετὰ πολλῶν πεπτωκότων ἐκκεκεντημένων μαχαίρᾳ, καταβαινόντων εἰς ᾅδην. ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον οὐκ ἔσται καθαρόν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρός, ὅτι τὴν γῆν μου ἀπώλεσας καὶ τὸν λαόν μου ἀπέκτεινας· οὐ | μὴ μείνῃς | εἰς τὸν αἰῶνα χρόνον, σπέρμα πονηρόν. ἑτοίμασον τὰ τέκνα σου σφαγῆναι ταῖς ἁμαρτίαις τοῦ πατρός σου, ἵνα μὴ ἀναστῶσι καὶ τὴν γῆν κληρονομήσωσιν.[1]» XVIII. Ἐζεκιὴλ δὲ ὁμοίως λέγει περὶ αὐτοῦ οὕτως· «τάδε λέγει κύριος ὁ θεός· ἀνθ' ὧν ὑψώθη ἡ καρδία σου, καὶ εἶπας· θεός εἰμι ἐγώ, κατοικίαν θεοῦ κατῴκηκα ἐν καρδίᾳ θαλάσσης, σὺ δὲ ἄνθρωπος καὶ οὐ θεός, ἔδωκας τὴν καρδίαν σου ὡς καρδίαν θεοῦ, μὴ σοφώτερος εἶ τοῦ Δανιήλ; σοφοὶ οὐκ ἐπαίδευσάν σε τῇ ἐπιστήμῃ αὐτῶν· μὴ τῇ σοφίᾳ σου ἢ τῇ φρονήσει σου ἐποίησας σεαυτῷ δύναμιν καὶ χρυσίον καὶ ἀργύριον ἐν τοῖς θησαυροῖς σου; ἢ ἐν τῇ πολλῇ ἐπιστήμῃ σου καὶ ἐμπορίᾳ σου ἐπλήθυνας δύναμίν σου; ὑψώθη ἡ καρδία σου ἐν τῇ δυνάμει σου. διὰ τοῦτο τάδε λέγει κύριος ὁ θεός· ἐπειδὴ ἔδωκας τὴν καρδίαν σου ὡς καρδίαν θεοῦ, ἀντὶ τούτου ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ ἀλλοτρίους λοιμοὺς ἀπὸ ἐθνῶν, καὶ ἐκκενώσουσι τὰς μαχαίρας αὐτῶν ἐπὶ σὲ καὶ ἐπὶ τὸ κάλλος τῆς ἐπιστήμης σου, καὶ στρώσουσι τὸ κάλλος σου εἰς ἀπώλειαν, καὶ καταβιβάσουσί σε, καὶ ἀποθανῇ θανάτῳ τραυματιῶν ἐν καρδίᾳ θαλάσσης. μὴ λέγων ἐρεῖς· θεός εἰμι ἐγὼ ἐνώπιον τῶν ἀναιρούντων σε; σὺ δὲ εἶ ἄνθρωπος καὶ οὐ θεός. ἐν πλήθει ἀπεριτμήτων ἀπολῇ ἐν χερσὶν ἀλλοτρίων, ὅτι ἐγὼ ἐλάλησα, λέγει κύριος.[2]»

XIX. Τούτων οὖν τῶν ῥητῶν δεδειγμένων, ἴδωμεν λεπτομερές, τί λέγει Δανιὴλ ἐν τοῖς ὁράμασιν. οὗτος γὰρ | διαστέλλων τὰς μετὰ ταῦτα ἐσομένας βασιλείας ἔδειξεν ἐν ἐσχάτοις καιροῖς καὶ τὴν τοῦ ἀντιχρίστου παρουσίαν καὶ τὴν τοῦ παντὸς κόσμου συντέλειαν. λέγει οὖν ἐπιλύων τὸ ὅραμα τοῦ Ναβουχοδονόσορ· «σὺ βασιλεῦ ἐθεώρεις, καὶ ἰδοὺ | εἰκὼν μεγάλη ἑστῶσα πρὸ προσώπου σου, ἧς ἡ κεφαλὴ χρυσίου χρηστοῦ, οἱ βραχίονες αὐτῆς καὶ οἱ ὦμοι καὶ τὸ στῆθος ἀργυροῖ, ἡ κοιλία καὶ οἱ μηροὶ χαλκοῖ, αἱ κνῆμαι | σιδηραῖ, οἱ πόδες μέρος μέν τι σιδηροῦν καὶ μέρος ὀστράκινον. ἐθεώρεις ἕως ἀπεσχίσθη λίθος ἄνευ χειρῶν καὶ ἐπάταξε τὴν εἰκόνα ἐπὶ τοὺς πόδας τοὺς σιδηροῦς καὶ ὀστρακίνους, καὶ ἐλέπτυνεν εἰς τέλος. τότε ἐλεπτύνθησαν εἰσάπαξ τὸ ὄστρακον, ὁ σίδηρος, ὁ χαλκός, ὁ ἄργυρος, ὁ χρυσός, καὶ ἐγένετο ὡσεὶ κονιορτὸς ἀπὸ ἅλωνος θερινῆς· καὶ ἐξῆρε τὸ πλῆθος τοῦ πνεύματος, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς· καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα ἐγενήθη ὄρος μέγα καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν.[3]» XX. συνάψαντες οὖν

1. Ἡσ. 14, 4-21. 2. Ἰεζ 28. 2-10. 3. Δαν. 2, 31-35.

πρὸς τούτῳ καὶ τὰς τοῦ Δανιὴλ ὁράσεις, μίαν ἀμφοτέρων τὴν διήγησιν ποιούμεθα, ἐπιδεικνύντες ὅπως εἴη συμφωνία καὶ ἀλήθεια. λέγει γὰρ οὕτως· «ἐγὼ Δανιὴλ ἐθεώρουν καὶ ἰδοὺ οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ προσέβαλλον εἰς τὴν θάλασσαν τὴν μεγάλην, καὶ τέσσαρα θηρία μεγάλα ἀναβαίνοντα ἐκ τῆς | θαλάσσης, διαφέροντα ἀλλήλοις. τὸ πρῶτον ὡσεὶ λέαινα καὶ πτερὰ αὐτῆς ὡς ἀετοῦ, ἐθεώρουν ἕως οὗ ἐξετίλη τὰ πτερὰ αὐτῆς· καὶ ἐξήρθη ἀπὸ τῆς γῆς καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη, καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῇ. καὶ ἰδοὺ θηρίον δεύτερον ὅμοιον ἄρκου, καὶ εἰς μέρος ἓν ἐστάθη, καὶ τρία πλευρὰ ἐν τῷ στόματι αὐτῆς. ἐθεώρουν καὶ ἰδοὺ θηρίον ἕτερον ὡσεὶ πάρδαλις· καὶ ταύτῃ πτερὰ τέσσαρα πετεινοῦ ὑπεράνω αὐτῆς, καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ. ὀπίσω τούτου ἐθεώρουν καὶ ἰδοὺ θηρίον τέταρτον φοβερὸν καὶ ἔκθαμβον καὶ ἰσχυρὸν περισσῶς, οἱ ὀδόντες αὐτοῦ σιδηροῖ καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ, ἐσθίον καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει. καὶ αὐτὸ διάφορον περισσῶς παρὰ πάντα τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ, καὶ κέρατα δέκα ἐδόθη αὐτῷ. προσενόουν τοῖς | κέρασιν αὐτοῦ, καὶ ἰδοὺ κέρας ἕτερον μικρὸν ἀνέβη ἐν μέσῳ αὐτῶν, καὶ | τρία κέρατα τῶν ἔμπροσθεν αὐτοῦ ἐξερριζώθη ἀπὸ προσώπου αὐτοῦ· καὶ ἰδοὺ ὀφθαλμοὶ ὡσεὶ ὀφθαλμοὶ ἀνθρώπου ἐν τῷ κέρατι τούτῳ καὶ στόμα λαλοῦν μεγάλα. XXI. ἐθεώρουν ἕως ὅτου θρόνοι ἐτέθησαν καὶ παλαιὸς ἡμερῶν ἐκάθητο, καὶ τὸ ἔνδυμα αὐτοῦ ὡσεὶ χιὼν λευκόν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρόν, ὁ θρόνος αὐτοῦ φλὸξ πυρός, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον. ποταμὸς πυρὸς εἷλκεν | ἔμπροσθεν αὐτοῦ, χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες περιειστήκεισαν αὐτῷ· κριτήριον ἐκάθισεν, καὶ βίβλοι ἠνεῴχθησαν. ἐθεώρουν τότε ἀπὸ φωνῆς τῶν λόγων τῶν μεγάλων, ὧν τὸ κέρας ἐκεῖνο ἐλάλει, ἕως ἀνῃρέθη τὸ θηρίον καὶ ἀπώλετο, καὶ τὸ σῶμα αὐτοῦ ἐδόθη εἰς καῦσιν πυρός. καὶ τῶν λοιπῶν θηρίων ἡ ἀρχὴ μετεστάθη. XXII. ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε καὶ προσηνέχθη αὐτῷ. καὶ ἐδόθη αὐτῷ ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοὶ φυλαὶ γλῶσσαι δουλεύσουσιν αὐτῷ· ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται.[1]» XXIII. ἐπεὶ οὖν δυσνόητά τισι δοκεῖ εἶναι ταῦτα μυστικῶς εἰρημένα, οὐδὲν τούτων ἀποκρύψομεν πρὸς ἐπίγνωσιν τοῖς ὑγιῆ νοῦν κεκτημένοις. «λέαιναν» δὲ εἰπὼν «ἀναβαίνουσαν ἐκ τῆς θαλάσσης[2]» τὴν τῶν Βαβυλωνίων βασιλείαν γεγενημένην ἐν τῷ κόσμῳ ἐσήμανεν, ταύτην οὖσαν τῆς εἰκόνος τὴν χρυσῆν κεφαλήν· τὸ δὲ λέγειν «πτερὰ αὐτῆς ὡσεὶ ἀετοῦ[3]», ὅτι ὑψώθη ὁ βασιλεὺς Ναβουχοδονόσορ καὶ κατὰ τοῦ θεοῦ ἐπήρθη. εἶτα, φησίν, «ἐξετίλη τὰ | πτερὰ αὐτῆς[4]», | ὅτι καθῃρέθη αὐτοῦ ἡ δόξα·

1. Δαν. 7, 2-14. 2. Δαν. 7, 3, 4. 3. Δαν. 7, 4. 4. Δαν. 7, 4.

ἐξεδιώχθη γὰρ ἐκ τῆς βασιλείας αὐτοῦ. τὸ δὲ εἰπεῖν «καρδία ἀνθρώπου ἐδόθη αὐτῇ καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη[1]», ὅτι | μετενόησεν, ἐπιγνοὺς ἑαυτὸν ὅτι ἄνθρωπός ἐστιν, καὶ ἔδωκε δόξαν τῷ θεῷ. XXIV. μετὰ γοῦν τὴν λέαιναν «δεύτερον θηρίον» ὁρᾷ «ὅμοιον ἄρκῳ[2]», ὅπερ ἦσαν οἱ Πέρσαι. μετὰ γὰρ τοὺς Βαβυλωνίους Πέρσαι διεκράτησαν. τὸ δὲ λέγειν «τρία πλευρὰ ἐν τῷ στόματι αὐτῆς[3]» τρία ἔθνη ἔδειξεν, Πέρσας Μήδους καὶ Βαβυλωνίους, ὅπερ δέδεικται μετὰ τὸν χρυσὸν ὁ ἄργυρος ἐν τῇ εἰκόνι. ἔπειτα τὸ τρίτον θηρίον πάρδαλις, οἵτινες ἦσαν οἱ Ἕλληνες. μετὰ γὰρ Πέρσας Ἀλέξανδρος ἐκράτησεν ὁ Μακεδών, καθελὼν Δαρεῖον, ὃς δέδεικται ἐν τῇ εἰκόνι ὁ χαλκός. τὸ δὲ λέγειν «πτερὰ τέσσαρα πετεινοῦ καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ[4]» σαφέστατα ἐδίδαξεν, πῶς διεμερίσθη εἰς τέσσαρα μέρη ἡ βασιλεία Ἀλεξάνδρου· τέσσαρας γὰρ κεφαλὰς εἰπὼν τοὺς τέσσαρας βασιλεῖς τοὺς ἐξ αὐτῆς ἀναστάντας ἐμήνυσεν. τελευτῶν γὰρ Ἀλέξανδρος διεῖλε τὴν βασιλείαν αὐτοῦ εἰς τέσσαρα μέρη. XXV. ἔπειτα, φησίν, «θηρίον τέταρτον φοβερὸν καὶ ἔκθαμβον· οἱ ὀδόντες αὐτοῦ σιδηροῖ καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ.[5]» τίνες οὗτοι ἀλλ' ἢ οἱ Ῥωμαῖοι· ὅπερ ἐστὶν ὁ σίδηρος, ἡ νῦν ἐνεστῶσα βασιλεία. «αἱ κνῆμαι γὰρ | αὐτῆς», φησίν, «σιδηραῖ.[6]» μετὰ γὰρ τοῦτο τί περιλείπεται, ἀγαπητέ, ἀλλ' ἢ τὰ ἴχνη τῶν ποδῶν τῆς εἰκόνος, ἐν οἷς «μέρος μέν τι ἐστὶ σιδηροῦν, μέρος δέ τι ὀστράκινον, ἀναμεμιγμένον εἰς ἄλληλα.[7]» μυστικῶς ἐδήλωσε διὰ τῶν δακτύλων τῶν ποδῶν τοὺς δέκα βασιλεῖς τοὺς ἐξ αὐτῆς ἐγειρομένους, ἅπερ λέγει Δανιὴλ «προσενόουν τῷ θηρίῳ καὶ ἰδοὺ δέκα κέρατα ὀπίσω αὐτοῦ, ἐν οἷς ἀναβήσεται ἕτερον μικρὸν ὡς παραφυάδιον, καὶ τρία τῶν πρὸ αὐτοῦ ἐκριζώσει[8]», ὅπερ δέδεικται οὐχ ἕτερος ἀλλ' ἢ ὁ ἀντίχριστος ὁ ἐγειρόμενος, ὃς καὶ αὐτὸς τὴν Ἰουδαίων βασιλείαν ἀναστή|σει. τρία δὲ κέρατα λέγων ὑπ' αὐτοῦ ἐκριζοῦσθαι, τοὺς τρεῖς βασιλεῖς δείκνυσιν Αἰγύπτου Λιβύων τε καὶ Αἰθιόπων, οὓς ἀνελεῖ ἐν παρατάξει πολέμου, ὃς | κρατήσας πάντων, δεινὸς ὠμοτύραννος ὤν, θλῖψιν καὶ διωγμὸν ἐπὶ τοὺς ἁγίους ἐποίει, ἐπαιρόμενος κατ' αὐτῶν. λέγει γὰρ Δανιὴλ «προσκατενόουν τῷ κέρατι καὶ ἰδοὺ τὸ κέρας ἐκεῖνο ἐποίει πόλεμον μετὰ τῶν ἁγίων καὶ ἴσχυε πρὸς αὐτούς[9]», «ἕως ἀνῃρέθη τὸ θηρίον καὶ ἀπώλετο καὶ τὸ σῶμα αὐτοῦ ἐδόθη εἰς καῦσιν πυρός.» XXVI. μεθ' ὃν ἥξει λοιπὸν ἀπ' οὐρανῶν «ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα[10]» καὶ συντρίψας αὐτὴν καὶ μεταστήσας πάσας τὰς βασιλείας καὶ δοὺς τὴν βασιλείαν ἁγίοις ὑψίστου. οὗτος ὁ «γενηθεὶς ὄρος μέγα καὶ πληρώσας πᾶσαν τὴν γῆν[11]», περὶ οὗ | λέγει Δανιὴλ «ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος καὶ ἕως τοῦ παλαιοῦ τῶν

1. Δαν. 7, 4. 2. Δαν. 7, 5. 3. Δαν. 7, 5. 4. Δαν. 7, 6. 5. Δαν. 7, 7. 6. Δαν. 2, 33. 7. Δαν. 2, 33, 41. 8. Δαν. 7, 8. 9. Δαν. 7, 21. 10. Δαν. 2, 35. 11. Δαν. 2, 35.

ἡμερῶν ἔφθασεν. καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοὶ φυλαὶ γλῶσσαι δουλεύσουσιν αὐτῷ· ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται.[1]» τὴν ἐξουσίαν πᾶσαν τὴν παρ' αὐτοῦ δεδομένην τῷ υἱῷ ἐπέδειξεν, ὅς «ἐπουρανίων τε καὶ ἐπιγείων καὶ καταχθονίων[2]» βασιλεὺς καὶ κριτὴς πάντων ἀποδέδεικται, ἐπουρανίων μέν, ὅτι λόγος ἐκ καρδίας πατρὸς πρὸ πάντων γεγεννημένος ἦν, ἐπιγείων δέ, ὅτι καὶ ἄνθρωπος ἐν ἀνθρώποις ἐγεννήθη, ἀναπλάσσων δι' ἑαυτοῦ τὸν Ἀδάμ, καταχθονίων δέ, ὅτι καὶ ἐν νεκροῖς κατελογίσθη, εὐαγγελιζόμενος τὰς τῶν ἁγίων ψυχάς[3], διὰ θανάτου θάνατον νικῶν. XXVII. τούτων οὖν ἐσομένων καὶ τῶν δέκα δακτύλων τῆς εἰκόνος εἰς δημοκρατίας χωρησάντων, καὶ τῶν δέκα κεράτων | τοῦ θηρίου εἰς δέκα βασιλεῖς μερισθέντων, ἴδωμεν σαφέστερον τὰ προκείμενα, καὶ κατανοήσωμεν αὐτὰ ὀφθαλμοφανῶς. XXVIII. κεφαλὴ τῆς εἰκόνος χρυσῆ, ἡ λέαινα, Βαβυλώνιοι ἦσαν· ὦμοι καὶ βραχίονες ἀργυροῖ, ἡ ἄρκος, Πέρσαι καὶ Μῆδοι· κοιλία καὶ μηροὶ χαλκοῖ, ἡ πάρδαλις, οἱ ἀπὸ Ἀλεξάνδρου κρατήσαντες Ἕλληνες· κνῆμαι | σιδηραῖ, θηρίον ἔκθαμβον καὶ φοβερόν, Ῥωμαῖοι οἱ νῦν κρατοῦντες· ἴχνη ποδῶν ὄστρακον καὶ σίδηρος, τὰ δέκα κέρατα, τὰ μέλλοντα ἔσεσθαι· κέρας ἕτερον μικρὸν ἀναφυόμενον, ὁ ἐν αὐτοῖς ἀντίχριστος· λίθος ὁ πατάσσων τὴν εἰκόνα καὶ συντρίβων, ὁ πληρώσας τὴν γῆν, Χριστὸς ἀπ' οὐρανῶν ἐρχόμενος καὶ ἐπάγων τῷ κόσμῳ τὴν κρίσιν.

XXIX. Ταῦτά σοι, ἀγαπητέ, μετὰ φόβου μεταδίδομεν ἀφθόνως «διὰ τὴν ὑπερβάλλουσαν Χριστοῦ ἀγάπην.[4]» εἰ γὰρ οἱ πρὸ ἡμῶν μακάριοι προφῆται γεγενημένοι εἰδότες αὐτὰ οὐκ ἠθέλησαν παρρησίᾳ κηρῦξαι, ἵνα μὴ τάραχον ἐγγεννήσωσι ταῖς τῶν ἀνθρώπων ψυχαῖς, ἀλλὰ μυστικῶς διηγήσαντο διὰ παραβολῶν καὶ αἰνιγμάτων, λέγοντες «ὧδε ὁ νοῦς ὁ ἔχων σοφίαν·[5]» πόσῳ μᾶλλον ἡμεῖς κινδυνεύσομεν, τολμῶντες τὰ ὑπ' ἐκείνων ἀποκρύφως εἰρημένα εἰς φανερὸν ἄγειν; ἴδωμεν τοίνυν τὰ συμβησόμενα ἐπ' ἐσχάτων ἐπὶ τὴν πόρνην τὴν ἀκάθαρτον ταύτην, ὁποία δὲ καὶ ποταπὴ κατὰ χόλον θεοῦ ἐπελεύσεται αὐτῇ πρὸ τῆς κρίσεως μερικὴ βάσανος. XXX. δεῦρο οὖν, ὦ μακάριε Ἡσαΐα, ἐξεγέρθητι, εἰπὲ σαφῶς τί ἐπροφήτευσας περὶ τῆς πόλεως τῆς μεγάλης Βαβυλῶνος. ὡς εἶπας γὰρ καὶ περὶ Ἱερουσαλὴμ καὶ τετέλεσται. σὺ γὰρ εἶπας μετὰ παρρησίας «ἔστω ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι· τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλό|τριοι κατεσθίουσιν αὐτήν, καὶ ἠρήμωται | κατεστραμμένη ὑπὸ πολλῶν ἀλλοτρίων. ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηράτῳ, ὡς πόλις | πολιορκουμένη.[6]» τί οὖν; οὐ γεγένηται ἤδη ταῦτα; οὐ πεπλήρωται τὰ ὑπὸ σοῦ εἰρημένα; οὐκ ἠρήμωται αὐ-

1. Δαν. 7, 13-14. 2. Φιλιππ. 2, 10. 3. Πρβλ. Α' Πέτρ. 3, 19. 4, 6. 4. Ἐφ. 3, 19. 5. Ἀποκ. 17, 9. 6. Ἠσ. 1, 7-8.

τῶν ἡ Ἰουδαία γῆ; οὐκ ἐμπέπρησται τὸ ἁγίασμα; οὐ κατέστραπται τὰ τείχη; οὐ καθηρέθησαν αἱ πόλεις; οὐ τὴν χώραν ἀλλότριοι κατεσθίουσιν; οὐ τὴν γῆν αὐτῶν Ῥωμαῖοι κρατοῦσιν; ἀλλὰ μισήσαντές σε οἱ ἄνομοι ἐνέπρισαν· καὶ γὰρ Χριστὸν ἐσταύρωσαν. ἀπέθανες ἐν κόσμῳ, ἀλλ' οὖν ἐν Χριστῷ ζῇς. XXXI. τίνα οὖν ὑμῶν πλείω ἀγαπήσω ἢ σέ; ἀλλὰ καὶ Ἱερεμίας λιθάζεται. ἢ Ἱερεμίαν μᾶλλον; ἀλλὰ καὶ Δανιὴλ μαρτυρεῖ. Δανιήλ, ὑπὲρ πάντας ἐπαινῶ σέ; ἀλλὰ καὶ Ἰωάννης οὐ ψεύδεται. πόσοις ὑμᾶς στόμασι καὶ γλώσσαις δοξάσω· μᾶλλον δὲ τὸν ἐν ὑμῖν λαλήσαντα λόγον. ἀπεθάνετε γὰρ σὺν Χριστῷ, ἀλλὰ ζήσετε ἐν θεῷ.[1] ἀκούσατε καὶ χαρῆτε. ἰδοὺ τὰ ὑφ' ὑμῶν λελαλημένα κατὰ καιροὺς πεπλήρωται. εἴδατε γὰρ αὐτὰ πρῶτον, εἶθ' οὕτως ἐκηρύξατε πάσαις γενεαῖς τὰ τοῦ θεοῦ λόγια, διηκονήσατε πάσαις γενεαῖς. προφῆται ἐκηρύχθητε, ἵνα πάντας σῶσαι δυνηθῆτε. τότε γὰρ ὄντως ὁ προφήτης προφήτης γίνεται, ὅταν τὰ μέλλοντα γίνεσθαι προκηρύξας, ὕστερον συμβάντα αὐτὰ ἐπιδείξῃ. καλοῦ διδασκάλου οἱ πάντες ἐγένεσθε μαθηταί. ταῦτα ὑμῖν ὡς ζῶσιν ἀξίως ἐπιφέρω· ἔχετε γὰρ ἤδη τὸν τῆς ζωῆς | καὶ ἀφθαρσίας ἀποκείμενον ὑμῖν ἐν τοῖς οὐρανοῖς στέφανον.[2] XXXII. λέγε μοι, ὦ μακάριε Δανιήλ, πληροφόρησόν με, παρακαλῶ. προφητεύεις περὶ τῆς λεαίνης ἐν Βαβυλῶνι· αἰχμάλωτος γὰρ ἦς ἐκεῖ. διήγησαι καὶ τὰ μέλλοντα περὶ τῆς ἄρκου· ἔτι γὰρ ἀκμὴν ἐν κόσμῳ ἦς καὶ | εἶδες αὐτὰ γεγενημένα. ἔπειτα λέγεις μοι πάρδαλιν· καὶ πόθεν σοι τοῦτο εἰδέναι; ἤδη γὰρ ἐκεκοίμησο. ἢ τίς σε ταῦτα προεδίδαξεν ἀλλ' ἢ ὁ πλάσας σε ἐν κοιλίᾳ μητρός, θεοῦ λόγος; εἶπας γὰρ καὶ οὐκ ἐψεύσω. ἀνέστη γὰρ ἡ πάρδαλις, ἦλθεν ὁ τράγος τῶν αἰγῶν, ἔτυψε τὸν κριόν, συνέτριψεν αὐτοῦ τὰ κέρατα, καὶ κατεπάτησεν αὐτὸν τοῖς ποσίν, ἐκράτησεν, ὑψώθη. ἐν τῷ πεσεῖν αὐτὸν ἀνέστη τέσσαρα κέρατα | ὑποκάτωθεν αὐτοῦ· εὐφραίνου, μακάριε Δανιήλ, οὐκ ἐπλανήθης, γεγένηται ταῦτα πάντα. XXXIII. μετὰ τοῦτο πάλιν μοι διήγηθι· «θηρίον τέταρτον, φοβερὸν καὶ ἔκθαμβον· οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ, ἐσθίον καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει.[3]» ἴδε κρατεῖ νῦν «ὁ σίδηρος», ἴδε «δαμάζει πάντα καὶ λεπτύνει», ἴδε ὑποτάσσει πάντας τοὺς μὴ θέλοντας, ἴδε βλέπομεν αὐτὰ ἡμεῖς, ἴδε δοξάζομεν τὸν θεὸν ὑπὸ σοῦ διδασκόμενοι. XXXIV. ἀλλ' ἐπειδὴ προὔκειτο ἡμῖν περὶ τῆς πόρνης εἰπεῖν, πάρελθε, ὦ μακάριε Ἡσαΐα. ἴδωμεν τί λέγεις περὶ Βαβυλῶνος. «κατάβηθι, κάθισον | ἐπὶ γῆς, παρθένος θύγατερ Βαβυλῶνος, κάθισον, θυγάτηρ Χαλδαίων, οὐκέτι προστεθήσῃ κληθῆναι ἁπαλὴ καὶ τρυφερά. λάβε μύλον, ἄλεσον ἄλευρον, ἀποκάλυψαι τὸ κατακάλυμμά σου, ἀνάσυρε τὰς πολιάς σου, ἀνακάλυψαι τὰς κνήμας, διάβηθι ποταμούς. ἀνακαλυφθήσεται ἡ αἰσχύνη σου, φανήσονται οἱ ὀνειδισμοί σου. τὸ δίκαιον ἐκ σοῦ λήμψομαι, οὐκέτι μὴ παραδῶ σε ἀνθρώποις. ὁ

1. Πρβλ. Ῥωμ. 6, 8. 2. Πρβλ. Τιμ. 4, 8. 3. Δαν. 7, 7.

ῥυσάμενός σε κύριος Σαβαώθ, ὄνομα αὐτῷ ὁ ἅγιος Ἰσραήλ. κάθισον κατανενυγμένη, εἴσελθε εἰς τὸ σκότος, θυγάτηρ Χαλδαίων, οὐκέτι μὴ κληθήσῃ ἰσχὺς βασιλεί|ας. XXXV. παρωξύνθην ἐπὶ τῷ λαῷ μου, ἐμίανας τὴν κληρονομίαν μου· ἐγὼ δέδωκα εἰς τὴν χεῖρά σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος, σὺ δὲ τοῦ πρεσβύτου ἐβάρυνας τὸν ζυγὸν σφόδρα, καὶ εἶπας· εἰς τὸν αἰῶνα ἔσομαι ἄρχουσα. οὐκ ἐνόησας ταῦτα ἐν τῇ καρδίᾳ σου, οὐδὲ ἐμνήσθης τὰ ἔσχατα. νῦν δὲ ἄκουε ταῦτα, ἡ τρυφερά, ἡ καθημένη πεποιθυῖα, ἡ λέγουσα τῇ καρδίᾳ· ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα, οὐ καθιῶ χήρα, οὐδὲ γνώσομαι ὀρφανίαν. νῦν δὲ ἥξει ἐπὶ σὲ δύο ταῦτα ἐν ἡμέρᾳ μιᾷ, χηρεία καὶ ἀτεκνία ἥξει ἐξαίφνης ἐπὶ σὲ ἐν τῇ φαρμακείᾳ σου, ἐν τῇ ἰσχύι τῶν ἐπαοιδῶν σου σφόδρα, τῇ ἐλπίδι τῆς πονηρίας σου. σὺ γὰρ εἶπας· ἐγώ | εἰμι, οὐκ ἔστιν ἑτέρα, καὶ ἔσται ἡ πορνεία σου σοὶ αἰσχύνη, ὅτι εἶπας τῇ καρδίᾳ σου· ἐγώ εἰμι. καὶ ἥξει ἐπὶ σὲ ἀπώ|λεια καὶ οὐ μὴ γνῷς, βόθυνος, καὶ ἐμπεσῇ εἰς αὐτόν· καὶ ἥξει ἐπὶ σὲ ταλαιπωρία, καὶ οὐ μὴ δυνήσῃ καθαρὰ γενέσθαι· καὶ ἥξει ἐπὶ σὲ ἐξάπινα, καὶ οὐ μὴ γνώσῃ. στῆθι νῦν ἐν ταῖς ἐπαοιδαῖς σου καὶ τῇ πολλῇ φαρμακείᾳ σου, ἃ ἐμάνθανες ἐκ γενέσεώς σου, εἰ δυνήσῃ ὠφεληθῆναι. κεκοπίακας ἐν ταῖς βουλαῖς σου· στήτωσαν καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ, οἱ ὁρῶντες τοὺς ἀστέρας ἀναγγειλάτωσάν σοι, τί μέλλει ἐπὶ σὲ ἐλθεῖν. ἰδοὺ πάντες ὡς φρύγανα ἐπὶ πυρὸς οὕτω καυθήσονται, καὶ οὐ μὴ ἐξέλωνται τὴν ψυχὴν αὐτῶν ἐκ φλογός, ὅτι ἔχεις ἄνθρακας πυρός, κάθισαι ἐπ' αὐτούς, οὗτος ἔσται σοι εἰς βοήθειαν· ἐκοπίασας ἐν τῇ μεταβολῇ ἐκ νεότητος, ἄνθρωπος καθ' ἑαυτὸν ἐπλάγχθη, σοὶ δὲ οὐκ ἔσται σωτηρία.[1]» ταῦτα μὲν οὖν προφητεύει Ἡσαΐας· ἴδωμεν δὲ εἰ τὰ ὅμοια αὐτῷ ἐφθέγξατο Ἰωάννης. XXXVI. οὗτος γὰρ ἐν Πάτμῳ τῇ νήσῳ ὢν ὁρᾷ ἀποκάλυψιν μυστηρίων φρικτῶν, ἅτινα διηγούμενος ἀφθόνως | καὶ ἑτέρους διδάσκει. λέγε μοι, ὦ μακάριε Ἰωάννη, ἀπόστολε καὶ μαθητὰ τοῦ κυρίου, τί εἶδες καὶ τί ἤκουσας περὶ Βαβυλῶνος. γρηγόρησον καὶ εἰπέ· καὶ γὰρ αὐτή σε ἐξώρισεν. «καὶ ἦλθεν εἷς τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας, καὶ ἐλάλησε μετ' ἐμοῦ λέγων· δεῦρο, δείξω σοι τὸ κρίμα τῆς πόρνης τῆς μεγάλης τῆς καθημένης ἐπὶ ὑδάτων πολλῶν, μεθ' ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς, καὶ ἐμεθύσθησαν οἱ κατοικοῦντες τὴν γῆν ἐκ τοῦ οἴνου τῆς πορνείας αὐτῆς. καὶ ἀπήνεγκέ με εἰς ἔρημον ἐν | πνεύματι καὶ εἶδα γυναῖκα καθημένην ἐπὶ θηρίον κόκκινον, γέμον τὰ ὀνόματα, ἔχον κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα. καὶ ἡ γυνὴ ἦν περιβεβλημένη πορφυροῦν καὶ κόκκινον, κεχρυσωμένη χρυσῷ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις, | ἔχουσα ποτήριον χρυσοῦν ἐν τῇ χειρὶ αὐτῆς γέμων βδελυγμάτων καὶ τὰ ἀκάθαρτα τῆς πορνείας τῆς γῆς, καὶ ἐπὶ τὸ μέτωπον αὐτῆς ὄνομα γεγραμμένον· μυστήριον, Βαβυλὼν ἡ μεγάλη, ἡ μήτηρ τῶν πορνῶν καὶ τῶν βδελυγμάτων τῆς γῆς. XXXVII.

1. Ἡσ. 47, 1-15.

καὶ εἶδον τὴν γυναῖκα μεθύουσαν τοῦ αἵματος τῶν ἁγίων καὶ ἐκ τοῦ αἵματος τῶν μαρτύρων Ἰησοῦ, καὶ ἐθαύμασα ἰδὼν αὐτὴν θαῦμα μέγα. καὶ εἶπέ μοι ὁ ἄγγελος· διατί ἐθαύμασας; ἐγὼ ἐρῶ σοι τὸ μυστήριον τῆς γυναικὸς καὶ τοῦ θηρίου τοῦ βαστάζοντος αὐτήν, τοῦ ἔχοντος τὰς ἑπτὰ κεφαλὰς καὶ τὰ δέκα κέρατα. τὸ θηρίον ὃ εἶδες ἦν καὶ οὐκ ἔστι καὶ μέλλει ἀναβαίνειν ἐκ τῆς ἀβύσσου καὶ εἰς ἀπώλειαν ὑπάγει· καὶ θαυμάζουσιν οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται τὸ ὄνομα ἐπὶ τὸ βιβλίον τῆς ζωῆς ἀπὸ καταβολῆς κόσμου, βλέποντες τὸ θηρίον ὅτι ἦν καὶ οὐκ ἔστι καὶ παρέσται. XXXVIII. ὧδε ὁ νοῦς | ὁ ἔχων σοφίαν. αἱ ἑπτὰ κεφα|λαὶ ἑπτὰ ὄρη εἰσίν, ὅπου ἡ γυνὴ κάθηται ἐπ' αὐτῶν, καὶ βασιλεῖς αἱ ἑπτά εἰσιν· οἱ πέντε ἔπεσαν, ὁ εἷς | ἔστιν, ὁ ἄλλος οὔπω ἦλθεν, καὶ ὅταν ἔλθῃ ὀλίγον αὐτὸν δεῖ μεῖναι. καὶ τὸ θηρίον ὃ ἦν καὶ οὐκ ἔστιν, καὶ αὐτὸς ὄγδοός ἐστιν, καὶ ἐκ τῶν ἑπτά ἐστιν, καὶ εἰς ἀπώλειαν ὑπάγει. καὶ τὰ κέρατα τὰ δέκα, ἃ εἶδες, δέκα βασιλεῖς εἰσιν, οἵτινες βασιλείαν οὔπω ἔλαβον, ἀλλὰ ἐξουσίαν ὡς βασιλεῖς μίαν ὥραν λαμβάνουσιν μετὰ τοῦ θηρίου μίαν γνώμην ἔχουσιν καὶ τὴν δύναμιν καὶ τὴν ἐξουσίαν αὐτῷ τῷ θηρίῳ διδόασιν. οὗτοι μετὰ τοῦ ἀρνίου πολεμήσουσιν, καὶ τὸ ἀρνίον νικήσει αὐτούς, ὅτι κύριος κυρίων ἐστὶ καὶ βασιλεὺς βασιλέων, καὶ οἱ μετ' αὐτοῦ κλητοὶ καὶ ἐκλεκτοὶ καὶ πιστοί. XXXIX. καὶ λέγει μοι· τὰ ὕδατα ἃ εἶδες, οὗ κάθηται ἡ πόρνη, λαοὶ καὶ ὄχλοι εἰσὶ καὶ ἔθνη καὶ γλῶσσαι. καὶ τὰ δέκα κέρατα ἃ εἶδες καὶ τὸ θηρίον, οὗτοι μισήσουσι τὴν πόρνην καὶ ἠρημωμένην ποιή|σουσιν αὐτὴν καὶ γυμνήν, καὶ τὰς σάρκας αὐτῆς φάγονται, καὶ αὐτὴν κατακαύσουσιν ἐν πυρί. ὁ γὰρ θεὸς ἔδωκεν εἰς τὴν καρδίαν αὐτῶν ποιῆσαι τὴν γνώμην αὐτοῦ καὶ ποιῆσαι μίαν γνώμην καὶ δοῦναι τὴν βασιλείαν αὐτῶν τῷ θηρίῳ, ἄχρι τελεσθήσονται οἱ λόγοι τοῦ θεοῦ. καὶ ἡ γυνὴ ἣν εἶδες ἔστιν ἡ πόλις ἡ μεγάλη ἡ ἔχουσα βασιλείαν ἐπὶ τῶν βασιλέων τῆς γῆς. XL. μετὰ ταῦτα εἶδον ἄλλον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα ἐξουσίαν | μεγάλην, καὶ ἡ γῆ ἐφωτίσθη ἐκ τῆς δόξης αὐτοῦ. καὶ ἔκραξεν ἐν ἰσχύι φωνῇ μεγάλῃ λέγων· ἔπεσεν, ἔπεσε Βαβυλὼν ἡ μεγάλη καὶ ἐγένετο κατοικητήριον δαιμονίων καὶ φυλακὴ παντὸς πνεύματος ἀκαθάρτου καὶ μεμισημένου καὶ φυλακὴ παντὸς θηρίου ἀκαθάρτου καὶ μεμισημένου, ὅτι ἐκ τοῦ θυμοῦ τοῦ οἴνου τῆς πορνείας | αὐτῆς πεπτώκασι πάντα τὰ ἔθνη, καὶ οἱ βασιλεῖς τῆς γῆς μετ' αὐτῆς ἐπόρνευσαν, καὶ οἱ ἔμποροι τῆς γῆς ἐκ τῆς δυνάμεως τοῦ στρήνους αὐτῆς ἐπλούτησαν. καὶ ἤκουσα ἄλλην φωνὴν ἐκ τῶν οὐρανῶν λέγουσαν· ἐξέλθατε ὁ λαός μου ἐξ αὐτῆς, ἵνα μὴ συγκοινωνήσητε ταῖς ἁμαρτίαις αὐτῆς, καὶ ἐκ τῶν πληγῶν αὐτῆς ἵνα μὴ λάβητε, ὅτι ἐκολλήθησαν αἱ ἁμαρτίαι αὐτῆς ἄχρι τοῦ οὐρανοῦ καὶ ἐμνημόνευσεν ὁ θεὸς τὰ ἀδικήματα αὐτῆς. XLI. ἀπόδοτε αὐτῇ ὡς καὶ αὐτὴ ἀπέδωκεν, καὶ διπλώσατε τὰ διπλᾶ κατὰ τὰ ἔργα αὐτῆς· ἐν τῷ ποτηρίῳ ᾧ ἐκέρασε κεράσατε αὐτῇ διπλοῦν· ὅσα ἐδόξασεν αὐτὴν καὶ ἐστρηνίασεν, τοσοῦτον δότε αὐτῇ βασανισμὸν καὶ πένθος. ὅτι ἐν τῇ καρδίᾳ αὐτῆς

λέγει· ὅτι κάθημαι βασίλισσα καὶ χήρα οὐκ εἰμὶ καὶ πένθος οὐ μὴ ἴδω, διὰ τοῦτο ἐν μιᾷ ἡμέρᾳ ἥξουσιν αἱ πληγαὶ αὐτῆς, θάνατος καὶ πένθος καὶ λιμός, καὶ ἐν πυρὶ κατακαυθήσεται· ὅτι ἰσχυρὸς κύριος ὁ θεὸς | ὁ κρίνας αὐτήν. | καὶ κλαύσουσι καὶ κόψονται ἐπ' αὐτὴν οἱ βασιλεῖς τῆς γῆς οἱ μετ' αὐτῆς πορνεύσαντες καὶ στρηνιάσαντες, ὅταν βλέπωσι τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς, ἀπὸ μακρόθεν ἑστηκότες διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς, λέγοντες· οὐαὶ οὐαί, ἡ πόλις ἡ μεγάλη, Βαβυλὼν ἡ πόλις ἡ ἰσχυρά, ὅτι μιᾷ ὥρᾳ ἦλθεν ἡ κρίσις σου· καὶ οἱ ἔμποροι τῆς γῆς κλαύσουσι καὶ πενθήσουσιν ἐπ' αὐτήν, ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς ἀγοράζει οὐκέτι, γόμον χρυσοῦ καὶ ἀργύρου καὶ λίθου τιμίου καὶ μαργαρίτας καὶ βύσσους καὶ πορφύρας καὶ σιρικοῦ καὶ κοκκίνου, καὶ πᾶν ξύλον θύινον καὶ πᾶν σκεῦος ἐλεφάντινον καὶ πᾶν σκεῦος ἐκ ξύλου τιμιωτάτου καὶ χαλκοῦ καὶ σιδήρου | καὶ μαρμάρου καὶ κιννάμωμου καὶ θυμίαμα καὶ μύρον καὶ λίβανον καὶ οἶνον καὶ ἔλαιον καὶ σεμίδαλιν καὶ σῖτον καὶ κτήνη καὶ πρόβατα, καὶ ἵππων καὶ ῥεδῶν καὶ σωμάτων, καὶ ψυχὰς ἀνθρώπων, καὶ ἡ ὀπώρα σου τῆς ἐπιθυμίας τῆς ψυχῆς ἀπῆλθεν ἀπὸ σου, καὶ πάντα τὰ λιπαρὰ καὶ τὰ λαμπρὰ ἀπώλετο ἀπὸ σου, καὶ οὐκέτι αὐτὰ οὐ μὴ εὑρήσουσιν. οἱ ἔμποροί σου, οἱ πλουτήσαντες ἀπ' αὐτῆς, ἀπὸ μακρόθεν στήσονται διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς κλαίοντες καὶ πενθοῦντες καὶ λέγοντες· οὐαὶ | οὐαί, ἡ πόλις ἡ μεγάλη, ἡ περιβεβλημένη βύσσινον καὶ πορφυροῦν καὶ κόκκινον, καὶ κεχρυσωμένη ἐν χρυσῷ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίτῃ, ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ τοσοῦτος πλοῦτος. καὶ πᾶς κυβερνήτης καὶ πᾶς ἐπὶ τῶν πλοίων καὶ ναῦται καὶ ὅσοι τὴν θάλασσαν ἐργάζονται, ἀπὸ μακρόθεν ἔστησαν καὶ ἔκραξαν βλέποντες τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς λέγοντες· τίς ὁμοία τῇ πόλει τῇ μεγάλῃ; καὶ ἔβαλαν χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ ἔκραξαν κλαίοντες καὶ πενθοῦντες, λέγοντες· οὐαὶ οὐαί, ἡ πόλις ἡ μεγάλη, ἐν ᾗ ἐπλούτησαν πάντες | οἱ ἔχοντες πλοῖα ἐν τῇ θαλάσσῃ ἐκ τῆς τιμιότητος αὐτῆς, ὅτι μιᾷ ὥρᾳ ἠρημώθη. XLII. εὐφραίνου ἐπ' αὐτήν, οὐρανὲ καὶ οἱ ἅγιοι καὶ οἱ ἀπόστολοι καὶ οἱ προφῆται, ὅτι ἔκρινεν ὁ θεὸς τὸ κρίμα ὑμῶν ἐξ αὐτῆς. καὶ ἦρεν εἷς ἄγγελος ἰσχυρὸς λίθον ὡς μύλον μέγαν, καὶ ἔβαλεν εἰς τὴν θάλασσαν λέγων· οὕτως ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ μεγάλη πόλις, καὶ οὐ μὴ εὑρεθῇ ἔτι. καὶ φωνὴ κιθαρῳδῶν καὶ μουσικῶν καὶ αὐλητῶν καὶ σαλπιστῶν οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι, καὶ πᾶς τεχνίτης πάσης τέχνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ <ἔτι, καὶ φωνὴ μύλου οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι,> καὶ φῶς λύχνου οὐ μὴ φανῇ ἐν σοὶ ἔτι, καὶ φωνὴ νυμφίου καὶ φωνὴ νύμφης οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι, ὅτι οἱ ἔμποροί σου ἦσαν οἱ μεγιστᾶνες τῆς γῆς, ὅτι ἐν τῇ φαρμακείᾳ σου ἐπλανήθησαν πάντα τὰ ἔθνη, καὶ ἐν αὐτῇ αἷμα προφητῶν καὶ ἁγίων εὑρέθη | καὶ πάντων τῶν ἐσφαγμένων ἐπὶ τῆς | γῆς.[1]»

1. Ἀποκ. 17, 1-18, 24.

XLIII. περὶ μὲν οὖν τῶν βασάνων καὶ τῆς ἐπερχομένης αὐτῇ ἐπ' ἐσχάτων ὑπὸ τῶν τότε ἐσομένων τυράννων μερικῆς κρίσεως σαφέστατα ἐν τοῖς ῥητοῖς τούτοις δεδήλωται. δεῖ δὲ ἡμᾶς καὶ τὸν χρόνον ἐξακριβαζομένους ἐκθέσθαι, ἐν οἷς καιροῖς ταῦτα συμβήσεται καὶ ὡς τὸ κέρας τὸ μικρὸν ἐν αὐτοῖς ἀναφυήσεται. τῶν γὰρ κνημῶν τῶν σιδηρῶν τῶν νῦν ἐπικρατουσῶν ἐπὶ τὰ ἴχνη τῶν ποδῶν καὶ τοὺς δακτύλους, χωρησάντων κατὰ τὴν τῆς εἰκόνος φανέρωσιν καὶ τὴν τοῦ θηρίου τοῦ φοβεροῦ δεῖξιν, καθὼς σεσήμανται ἐν τοῖς ἔμπροσθεν, οἷς καιροῖς ὁ σίδηρος καὶ τὸ ὄστρακον εἰς ταὐτὸ ἀναμίγνυται; δείξει δὲ ἡμῖν Δανιὴλ τὰ προκείμενα. λέγει γάρ· «καὶ διαθήσει διαθήκην πολλοῖς ἑβδομὰς μία. καὶ ἔσται ἐν τῷ ἥμισυ τῆς ἑβδομάδος, ἀρθήσεταί μου θυσία καὶ σπονδή.[1]» μίαν μὲν οὖν ἑβδομάδα εἰπών, τὴν ἐσχάτην τὴν ἐπὶ τῷ τέρματι τοῦ σύμπαντος κόσμου ἐσομένην ἐπ' ἐσχάτων ἐσήμανεν, ἧς ἑβδομάδος τὸ μὲν ἥμισυ λήμψονται οἱ δύο προφῆται Ἐνὼχ καὶ Ἠλίας. οὗτοι γὰρ κηρύξουσιν «ἡμέρας χιλίας διακοσίας ἑξήκοντα, | περιβεβλημένοι σάκκους[2]», μετάνοιαν τῷ λαῷ καὶ πᾶσι τοῖς ἔθνεσι καταγγέλλοντες. XLIV. ὥσπερ γὰρ δύο παρουσίαι τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος διὰ τῶν γραφῶν ἐδείχθησαν, μία μὲν ἡ πρώτη ἡ κατὰ σάρκα γενομένη ἄτιμος διὰ τὸ ἐξουθενη|θῆναι αὐτόν, καθὼς προανεφώνει Ἡσαΐας λέγων «εἴδομεν αὐτὸν καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ πάντας τοὺς ἀνθρώπους· ἄνθρωπος ἐν πληγῇ ὢν καὶ εἰδὼς φέρειν μαλακίαν, ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη.[3]» ἡ δὲ δευτέρα αὐτοῦ παρουσία κεκήρυκται ἐν δόξῃ, ὡς παρέσται ἀπ' οὐρανῶν μετὰ δυνάμεως ἀγγέλων καὶ πατρικῆς δόξης[4], ὥς φη|σιν ὁ προφήτης «βασιλέα μετὰ δόξης ὄψεσθε[5]» καὶ «ἐθεώρουν ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ ὡς υἱὸν ἀνθρώπου ἐρχόμενον, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασεν, καὶ προσήχθη αὐτῷ. καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ δόξα καὶ ἡ βασιλεία, καὶ πάντες λαοὶ φυλαὶ γλῶσσαι δουλεύσουσιν αὐτῷ· βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, ἥτις οὐ διαφθαρήσεται·[6]» οὕτω καὶ δύο πρόδρομοι ἐδείχθησαν· ὁ μὲν πρῶτος γενόμενος Ἰωάννης ὁ τοῦ Ζαχαρίου υἱός, κατὰ πάντα πρόδρομος καὶ κῆρυξ τοῦ σωτῆρος ἡμῶν γενηθείς· εὐαγγελιζόμενος πᾶσι τὸ ἐπουράνιον φῶς τὸ ἐν κόσμῳ φανέν· προέδραμε γὰρ ἐν κοιλίᾳ μητρός, πρῶτος συλληφθεὶς ὑπὸ τῆς Ἐλισάβετ, ἵνα καὶ τοῖς ἔτι ἐν κοιλίᾳ μητρὸς νηπίοις ὑπάρχουσιν ἐπιδείξῃ τὴν ἐσομένην αὐτοῖς διὰ πνεύματος ἁγίου καὶ παρθένου καινὴν γέννησιν. XLV. οὗτος «ἀκούσας τὸν ἀσπασμὸν τῆς Μαρίας ἐσκίρτησεν ἐν κοιλίᾳ μητρὸς ἀγγαλλιώ|μενος[7]», ἐνορῶν τὸν ἐν κοιλίᾳ παρθένου συνειλημμένον θεοῦ λόγον. ἔπειτα «κηρύσσων ἐν τῇ ἐρήμῳ[8]» παρεγένετο τὸ «βά-

1. Δαν. 9, 27. 2. Ἀποκ. 11, 3. 3. Ἡσ. 53, 2-3. 4. Πρβλ. Λουκ. 9, 26. 5. Ἡσ. 33, 17. 6. Δαν. 7, 13-14. 7. Λουκ. 1, 41, 44. 8. Ματθ. 3, 1. Μάρκ. 1, 4. Λουκ. 3, 2.

πτισμα μετανοίας» τῷ λαῷ καταγγέλλων, προμηνύων σωτηρίαν τοῖς ἐν ἐρημίᾳ κόσμου πολιτευομένοις ἔθνεσιν· μετὰ ταῦτα ἐν τῷ Ἰορδάνῃ αὐτοψεὶ μηνύων ἐπιδεικνύει τὸν σωτῆρα τοῦ Ἰσραὴλ καὶ λέγει· «ἰδοὺ ὁ ἀμνὸς τοῦ θεοῦ, | ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.[1]» οὗτος προέφθασε καὶ τοῖς ἐν ᾅδῃ προευαγγελίσασθαι, ἀναιρεθεὶς ὑπὸ Ἡρώδου· πρόδρομος γενόμενος ἐκεῖ, σημαίνων μέλλειν κἀκεῖσε κατελεύσεσθαι τὸν σωτῆρα, λυτρούμενον τὰς τῶν ἁγίων ψυχὰς ἐκ χειρὸς θανάτου. XLVI. ἀλλ' ἐπειδὴ ἀπαρχὴ ἀναστάσεως πάντων τῶν ἀνθρώπων ἦν ὁ σωτήρ[2], ἔδει τὸν κύριον μόνον ἀνίστασθαι ἐκ νεκρῶν, δι' οὗ καὶ ἡ κρίσις παντὶ τῷ κόσμῳ εἰσελεύσεται, ἵνα οἱ ἀξίως ἀγωνισάμενοι ἀξίως καὶ ὑπ' αὐτοῦ στεφανωθῶσιν, ὑπὸ τοῦ καλοῦ ἀγωνοθέτου, πρώτου τὸ στάδιον νενικηκότος, τοῦ ἀναληφθέν|τος ἐν οὐρανοῖς καὶ ἐν δεξιᾷ τοῦ θεοῦ καὶ πατρὸς καθεσθέντος, καὶ πάλιν ἐπὶ τῇ συντελείᾳ τοῦ κόσμου κριτοῦ φανερουμένου. ἀναγκαίως δεῖ τοὺς προδρόμους αὐτοῦ πρώτους φανερωθῆναι, καθὼς διὰ Μαλαχία τοῦ ἀγγέλου φησίν· «πέμψω ὑμῖν Ἠλίαν τὸν Θεσβίτην πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, ὃς ἀποκαταστήσει καρδίας πατέρων πρὸς τέκνα καὶ ἀπειθεῖς | ἐν φρονήσει δικαίων, μήποτε ἐλθὼν πατάξω τὴν γῆν ἄρδην.[3]» οὗτοι συμπαραγενόμενοι κηρύξουσι τὴν μέλλουσαν ἔσεσθαι ἀπ' οὐρανῶν Χριστοῦ ἐπιφάνειαν, οἳ καὶ ποιήσουσι σημεῖα καὶ τέρατα εἰς τὸ κἂν οὕτω δυσωπῆσαι καὶ ἐπιστρέψαι τοὺς ἀνθρώπους εἰς μετάνοιαν διὰ τὴν ὑπερβάλλουσαν αὐτῶν ἀνομίαν τε καὶ ἀσέβειαν. XLVII. λέγει γὰρ Ἰωάννης· «καὶ δώσω τοῖς δυσὶ μάρτυσί μου, καὶ προφητεύσουσιν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα, περιβεβλημένοι σάκκους[4]», τουτέστι τὸ ἥμισυ τῆς ἑβδομάδος, ὃ εἴρηκε Δανιήλ.[5] «οὗτοί εἰσιν αἱ δύο ἐλαῖαι καὶ αἱ δύο λυχνίαι αἱ ἐνώπιον τοῦ κυρίου τῆς γῆς ἑστῶσαι· καὶ εἴ τις αὐτοὺς θελήσει ἀδικῆσαι, πῦρ ἐκπορεύεται ἐκ τοῦ στόματος αὐτῶν καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν· καὶ εἴ τις θέλει αὐτοὺς ἀδικῆσαι, οὕτω δεῖ αὐτὸν ἀποκτανθῆναι. οὗτοι | ἔχουσιν ἐξουσίαν κλεῖσαι τὸν οὐρανόν, ἵνα μὴ ὑετὸς βρέξῃ τὰς ἡμέρας τῆς προφητείας αὐτῶν, καὶ ἐξουσίαν ἔχουσιν ἐπὶ τῶν ὑδάτων στρέφειν αὐτὰ εἰς αἷμα καὶ πατάξαι τὴν γῆν ἐν πάσῃ πληγῇ ὁσάκις ἂν θελήσωσιν.[6] καὶ ὅταν τελῶσι τὸν δρόμον αὐτῶν καὶ τὴν μαρτυρίαν αὐτῶν[7]» τί φησιν ὁ προφήτης; «τὸ θηρίον τὸ ἀναβαῖνον ἐκ τῆς ἀβύσσου ποιήσει μετ' αὐτῶν πόλεμον καὶ νικήσει αὐτοὺς καὶ ἀποκτενεῖ αὐτούς.[8]» διὰ τὸ μὴ θέλειν αὐτοὺς δόξαν δοῦναι τῷ ἀντιχρίστῳ — τουτέστι τὸ ἀναφυὲν μικρὸν κέρας — ὃς ἐπαρθεὶς λοιπὸν τῇ καρδίᾳ ἄρ|χεται ἑαυτὸν ὑψοῦν καὶ δοξά|ζειν ὡς θεόν, διώκων τοὺς ἁγίους καὶ βλασφημῶν τὸν Χριστόν, καθὼς λέγει Δανιὴλ «προσενόουν τῷ

1. Ἰω. 1, 29. 2. Α' Κορ. 15, 20, 23. Κολ. 1, 18. 3. Μαλ. 4, 4-5. Λουκ. 1, 17. 4. Ἀποκ. 11, 3. 5. Δαν. 9, 27. 6. Ἀποκ. 11, 4-6. 7. Πρβλ. Β' Τιμ. 4, 7. 8. Ἀποκ. 11, 7.

κέρατι καὶ ἰδοὺ ὀφθαλμοὶ ὡσεὶ ἀνθρώπου ἐν τῷ κέρατι καὶ στόμα λαλοῦν μεγάλα, καὶ ἤνοιξε τὸ στόμα αὐτοῦ εἰς βλασφημίαν πρὸς τὸν θεόν, καὶ τὸ κέρας ἐκεῖνο ἐποίει πόλεμον μετὰ τῶν ἁγίων καὶ ἴσχυε πρὸς αὐτούς, ἕως οὗ ἀνῃρέθη τὸ θηρίον καὶ ἀπώλετο, καὶ τὸ σῶμα αὐτοῦ ἐδόθη εἰς καῦσιν πυρός.[1]» XLVIII. ἀλλ' ἐπεὶ δεῖ λεπτομερέστερον περὶ αὐτοῦ διηγήσασθαι, πῶς τὸ ἅγιον πνεῦμα δι' ἀριθμοῦ καὶ τὸ ὄνομα αὐτοῦ μυστικῶς ἐδήλωσεν, σαφέστερον τὰ περὶ αὐτοῦ διηγησόμεθα. λέγει γὰρ ὁ Ἰωάννης οὕτως· «καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς, καὶ εἶχε κέρατα δύο ὅμοια ἀρνίῳ καὶ ἐλάλει ὡς δράκων. καὶ τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ἐποίει ἐνώπιον αὐτοῦ. καὶ ποιεῖ τὴν γῆν καὶ τοὺς ἐν αὐτῇ κατοικοῦντας ἵνα προσκυνήσωσι τὸ θηρίον τὸ πρῶτον, οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ. καὶ ποιεῖ σημεῖα μεγάλα, ἵνα καὶ πῦρ καταβῇ ἐκ τοῦ οὐρανοῦ εἰς τὴν γῆν κατενώπιον τῶν ἀνθρώπων, καὶ πλανᾷ τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς διὰ τὰ σημεῖα ἃ ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θηρίου λέγων τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς ποιῆσαι εἰκόνα τῷ θηρίῳ, ὃς ἔχει τὴν πληγὴν τῆς μαχαίρας καὶ ἔζησεν. καὶ ἐδόθη αὐτῷ δοῦναι πνεῦμα | τῇ | εἰκόνι τοῦ θηρίου, ἵνα καὶ λαλήσῃ ἡ εἰκὼν τοῦ θηρίου, καὶ ποιήσῃ ὅσοι ἐὰν μὴ προσκυνήσωσι τῇ εἰκόνι τοῦ θηρίου ἀποκτανθῶσιν. καὶ ποιεῖ πάντας, τοὺς μικροὺς καὶ τοὺς μεγάλους καὶ τοὺς πλουσίους καὶ τοὺς πτωχοὺς καὶ τοὺς ἐλευθέρους καὶ τοὺς δούλους, ἵνα δῶσιν αὐτοῖς χάραγμα ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς ἢ ἐπὶ τὸ μέτωπον αὐτῶν, καὶ ἵνα μή τις δύνηται ἀγοράσαι ἢ πωλῆσαι εἰ μὴ ὁ ἔχων τὸ χάραγμα, | τὸ ὄνομα τοῦ θηρίου ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ. ὧδε ἡ σοφία ἐστίν. ὁ ἔχων νοῦν ψηφισάτω τὸν ἀριθμὸν τοῦ θηρίου· ἀριθμὸς γὰρ ἀνθρώπου ἐστίν. καὶ ὁ ἀριθμὸς αὐτοῦ ἐστιν χξς'.[2]» XLIX. τὸ μὲν οὖν «θηρίον τὸ ἀναβαῖνον ἐκ τῆς γῆς» τὴν βασιλείαν τὴν τοῦ ἀντιχρίστου ἐσομένην λέγει, τὰ δὲ δύο κέρατα αὐτὸν καὶ τὸν μετ' αὐτοῦ ψευδοπροφήτην. τὸ δὲ εἰπεῖν «τὰ δύο κέρατα αὐτοῦ ὅμοια ἀρνίῳ», ὅτι ἐξομοιοῦσθαι θέλει τῷ υἱῷ τοῦ θεοῦ, καὶ αὐτὸς ἑαυτὸν βασιλέα ἐπιδεικνύων. τὸ δὲ εἰπεῖν «ἐλάλει ὡς δράκων», ὅτι πλάνος ἐστὶ καὶ οὐκ ἀληθής. τὸ δὲ «καὶ τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ἐποίει καὶ ποιεῖ τὴν γῆν καὶ τοὺς ἐν αὐτῇ κατοικοῦντας, ἵνα προσκυνήσωσι τὸ θηρίον τὸ πρῶτον, οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ» τοῦτο σημαίνει, ὅτι κατὰ τὸν Αὐγούστου νόμον, ἀφ' οὗ καὶ ἡ βασιλεία Ῥωμαίων συνέστη, οὕτω καὶ αὐτὸς κελεύσει καὶ διατάξει, κυρῶν ἅπαντα, διὰ τούτου δόξαν | ἑαυτῷ πλείονα περιποιούμενος. τοῦτο γάρ ἐστι τὸ θηρίον τὸ τέταρτον, οὗ ἐπλήγη ἡ κεφαλὴ καὶ πάλιν ἐθεραπεύθη διὰ τὸ καταλυθῆναι αὐτὴν καὶ ἀτιμασθῆναι καὶ εἰς δέκα διαδήματα ἀναλυθῆναι, ὥστε πανοῦργος ὢν ὡς περιθεραπεύσειν αὐτὴν καὶ ἀνανεώσειν. τοῦτο γάρ ἐστι τὸ εἰρημένον ὑπὸ τοῦ

1. Δαν. 7, 8, 11. 2. Ἀποκ. 13, 11-18.

προφήτου, ὅτι «δώσει πνεῦμα τῇ εἰκόνι καὶ λαλήσει ἡ εἰκὼν τοῦ θηρίου·[1]» ἐνεργήσει γὰρ καὶ ἰσχύσει πάλιν διὰ τῶν ὑπ' αὐτοῦ ὁριζομένων νόμων, καὶ ποιήσει ὅσοι | ἂν μὴ προσκυνήσωσι τῇ εἰκόνι τοῦ θηρίου ἀποκτανθῶσιν. «ὧδε ἡ πίστις καὶ ἡ ὑπομονὴ τῶν ἁγίων[2]» φανήσεται. φησὶ γὰρ «καὶ ποιεῖ πάντας, τοὺς μικροὺς καὶ τοὺς μεγάλους καὶ τοὺς πλουσίους καὶ τοὺς πτωχοὺς καὶ τοὺς ἐλευθέρους καὶ τοὺς δούλους, ἵνα δῶσιν αὐτοῖς χάραγμα ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς ἢ ἐπὶ τὸ | μέτωπον, ἵνα μή τις δύναται ἀγοράσαι μήτε πωλῆσαι εἰ μὴ ὁ ἔχων τὸ χάραγμα ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ.[3]» δόλιος γὰρ ὢν καὶ ἐπαιρόμενος κατὰ τῶν δούλων τοῦ θεοῦ, βουλόμενος ἐκθλίβειν καὶ ἐκδιώκειν αὐτοὺς ἐκ τοῦ κόσμου διὰ τὸ μὴ διδόναι αὐτοὺς αὐτῷ δόξαν, κελεύει πάντας | πανταχοῦ θυμιατήρια τιθέναι, ἵνα μή τις δύνηται τῶν ἁγίων μήτε ἀγοράσαι μήτε πωλῆσαι, ἐὰν μὴ πρῶτον ἐπιθύσῃ. τοῦτο γάρ ἐστι «τὸ χάραγμα τὸ ἐπὶ τῆς χειρὸς τῆς δεξιᾶς» διδόμενον. τὸ δὲ «ἐπὶ τὸ μέτωπον» εἰπεῖν, ἵνα πάντες ὦσιν ἐστεφανωμένοι, πύρινον καὶ οὐ ζωῆς ἀλλὰ θανάτου στέφανον μεθ' ἑαυτῶν περιφέροντες. οὕτω γὰρ ἐτεχνάσατο κατὰ τῶν Ἰουδαίων καὶ Ἀντίοχος ὁ Ἐπιφανὴς ὁ τῆς Συρίας γενόμενος βασιλεύς, ὢν ἐκ γένους Ἀλεξάνδρου τοῦ Μακεδόνος. καὶ γὰρ αὐτὸς τοῖς τότε καιροῖς ἐπαρθεὶς τῇ καρδίᾳ ἔγραψε ψήφισμα[4] βωμοὺς πρὸ τῶν θυρῶν τιθέντας ἅπαντας ἐπιθύειν, καὶ κισσοὺς ἐστεφανωμένους πομπεύειν τῷ Διονύσῳ, τοὺς δὲ μὴ βουλομένους ὑποτάσσεσθαι, τούτους μετὰ σπλαγχνισμῶν καὶ ἐτασμῶν καὶ βασάνων ἀναιρεῖσθαι. ἀλλὰ καὶ αὐτὸς τὴν ἀνταξίαν παρὰ τοῦ κυρίου καὶ δικαιοκρίτου καὶ παντεπόπτου θεοῦ ἔλαβεν, ὁμοίως βάσανον· γενόμενος γὰρ σκωληκόβρωτος μετήλλαξε τὸν βίον.[5] καὶ ταῦτα μὲν εἴ τις βούλοιτο λεπτομερῶς ἐνιστορῆσαι, σεσήμανται ἐν τοῖς μακκαβαίοις. L. νυνὶ δὲ πρὸς τὸ προκείμενον ἐροῦμεν. ταῦτα γὰρ οὕτω καὶ αὐτὸς τεχνάζεται, | κατὰ πάντα θλίβειν τοὺς ἁγίους θέλων. λέγει γὰρ ὁ προφήτης καὶ ἀπόστολος· «ὧδε ὁ νοῦς. ὁ ἔχων | σοφίαν ψηφισάτω τὸν ἀριθμὸν τοῦ θηρίου· ἀριθμὸς γάρ ἐστιν ἀνθρώπου, καὶ ἀριθμὸς αὐτοῦ ἐστιν χξς.[6]» περὶ μὲν οὖν τοῦ | ὀνόματος αὐτοῦ οὐκ ἔστιν ἡμῖν τοσοῦτον τὸ ἀκριβὲς ἐξειπεῖν, ὡς ἐνενόησε καὶ ἐδιδάχθη περὶ αὐτοῦ ὁ μακάριος Ἰωάννης, ὅσον μόνον ὑπονοῆσαι· ἀναφανέντος γὰρ αὐτοῦ δείξει ὁ καιρὸς τὸ ζητούμενον. πλὴν ὅσον νοοῦμεν ἀμφιβάλλοντες λέγωμεν. πολλὰ γὰρ εὑρίσκομεν ὀνόματα τούτῳ τῷ ἀριθμῷ ἰσόψηφα περιεχόμενα, οἷον ὡς φέρε εἰπεῖν τὸ Τειτάν ἐστιν, ἀρχαῖον καὶ ἔνδοξον ὄνομα, ἢ τὸ Εὐάνθας· καὶ γὰρ αὐτὸ τῇ αὐτῇ ψήφῳ ἐμπεριέχεται, καὶ ἕτερα πλείονα εὑρεθῆναι δυνάμενα. ἀλλ' ἐπειδὴ προέφθημεν λέγοντες, ὅτι ἐθεραπεύθη ἡ πληγὴ τοῦ θηρίου τοῦ πρώτου καὶ ποιήσει λαλεῖν τὴν εἰκόνα,

1. Ἀποκ. 13, 15 2. Ἀποκ. 13, 10. 14, 12. 3. Ἀποκ. 13, 16-17. 4. Α' Μακκ. 1, 51. 5. Β' Μακκ. 9, 9. 6. Ἀποκ. 13, 18.

τουτέστιν ἴσχυσε, φανερὸν δὲ πᾶσίν ἐστιν ὅτι οἱ κρατοῦντες ἔτι νῦν εἰσι Λατεῖνοι, εἰς ἑνὸς οὖν ἀνθρώπου ὄνομα μεταγόμενον γίνεται Λατεῖνος, ὥστε οὔτε προκηρύσσειν δεῖ, ὡς ὄντως τοῦτον ὄν, οὔτε πάλιν ἀγνοεῖν ὅτι μὴ ἄλλως δύναται λέγεσθαι, «ἔχοντας δὲ τὸ μυστήριον τοῦ θεοῦ ἐν καθαρᾷ καρδίᾳ[1]» μετὰ φόβου φυλάσσειν πιστῶς τὰ ὑπὸ τῶν μακαρίων προφητῶν προειρημένα, ἵνα γινομένων αὐτῶν προειδότες μὴ σφαλλώμεθα. τῶν γὰρ καιρῶν ἐπιγινομένων καὶ αὐτὸς περὶ οὗ ταῦτα προείρηται | φανερωθήσεται καὶ τὸ ὄνομα δήλως πᾶσι σημανθήσεται. LI. ἀλλ' ἵνα μὴ μόνοις τοῖς ῥητοῖς τούτοις πείσωμεν τοὺς τὰ τοῦ θεοῦ λόγια φιλοπονοῦντας, δείξωμεν δι' ἑτέρων ἀποδείξεων πλειόνων. λέγει γὰρ Δανιήλ· «καὶ οὗτοι σωθήσονται ἐκ χειρὸς αὐτοῦ, Ἐδὼμ καὶ Μωὰβ καὶ ἀρχὴ υἱῶν Ἀμμών.[2]» οὗτοι γάρ εἰσιν οἱ καὶ αὐτοὶ συναιρόμενοι αὐτῷ διὰ τὴν συγγένειαν, καὶ βασιλέα αὐτὸν ἑαυτῶν ἐπιδεικνύντες. ὁ μὲν Ἐδὼμ εἰσιν υἱοὶ τοῦ Ἠσαῦ[3], ὁ δὲ Ἀμμὼν καὶ Μωὰβ οἱ ἐκ τῶν δύο θυγατέρων τοῦ Λὼτ υἱοὶ γεγεννημένοι[4], ἐξ ὧν τὸ γένος ἕως τοῦ νῦν διαμένει. λέγει γὰρ καὶ Ἡσαΐας· «καὶ | πετασθήσονται ἐν | πλοίοις ἀλλοφύλων· θάλασσαν ἅμα προνομεύοντες καὶ τοὺς ἀφ' ἡλίου ἀνατολῶν, καὶ ἐπὶ Μωὰβ πρῶτον τὰς χεῖρας ἐπιβάλλουσιν, οἱ δὲ υἱοὶ Ἀμμὼν πρῶτοι ὑπακούσονται.[5]» LII. οὗτος οὖν τοῖς τότε καιροῖς ὑπ' αὐτῶν ἀναδειχθεὶς καὶ κρατήσας ἐν παρατάξει πολέμου τῶν τριῶν κεράτων τῶν ἐκ τῶν δέκα κεράτων καὶ ἐκριζώσας αὐτά, ἅπερ ἐστὶν Αἰγύπτου καὶ Λιβύων καὶ Αἰθιόπων, λαβὼν τὰ σκῦλα καὶ τὰ λάφυρα, ὑποταγέντων αὐτῷ καὶ τῶν λοιπῶν ἑπτὰ κεράτων τῶν περιλειπομένων, ἄρχεται ὑψοῦσθαι τῇ καρδίᾳ καὶ ἐπαίρεσθαι κατὰ τοῦ θεοῦ, ὡς πάσης τῆς οἰκουμένης κρατῶν. τὸ δὲ ὅρμημα αὐτοῦ πρῶτον ἔσται ἐπὶ Τύρον καὶ Σιδῶνα καὶ τὴν πέριξ χώραν. ταύτας γὰρ πρῶτον τὰς πόλεις ἐκπορθήσας ταῖς ἑτέραις φόβον ἐγγεννήσει, καθώς φησιν Ἡσαΐας· «αἰσχύνθητι, Σιδών, εἶπεν ἡ θάλασσα· ἡ δὲ | ἰσχὺς τῆς θαλάσσης εἶπεν· οὐκ ὤδινον οὐδὲ ἔτεκον οὐδ' ἐξέτρεψα νεανίσκους οὐδὲ ὕψωσα παρθένους· ὅταν δὲ ἀκουστὸν γένηται Αἰγύπτῳ, λήψεται αὐτοὺς ὀδύνη περὶ Τύρου.[6]» LIII. τούτων οὕτως ἐσομένων, ἀγαπητέ, καὶ τῶν τριῶν κεράτων ὑπ' αὐτοῦ ἐκκοπέντων, μετὰ ταῦτα ἄρξεται ὡς θεὸν ἑαυτὸν ἐπιδεικνύναι, ὡς προεῖπεν Ἐζεκιήλ· «ἀνθ' ὧν ὑψώθη ἡ καρδία σου, καὶ εἶπας· θεός εἰμι ἐγώ.[7]» καὶ Ἡσαΐας ὁμοίως· «σὺ δὲ εἶπας τῇ καρδίᾳ σου· εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ· νυνὶ δὲ εἰς ᾅδην καταβήσῃ καὶ εἰς τὰ θεμέλια τῆς γῆς.[8]» ὡσαύτως δὲ καὶ Ἐζεκιήλ· «μὴ λέγων ἐρεῖς τοῖς ἀναιροῦσί σε ὅτι θεός εἰμι ἐγώ, σὺ δὲ εἶ ἄνθρωπος καὶ οὐ θεός.[9]»

1. Α' Τιμ. 3, 9. 2. Δαν. 11, 41. 3. Γεν. 36, 8, 9. 4. Γεν. 19, 37-38. 5. Ἡσ. 11, 14. 6. Ἡσ. 23, 4-5. 7. Ἰεζ. 28, 2. 8. Ἡσ. 14, 13-15. 9. Ἰεζ. 28, 9.

LIV. Δεδειγμένων οὖν τῶν ῥητῶν τούτων τῆς τε φυλῆς καὶ τῆς ἀναδείξεως αὐτοῦ καὶ τῆς ἀναιρέσεως, τοῦ δὲ ὀνόματος μυστικῶς σεσημασμένου, ἴδωμεν καὶ τὴν πρᾶξιν αὐτοῦ. οὗτος γὰρ προσκαλέσεται πάντα | τὸν λαὸν πρὸς ἑαυτὸν ἐκ πάσης χώρας τῆς διασπορᾶς, ἰδιοποιούμενος αὐτοὺς ὡς ἴδια τέκνα, ἐπαγγελλόμενος αὐτοῖς ἀποκαταστήσειν τὴν χώραν καὶ ἀναστήσειν αὐτῶν τὴν βασιλείαν | καὶ τὸν ναόν, ἵνα ὑπ᾽ αὐτῶν ὡς θεὸς προσκυνηθῇ, ὡς λέγει ὁ προφήτης· «συνάξει πᾶσαν αὐτοῦ τὴν δύναμιν ἀπὸ ἡλίου ἀνατολῶν ἄχρι ἡλίου δυσμῶν, οὓς κεκλήκει καὶ οὓς οὐ κεκλήκει πορεύσονται μετ᾽ αὐτοῦ.[1]» καὶ Ἱερεμίας δὲ εἰς αὐτὸν χρώμενος παραβολῇ φησιν οὕτως· | «πέρδιξ ἐφώνησεν, συνήγαγεν ἃ οὐκ ἔτεκεν· ποιῶν τὸν πλοῦτον αὐτοῦ οὐ μετὰ κρίσεως, ἐν ἡμίσει ἡμερῶν ἐγκαταλείψουσιν αὐτόν, καὶ ἔσται ἐπ᾽ ἐσχάτων αὐτοῦ ἄφρων.[2]» LV. οὐ βλάψει οὖν διὰ τὸ προκείμενον καὶ τὴν τέχνην τοῦ ζῴου διηγήσασθαι καὶ ὅτι οὐ μάτην ὁ προφήτης ἀπεφήνατο τὸ ῥητὸν τῇ τοῦ ζῴου παραβολῇ χρησάμενος. τοῦ γὰρ πέρδικος κενοδόξου ζῴου ὑπάρχοντος, ἐπὰν πλησίον ἴδῃ ἑτέρου πέρδικος καλιὰν ἔχουσαν νεοσσούς, ἀποπτάντος τοῦ πατρὸς αὐτῶν ἐπὶ τὴν νομήν, μιμούμενος τὴν τοῦ ἀλλοτρίου φωνὴν προσκαλεῖται πρὸς ἑαυτὸν τοὺς νεοσσούς· οἱ δὲ νομίσαντες τὸν ἴδιον αὐτῶν πατέρα ὑπάρχειν, προστρέχουσιν αὐτῷ. ὁ δὲ ἐγγαυριᾷ ἐν ἀλλοτρίοις τέκνοις ὡς ἰδίοις. ἐπελθόντος δὲ τοῦ ἀληθινοῦ πατρὸς καὶ βοήσαντος τῇ ἰδίᾳ φωνῇ, ἐπιγνόντες οἱ νεοσσοί, καταλείψαντες τὸν νόθον πορεύονται πρὸς τὸν ἀληθινὸν πατέρα. τῷ αὐτῷ ὁμοιώματι ὁμοίως μετεχρήσατο εἰπὼν ὁ προφήτης περὶ τοῦ ἀντιχρίστου, ὃς προσκαλέσεται πρὸς ἑαυτὸν τὴν ἀνθρωπότητα, τὰ ἀλλότρια ἰδιοποιεῖσθαι βουλόμενος, λύτρωσιν πᾶσι ματαίαν ἐπαγγελλόμενος, ἑαυτὸν σῶσαι μὴ δυνάμενος. LVI. οὗτος οὖν ἐπισυνάξας πρὸς ἑαυτὸν τὸν πάντοτε ἀπειθῆ θεῷ λαὸν γεγενημένον, ἄρχεται παρακαλούμενος ὑπ᾽ αὐτῶν διώ|κειν τοὺς ἁγίους ὡς ἐχθροὺς καὶ ἀντιδίκους αὐτῶν ὑπάρχοντας, καθώς φησιν ὁ εὐαγγελιστής· «κριτής τις ἦν ἔν τινι πόλει τὸν θεὸν μὴ φοβούμενος καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος. χήρα δέ τις ἦν ἐν τῇ πόλει ἐκείνῃ, ἣ παρεκάλει αὐτὸν | λέγουσα· ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου. ὁ δὲ οὐκ ἤθελεν ἐπὶ χρόνον· ὕστερον μέντοι εἶπεν ἐν ἑαυτῷ λέγων· εἰ καὶ τὸν θεὸν οὐ φοβοῦμαι | καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι, διὰ δὲ τὸ παρενοχλεῖν μοι τὴν χήραν ταύτην ἐκδικήσω αὐτήν.[3]» LVII. «κριτὴν» μὲν οὖν «ἀδικίας» τὸν μήτε «τὸν θεὸν φ βούμενον μήτε ἄνθρωπον ἐντρεπόμενον» ἀδιστάκτως τὸν ἀντίχριστον λέγει, ὃς υἱὸς ὢν τοῦ διαβόλου καὶ σκεῦος τοῦ σατανᾶ βασιλεύσας ἄρξεται καὶ κατὰ τοῦ θεοῦ ἐπαίρεσθαι, ἀληθῶς «μήτε τὸν θεὸν φοβούμενος μήτε» τὸν υἱὸν τοῦ θεοῦ κριτὴν πάντων ὄντα ἐντρεπόμενος. «χήραν δὲ ἣν λέγει εἶναι ἐν τῇ πόλει» αὐτὴν τὴν Ἱερουσαλὴμ σημαίνει, ἥτις ὄντως ἔστι χήρα, καταλειφθεῖσα ὑπὸ

1. Γραφικόν; 2. Ἱερ. 17, 11. 3. Λουκ. 18, 2-5.

τοῦ τελείου καὶ ἐπουρανίου νυμφίου, ἥτις ἐκδίκησιν ἐπιζητεῖ παρὰ ἀνθρώπου θνητοῦ, ὡς ἀδικηθεῖσα ὑπὸ τοῦ Χριστοῦ· τοῦτον οὖν ἀντίδικον ἑαυτῆς ἀποκαλοῦσα καὶ οὐ σωτῆρα, μὴ ἐπιγνοῦσα τὸ εἰρημένον ὑπὸ Ἱερεμίου τοῦ προφήτου· «ἀνθ᾽ ὧν ἠπείθησαν τῇ ἀληθείᾳ τότε λαλήσει τῷ λαῷ τούτῳ καὶ τῇ Ἱερουσαλὴμ πνεῦμα πλανήσεως.[1]» καὶ Ἡσαΐας δὲ ὁμοίως· «τὸν λαὸν τοῦτον διὰ τὸ μὴ βουληθῆναι αὐτοὺς τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ πιεῖν, ἀλλ᾽ ἐπεσπάσαντο ἐφ᾽ ἑαυτοὺς τὸν Ῥαασσὼν βασιλέα τῶν Ἀσσυρίων.[2]» βασιλέα δὲ Ἀσσυρίων ἐν συμβόλῳ τὸν ἀντίχριστον λέγει, καθὼς καὶ ἕτερος προφήτης φησίν· «καὶ ἔσται αὕτη ἡ παρ᾽ ἐμοῦ εἰρήνη, ὅταν ὁ Ἀσσύριος ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν καὶ ἐπιβῇ ἐπὶ τὰ ὅρια ὑμῶν.[3]» LVIII. καὶ Μωσῆς δὲ ὁμοίως προγι|νώσκων ὅτι μελλήσει ὁ λαὸς ἀπωθεῖσθαι καὶ ἀποβάλλεσθαι τὸν ἀληθῆ | «τοῦ κόσμου σωτῆρα[4]», συναίρεσθαι δὲ τῇ πλάνῃ ἐπίγειον βασιλέα αἱρούμενος, τὸν δὲ ἐπουράνιον ἀθετεῖν, φησίν· «οὐκ ἰδοὺ ταῦτα συνῆκται παρ᾽ ἐμοί, καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου; ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω καὶ ἐν καιρῷ ὅταν σφαλῇ ὁ ποῦς αὐτῶν.[5]» ἐσφάλησαν οὖν κατὰ πάντα, ἐν μηδενὶ σύμφωνοι μήτε τῇ ἀληθείᾳ εὑρισκόμενοι, μήτε κατὰ τὸν νόμον διὰ τὸ παραβάτας αὐτοὺς γεγενῆσθαι, μήτε κατὰ τοὺς προφήτας διὰ τὸ καὶ αὐτοὺς | τοὺς προφήτας ἀνῃρηκέναι, | μήτε κατὰ τὴν τῶν εὐαγγελίων φωνὴν διὰ τὸ καὶ αὐτὸν τὸν σωτῆρα ἐσταυρωκέναι, μήτε τοῖς ἀποστόλοις πειθόμενοι διὰ τὸ καὶ αὐτοὺς ἐκδεδιωκέναι, πάντοτε ἐπίβουλοι καὶ προδόται τῆς ἀληθείας γενόμενοι, μισόθεοι μᾶλλον καὶ μὴ φιλόθεοι εὑρισκόμενοι, οἳ καὶ τότε λαβόμενοι καιρὸν ἐκδικίαν παρὰ ἀνθρώπου θνητοῦ τυχεῖν εὔχονται, κατὰ τῶν δούλων τοῦ θεοῦ ἐπεγειρόμενοι. ὃς φυσιωθεὶς ὑπ᾽ αὐτῶν ἄρχεται βίβλους κατὰ τῶν ἁγίων ἐκπέμπειν τοῦ πάντας πανταχοῦ ἀναιρεῖσθαι, τοὺς μὴ θέλοντας αὐτὸν σεβάζειν καὶ προσκυνεῖν ὡς θεόν, καθὼς Ἡσαΐας φησίν· «οὐαὶ γῆς πλοίων, πτέρυγες ἐπέκεινα ποταμῶν Αἰθιοπίας, ὁ ἀποστέλλων ἐν θαλάσσῃ ὅμηρα καὶ ἐπιστολὰς βιβλίνας ἐπάνω τοῦ ὕδατος. πορεύσονται γὰρ ἄγγελοι κοῦφοι πρὸς ἔθνος μετέωρον καὶ ξένον λαὸν καὶ χαλεπόν· τίς αὐτοῦ ἐπέκεινα; ἔθνος <μὴ> ἐλπίζον καὶ καταπεπατημένον ἐστίν.[6]» LIX. ἀλλ᾽ | ἡμεῖς οἵτινες ἐλπίζοντες εἰς τὸν υἱὸν τοῦ θεοῦ διωκόμεθα καταπατούμενοι ὑπὸ τῶν ἀπίστων καὶ πονηρῶν ἀνθρώπων. «πλοίων γὰρ πτέρυγές» εἰσιν αἱ ἐκκλησίαι· «θάλασσα» δέ ἐστιν ὁ κόσμος, ἐν ᾧ ἡ ἐκκλησία ὡς ναῦς ἐν πελάγει χειμάζεται μὲν ἀλλ᾽ οὐκ ἀπόλλυται. ἔχει γὰρ μεθ᾽ ἑαυτῆς τὸν ἔμπειρον κυβερνήτην Χριστόν. φέρει δὲ ἐν μέσῳ καὶ τὸ τρόπαιον τὸ κατὰ τοῦ θανάτου, ὡς τὸν σταυρὸν τοῦ κυρίου μεθ᾽ ἑαυτῆς βαστάζουσα. ἔστι γὰρ αὐτῆς ἡ μὲν πρῷρα ἀνατολή, πρύμνα δὲ ὡς | δύσις, τὸ δὲ κοῖλον μεσημβρία, οἴακες δύο

1. Ἱερ. 4, 11. 2. Ἡσ. 8, 6-7. 3. Μιχ. 5, 5. 4. Ἰω. 4. 42. Α᾽ Ἰω. 4, 14. 5. Δευτ. 32, 34-35. 6. Ἡσ. 18, 1-2.

αἱ δύο διαθῆκαι, σχοινία δὲ περιτεταμένα ὡς ἀγάπη τοῦ Χριστοῦ σφίγγουσα τὴν ἐκκλησίαν, ἀντλίαν δὲ φέρει μεθ' ἑαυτῆς ὡς τὸ «λουτρὸν τῆς παλιγγενεσίας[1]», ἀνανεοῦσαν τοὺς πιστεύοντας. ὀθόνη δὲ ταύτῃ λαμπρὰ πάρεστιν ὡς τὸ πνεῦμα τὸ ἀπ' οὐρανῶν, δι' οὗ σφραγίζονται οἱ πιστεύοντες τῷ θεῷ.[2] παρέπονται δὲ αὐτῇ καὶ ἄγκυραι σιδηραῖ, αὐτοῦ τοῦ Χριστοῦ αἱ ἅγιαι ἐντολαὶ δυναταὶ οὖσαι ὡς σίδηρος. ἔχει δὲ καὶ ναύτας δεξιᾷ καὶ εὐωνύμῳ ὡς ἁγίους ἀγγέλους παρέδρους, | δι' ὧν ἀεὶ κρατεῖται καὶ φρουρεῖται ἡ ἐκκλησία. κλῖμαξ δὲ ἐν αὐτῇ εἰς ὕψος ἐπὶ τὸ κέρας ἀνάγουσα ὡς εἰκὼν σημείου πάθους Χριστοῦ, ἕλκουσα τοὺς πιστοὺς εἰς ἀνάβασιν οὐρανῶν. | ψίφαροι δὲ ἐπὶ τὸ κέρας ἐφ' ὑψηλοῦ ἑνούμενοι ὡς τάξεις προφητῶν μαρτύρων τε καὶ ἀποστόλων εἰς βασιλείαν Χριστοῦ ἀναπαυόμεναι. LX. περὶ μὲν τοῦ διωγμοῦ καὶ τῆς θλίψεως τῆς γινομένης ἐπὶ τὴν ἐκκλησίαν ὑπὸ τοῦ ἀντικειμένου καὶ Ἰωάννης φησίν· «καὶ εἶδον σημεῖον μέγα καὶ θαυμαστόν, γυναῖκα περιβεβλημένην τὸν ἥλιον, καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς, καὶ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα, καὶ ἐν γαστρὶ ἔχουσα κράζει ὠδίνουσα καὶ βασανιζομένη τοῦ τεκεῖν. καὶ ὁ δράκων ἕστηκεν ἐνώπιον τῆς γυναικὸς τῆς μελλούσης τεκεῖν, ἵνα ὅταν τέκῃ, τὸ τέκνον αὐτῆς καταφάγῃ. καὶ ἔτεκεν υἱὸν ἄρσενα, ὃς μέλλει ποιμαίνειν πάντα τὰ ἔθνη. καὶ ἡρπάσθη τὸ τέκνον αὐτῆς πρὸς τὸν θεὸν καὶ πρὸς τὸν θρόνον αὐτοῦ. καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον, ὅπου ἐκεῖ ἔχει τόπον ἡτοιμασμένον ἀπὸ τοῦ θεοῦ, ἵνα ἐκεῖ ἐκτρέφωσιν αὐτὴν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα.[3]» «καὶ ὅτε εἶδεν ὁ δράκων, ἐδίωξε τὴν γυναῖκα ἥτις ἔτεκε τὸν ἄρσενα. καὶ ἐδόθησαν τῇ γυναικὶ δύο | πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου, ἵνα πέτηται εἰς τὴν ἔρημον, ὅπου τρέφεται ἐκεῖ καιρὸν καὶ καιροὺς καὶ ἥμισυ καιροῦ ἀπὸ προσώπου τοῦ ὄφεως. καὶ | ἔβαλεν ὁ ὄφις ἐκ τοῦ στόματος αὐτοῦ ὀπίσω τῆς γυναικὸς ὕδωρ ὡς ποταμόν, ἵνα αὐτὴν ποταμοφόρητον ποιήσῃ. καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικί, καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς καὶ κατέπιε τὸν ποταμόν, ὃν ἔβαλεν ὁ δράκων ἐκ τοῦ στόματος αὐτοῦ. καὶ ὠργίσθη ὁ δράκων ἐπὶ τῇ γυναικί, καὶ ἀπῆλθε ποιῆσαι πόλεμον μετὰ τῶν λοιπῶν τοῦ σπέρματος αὐτῆς τῶν τηρούντων τὰς ἐντολὰς τοῦ θεοῦ καὶ ἐχόντων τὴν μαρτυρίαν Ἰησοῦ.[4]» LXI. τὴν μὲν οὖν «γυναῖκα τὴν περιβεβλημένην τὸν ἥλιον» σαφέστατα τὴν ἐκκλησίαν ἐδήλωσεν, ἐνδεδυμένην τὸν λόγον τὸν πατρῷον ὑπὲρ ἥλιον λάμποντα· «σελήνην» δὲ λέγων «ὑποκάτω τῶν ποδῶν αὐτῆς» | δόξῃ ἐπουρανίῳ ὡς σελήνην κεκοσμημένην· τὸ δὲ λέγειν «ἐπάνω τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα» δηλοῖ τοὺς δώδεκα ἀποστόλους, δι' ὧν καθίδρυται ἡ ἐκκλησία. «καὶ ἐν γαστρὶ ἔχουσα κράζει, ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν», ὅτι ἀεὶ οὐ παύε-

1. Τίτ. 3, 5. 2. Πρβλ. Ἐφ. 1, 13. 4, 30. 3. Ἀποκ. 12, 1-6. 4. Ἀποκ. 12, 13-17.

ται ἡ ἐκκλησία γεννῶσα ἐκ καρδίας τὸν λόγον καίτοι ἐν κόσμῳ ὑπὸ ἀπίστων διωκομένη. «καὶ ἔτεκεν», φησίν, «υἱὸν ἄρσενα, ὃς μέλλει ποιμαίνειν πάντα τὰ ἔθνη» τὸν ἄρσενα καὶ τέλειον Χριστόν, παῖδα θεοῦ, θεὸν καὶ ἄνθρωπον, ὃν κατήγγειλαν οἱ προφῆται, ὃν ἀεὶ τίκτουσα ἡ ἐκκλησία διδάσκει πάντα τὰ ἔθνη. τὸ δὲ λέγειν «ἡρπάσθη τὸ τέκνον αὐτῆς πρὸς τὸν θεὸν καὶ πρὸς τὸν θρόνον αὐτοῦ», ὅτι ἐπουράνιός ἐστι βασιλεὺς καὶ οὐκ ἐπίγειος ὁ δι' αὐτῆς ἀεὶ γεννώμενος, καθὼς καὶ Δαβὶδ προανεφώνει λέγων· «εἶπεν ὁ κύριος τῷ κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑπο||πόδιον τῶν ποδῶν σου.[1]» «καὶ εἶδεν», φησίν, «ὁ δράκων καὶ ἐδίωξε τὴν γυναῖκα ἥτις ἔτεκε τὸν ἄρσενα. καὶ ἐδόθησαν τῇ γυναικὶ αἱ δύο πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου, ἵνα πέτηται εἰς τὴν ἔρημον, ὅπου τρέφεται ἐκεῖ καιρὸν καὶ καιροὺς καὶ ἥμισυ καιροῦ ἀπὸ προσώπου τοῦ ὄφεως.» αὗταί εἰσιν αἱ «χίλιαι διακόσιαι ἑξήκοντα ἡμέραι[2]», «τὸ ἥμισυ τῆς ἑβδομάδος[3]», ἃς κρατήσει ὁ τύραννος διώκων τὴν ἐκκλησίαν φεύγουσαν «ἀπὸ πόλεως εἰς πόλιν[4]» καὶ ἐν ἐρημίᾳ κρυβομένην καὶ ἐν τοῖς ὄρεσιν, ἔχουσαν μεθ' ἑαυτῆς οὐδὲν ἕτερον εἰ μὴ τὰς «δύο πτέρυγας τοῦ ἀετοῦ τοῦ μεγάλου[5]», τουτέστι τὴν εἰς Χριστὸν Ἰησοῦν πίστιν, ὃς ἐκτείνας τὰς ἁγίας χεῖρας ἐπὶ τῷ ξύλῳ ἥπλωσε δύο πτέρυγας, δεξιὰν καὶ εὐώνυμον, προσκαλούμενος πάντας τοὺς εἰς αὐτὸν πιστεύοντας καὶ σκεπάζων «ὡς ὄρνις νεοσσούς.[6]» καὶ γὰρ διὰ Μαλαχίου φησίν· «καὶ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου ἀνατελεῖ ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ.[7]» LXII. λέγει δὲ καὶ ὁ κύριος· «ὅταν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως ἑστὸς ἐν τόπῳ ἁγίῳ, ὁ ἀναγινώσκων νοείτω, τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν | εἰς τὰ ὄρη, καὶ ὁ ἐπὶ τοῦ δώματος μὴ καταβάτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω ἆραι τὸ ἱμάτιον αὐτοῦ. οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. | ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐκ ἐγένετο ἀπ' ἀρχῆς κόσμου οὐδὲ μὴ γενήσεται· καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ.[8]» Δανιὴλ δὲ λέγει· «καὶ δώσουσι βδέλυγμα ἐρημώσεως ἡμέρας χιλίας διακοσίας ἐνενήκοντα. μακάριος ὁ ὑπομείνας καὶ φθάσας εἰς ἡμέρας χιλίας τριακοσίας τριάκοντα πέντε.[9]» LXIII. ὁ δὲ μακάριος Παῦλος ὁ ἀπόστολος γράφων πρὸς Θεσσαλονικεῖς φησιν· «ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ τῆς παρουσίας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ' αὐτόν, εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ | τοῦ νοὸς μηδὲ θροεῖσθαι, μήτε διὰ πνεύματος μήτε διὰ λόγου μήτε δι' ἐπιστολῆς ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ κυρίου. μήτις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα

1. Ψαλμ. 109, 1. 2. Ἀποκ. 11, 3. 3. Δαν. 9, 27. 4. Ματθ. 23, 34. 5. Ἀποκ. 12, 14. 6. Ματθ. 23, 37. Λουκ. 13, 34. 7. Μαλ. 4, 2. 8. Ματθ. 24, 15-22. Μάρκ. 13, 14-20. 9. Δαν. 12, 11-12.

τρόπον, ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ θεοῦ καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὡς ὅτι ἐστὶ θεός. οὐ μνημονεύετε ὅτι ἔτι ἐμοῦ ὄντος πρὸς ὑμᾶς ταῦτα ἔλεγον ὑμῖν; καὶ νῦν τὸ κατέχον οἴδατε, εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν τῷ ἑαυτοῦ καιρῷ. τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται τῆς ἀνομίας, μόνον ὁ κατέχων ἄρτι ἕως ἐκ μέσου γένηται. καὶ τότε | ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ κύριος Ἰησοῦς ἀνελεῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ, οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ σατανᾶ ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι ψεύδους καὶ ἐν πάσῃ ἀπάτῃ ἀδικίας τοῖς ἀπολλυμένοις, ἀνθ' ὧν τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς. καὶ διὰ τοῦτο πέμπει αὐτοῖς ὁ θεὸς ἐνέργειαν πλάνης εἰς τὸ πιστεῦσαι | αὐτοὺς τῷ ψεύδει, ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες τῇ ἀδικίᾳ.[1]» Ἡσαΐας δὲ λέγει· «ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου.[2]» LXIV. τούτων οὖν ἐσομένων, ἀγαπητέ, καὶ τῆς μιᾶς ἑβδομάδος εἰς δύο μερισθείσης καὶ τοῦ «βδελύγματος τῆς ἐρημώσεως[3]» τότε ἀναφανέντος, καὶ τῶν δύο προφητῶν καὶ προδρόμων τοῦ κυρίου τὸν ἴδιον δρόμον τελειωσάντων[4] καὶ τοῦ σύμπαντος κόσμου εἰς συντέλειαν λοιπὸν ἐρχομένου, τί περιλείπεται ἀλλ' ἢ ἡ ἐπιφάνεια τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ ἀπ' οὐρανῶν, «εἰς ὃν ἠλπίκα|μεν;[5]» ὃς ἐπάξει τὴν ἐκπύρωσιν καὶ τὴν δικαιοκρισίαν πᾶσι τοῖς ἀπειθήσασιν αὐτῷ. λέγει γὰρ ὁ κύριος· «ἀρχομένων δὲ τούτων γίνεσθαι, ἀνακύψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν, ὅτι ἤγγικεν ἡ ἀπολύτρωσις ὑμῶν.[6]» καὶ «θρὶξ ἐκ τῆς κεφαλῆς | ὑμῶν οὐ μὴ ἀπόληται.[7]» «ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐγείρεται ἀπὸ ἀνατολῶν καὶ φαίνει μέχρι δυσμῶν, οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. ὅπου ἂν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί.[8]» πτῶμα δὲ γεγένηται ἐν παραδείσῳ· ἐκεῖ γὰρ Ἀδὰμ ἀπατηθεὶς πέπτωκεν. ὡς καὶ πάλιν λέγει· «τότε ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ καὶ ἐπισυνάξει τοὺς ἐκλεκτοὺς αὐτοῦ ἀπὸ τῶν τεσσάρων ἀνέμων τοῦ οὐρανοῦ.[9]» καὶ Δαβὶδ προμηνύων τὴν κρίσιν καὶ τὴν ἐπιφάνειαν τοῦ κυρίου φησίν· «ἀπὸ ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ· καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ.[10]» θέρμην δὲ λέγει τὴν ἐκπύρωσιν. λέγει δὲ Ἡσαΐας οὕτως· «βάδιζε λαός μου, εἴσελθε εἰς τὰ ταμεῖά σου, ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν

1. Β' Θεσσ. 2, 1-12. 2. Ἡσ. 26, 10. 3. Δαν. 9, 27 Ματθ. 24, 15. 4. Πρβλ. Πράξ. 20, 24. Β' Τιμ. 4, 7. 5. Β' Κορ. 1, 10. 6. Λουκ. 21, 28. 7. Λουκ. 21, 18. Πράξ. 27, 34. 8. Ματθ. 24, 27-28. 9. Ματθ. 24, 31. 10. Ψαλμ. 18, 7.

ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ κυρίου.[1]» Παῦλος δὲ ὁμοίως· «ἀποκαλύπτεται γὰρ ὀργὴ θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀνομίαν τῶν ἀνθρώπων τῶν τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν ἀδικίᾳ κατεχόντων.[2]»

LXV. Περὶ μὲν οὖν τῆς ἀναστάσεως καὶ τῆς βασιλείας τῶν ἁγίων λέγει Δανιήλ· | «καὶ πολλοὶ τῶν ἐν γῇ χώματος ἀναστήσονται, οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ εἰς αἰσχύνην αἰώνιον.[3]» Ἡσαΐας δὲ λέγει· «ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ καὶ ὅτι ἡ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν.[4]» ὁ δὲ κύριος λέγει· «πολλοὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀκούσονται | τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ καὶ οἱ ἀκούσαντες ζήσονται.[5]» ὁ δὲ προ|φήτης λέγει· «ἔγειρε ὁ καθεύδων καὶ ἐξεγέρθητι ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός.[6]» Ἰωάννης δὲ λέγει· «μακάριος καὶ ἅγιος ὁ ἔχων μέρος ἐν τῇ ἀναστάσει τῇ πρώτῃ· ἐπὶ τούτων ὁ δεύτερος θάνατος οὐκ ἔχει ἐξουσίαν.[7]» «ὁ γὰρ δεύτερος θάνατός ἐστιν ἡ λίμνη τοῦ πυρὸς τοῦ καιομένου.[8]» καὶ πάλιν ὁ κύριος λέγει· «τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος[9]», φαίνει ἐν τῇ δόξῃ αὐτοῦ. καὶ τοῖς ἁγίοις ἐρεῖ· «δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου.[10]» πρὸς δὲ τοὺς ἀνόμους τί φησιν; «πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον ὃ ἡτοίμασεν ὁ πατήρ μου τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.[11]» Ἰωάννης δὲ λέγει· «ἔξω οἱ κύνες καὶ οἱ φαρμακοὶ καὶ οἱ πόρνοι καὶ οἱ φονεῖς καὶ οἱ εἰδωλολάτραι καὶ πᾶς φιλῶν καὶ ποιῶν ψεῦδος[12]», ὅτι «τὸ μέρος ὑμῶν ἐστιν εἰς τὴν γέενναν τοῦ πυρός.[13]» ὁμοίως δὲ καὶ Ἡσαΐας φησίν· «καὶ ἐξελεύσονται καὶ ὄψονται τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί· ὅτι ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί.[14]» LXVI. Παῦλος δὲ ὁ ἀπόστολος περὶ τῆς ἀνα|στάσεως τῶν δικαίων πρὸς Θεσσαλονικεῖς γράφων φησίν· «οὐ θέλομεν δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτως καὶ ὁ θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ κυρίου οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας, | ὅτι αὐτὸς ὁ κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτοι, ἔπειτα ἡμεῖς οἱ ζῶντες | οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς

1. Ἡσ. 26, 20. 2. Ῥωμ. 1, 18. 3. Δαν. 12, 2. 4. Ἡσ. 26, 19. 5. Ἰω. 5, 25. 6. Ἐφ. 5, 14. 7. Ἀποκ. 20, 6. 8. Ἀποκ. 20, 14. 9. Ματθ. 13, 43. 10. Ματθ. 25, 34. 11. Ματθ. 25, 41. 12. Ἀποκ. 22, 15. 13. Ἀποκ. 21, 8. 14. Ἡσ. 66, 24.

ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ὑπάντησιν τῷ Χριστῷ εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν κυρίῳ ἐσόμεθα.[1]»

LXVII. Ταῦτά σοι διὰ βραχέων ἐξ ἀγάπης τῆς πρὸς τὸν κύριον ἀρυσάμενος ἐξ ἁγίων γραφῶν ὡς εὐόδμων, καὶ πλέξας στέφανον ἐπουράνιον προσφέρω σοί, ἀγαπητέ μου ἀδελφὲ Θεόφιλε, ὅπως φυλάσσων μετὰ πίστεως τὰ γεγραμμένα καὶ προβλέπων τὰ ἐσόμενα ἀπρόσκοπον ἑαυτὸν[2] καὶ θεῷ καὶ ἀνθρώποις φυλάξῃς, «προσδεχόμενος τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν[3]», ἐν ᾗ ἀναστήσας τοὺς ἁγίους ἅμα σὺν αὐτοῖς εὐφρανθήσεται δοξάζων πατέρα, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

1. Α' Θεσσ. 4, 13-17. 2. Φιλιππ. 1, 10. 3. Τίτ. 2, 13.

ΤΟΥ ΑΓΙΟΥ ΙΠΠΟΛΥΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ ΑΠΟΔΕΙΚΤΙΚΗ ΠΡΟΣ ΙΟΥΔΑΙΟΥΣ *

I. Οὐκοῦν κλῖνον τὸ οὖς σου ἐμοί, καὶ εἰσάκουσον τῶν ῥημάτων μου, καὶ πρόσεχε, ὦ Ἰουδαῖε. Σὺ δὲ πολλάκις ἐκκαυχώμενος, ὅτι τὸν Ἰησοῦν τὸν Ναζωραῖον θανάτῳ κατέκρινας, καὶ ὄξος καὶ χολὴν αὐτὸν ἐπότισας· καὶ σεμνύνῃ ἐπὶ τούτῳ. Δεῦρο οὖν κοινῶς ἐπισκεψώμεθα μήπως ἀδίκως καυχᾶσαι, ὦ Ἰσραήλ, μήπως σοι τὸ μικρὸν ἐκεῖνο ὄξος καὶ ἡ χολὴ τὴν φοβεράν σοι ταύτην ἐπήγαγεν ἀπειλήν· μήπως δι' αὐτοῦ ἐν τοῖς μυρίοις τούτοις ὑπάρχεις δεινοῖς.

II. Προαγέσθω τοίνυν εἰς μέσον ὁ διὰ Πνεύματος ἁγίου λαλῶν, ἀψευδὴς ὑπάρχων, Δαυὶδ ὁ τοῦ Ἰεσσαί. Οὗτος ψάλλων τινὰ προφητικῶς εἰς τὸν ἀληθῆ Χριστόν, τὸν Θεὸν ἡμῶν ἐμελῴδησε διὰ τοῦ ἁγίου Πνεύματος, πάντα τὰ ὑπὸ Ἰουδαίων εἰς αὐτὸν ἐν τῷ πάθει γινόμενα σαφῶς κατηγγείλατο· ἐν ᾧ ὁ Χριστὸς ὁ ταπεινώσας ἑαυτὸν καὶ τὴν μορφὴν τοῦ δούλου Ἀδὰμ ἐνδυσάμενος, ὡς ἐκ προσώπου ἡμῶν ἐπικαλεῖται τὸν ἐν οὐρανοῖς Θεὸν Πατέρα, καὶ λέγει ἐν τῷ ξη' ψαλμῷ· «Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου· ἐνεπάγην εἰς ἰλὺν βυθοῦ», τουτέστιν εἰς τὴν φθορὰν τοῦ ᾅδου, διὰ τῆς ἐν παραδείσῳ παρακοῆς· «καὶ οὐκ ἔστιν ὑπόστασις», ἤγουν ἀντίληψις. «Ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου, πότε ἥξει καὶ σώσει με.[1]»

III. Εἶτα εἰπὼν τὰ ἑξῆς λέγει λοιπὸν ὡς ἐξ οἰκείου προσώπου ὁ Χριστός· «Ἃ οὐχ ἥρπαζον φησίν, τότε ἀπετίννυον·[2]» τουτέστιν, ἅπερ οὐχ ἥμαρτον, ὑπὲρ τοῦ ἁμαρτήματος Ἀδὰμ ὑπέμεινα τὸν θάνατον. «Ἐπεί, ὁ Θεός, σὺ οἶδας τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν·[3]» τουτέστιν, οὐ γὰρ ἐπλημμέλησα, φησίν· δι' ὃ «μὴ αἰσχυνθείησαν οἱ ὑπομένοντές μου ἰδεῖν[4]» τὴν τριήμερον ἀνάστασιν, τουτέστιν οἱ ἀπόστολοι. «Ὅτι ἕνεκά σου», χάριν τοῦ ὑπακοῦσαί σου, «ὑπήνεγκα ὀνειδισμόν», τουτέστι τὸν σταυρόν, ὅτε «ἐκάλυψαν ἐντροπῇ τὸ πρόσωπόν μου[5]» οἱ Ἰουδαῖοι· ὅτε «ἀπηλλοτριωμένος ἐγενήθην τοῖς κατὰ σάρκα ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου[6]», τουτέστι, Συναγωγῆς. «Διότι ὁ ζῆλος τοῦ οἴκου σου, Πάτερ, κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε», καὶ θυόντων τοῖς εἰδώλοις, «ἐπέπεσαν ἐπ' ἐμέ.[7]» Διὸ «κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις.[8]» ἔξω γὰρ τῆς πύλης με

* Migne, τ. 10, σ. 788.

1. Ψαλμ. 68, 2-4. 2. Ψαλμ. 68, 5. 3. Ψαλμ. 68, 6. 4. Ψαλμ. 68, 7. 5. Ψαλμ. 68, 8. 6. Ψαλμ. 68, 9. 7. Ψαλμ. 68, 10. 8. Ψαλμ. 68, 13.

ἐσταύρωσαν· «καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον[1]», τουτέστι τῇ τοῦ Πάσχα ἑορτῇ. «Ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σέ, Κύριε[2]», ἔλεγον· «Πάτερ, ἄφες αὐτοῖς[3]», τοῖς ἔθνεσιν, διότι καιρὸς εὐδοκίας τῶν ἐθνῶν. «Μὴ τοίνυν καταποντισάτω με καταιγὶς» πειρασμῶν, «μηδὲ καταπιέτω με βυθός[4]», τουτέστιν, ὁ ᾅδης. «Οὐ γὰρ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην·[5]» — «μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ[6]», τουτέστι τὸ μνημεῖον. «Ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με[7]», ἵνα μὴ καυχήσωνται οἱ Ἰουδαῖοι λέγοντες· Καταπίωμεν αὐτόν.

IV. Ταῦτα δὲ πάντα Χριστὸς οἰκονομικῶς ὡς ἄνθρωπος ηὔχετο, Θεὸς ὢν ἀληθινός. Ἀλλ', ὡς φθάσας εἶπον, «ἡ μορφὴ τοῦ δούλου ἦν[8]», ταῦτα λέγουσα καὶ πάσχουσα. Δι' ὃ ἐπήγαγε λέγων· «Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν[9]», τουτέστιν, ἑκουσίως ἔπαθον, οὐκ ἔκ τινος βίας· ὅμως «ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξεν.» Ἀφέντες γὰρ πάντες οἱ ἐμοὶ μαθηταὶ ἔφυγον· «καὶ παρακαλοῦντα, καὶ οὐχ εὗρον.[10]»

V. Ἄκουσον νουνεχῶς, ὦ Ἰουδαῖε, τί φησιν ὁ Χριστός· «Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.[11]» Καὶ ταῦτα μὲν ἔπαθεν ἐξ ὑμῶν. Ἄκουσον τοῦ ἁγίου Πνεύματος λέγοντος καὶ τί ἀνταπέδωκεν ὑμῖν ἀντὶ τοῦ μικροῦ ἐκείνου ὄξους. Λέγει γὰρ ὁ προφήτης, ὡς ἐκ προσώπου τοῦ Θεοῦ· «Γενηθήτω ἡ τράπεζα αὐτῶν εἰς παγίδα καὶ εἰς ἀνταπόδοσιν.[12]» Ποίαν ἀνταπόδοσιν λέγει; εὔδηλον, τὴν νῦν κατέχουσάν σε δυστυχίαν.

VI. Εἶτα ἄκουσον καὶ τὰ ἑξῆς· «Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν.[13]» Ἀλλ' ἐσκοτίσθητε τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς σκοτισμὸν ἀφεγγῆ καὶ αἰώνιον. Ἀνατείλαντος γὰρ τοῦ φωτὸς τοῦ ἀληθινοῦ, ὑμεῖς ὡς ἐν νυκτὶ πλανᾶσθε, καὶ ἀνοδίαις προσκόπτοντες καὶ κρημνιζόμενοι ὡς καταλείψαντες τὴν ὁδὸν τὴν λέγουσαν· «Ἐγώ εἰμι ἡ ὁδός.[14]» Εἶτα ἄκουσον καιριώτερον· «Καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον·[15]» τουτέστιν, ἵνα δουλεύωσιν τοῖς ἔθνεσιν, οὐ τετρακόσια ἔτη καὶ τριάκοντα, ὡς ἐν Αἰγύπτῳ· οὔτε ἑβδομήκοντα, ὡς ἐν Βαβυλῶνι, ἀλλὰ «διαπαντὸς» φησίν, εἰς δουλείαν σύγκαμψον. Λοιπὸν τί κενὰς ἐλπίδας ἔχεις ἀπαλλαγῆναι προσδοκῶν τῆς κατεχούσης σε ταλαιπωρίας; Τὸ γὰρ παραδοξότερον· καὶ οὐκ ἀδίκως τὴν τῶν ὀμμάτων σου τύφλωσιν ἐπηύξατο· ἀλλ' ὅτι ἐκάλυψας τὰ τοῦ Χριστοῦ ὄμματα, οὕτως αὐτὸν ἐρράπιζες· καὶ διὰ τοῦτο τὸ νῶτόν σου διαπαντὸς σύγκαμψον εἰς δουλείαν. Καὶ ἐπειδὴ τὸ αἷμα αὐτοῦ μετὰ ὀργῆς ἐξέχεας, ἄκουσον τὸ ἀντίδωρον· «Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ

1. Ψαλμ. 68, 9. 2. Ψαλμ. 68, 14. 3. Λουκ. 23, 34. 4. Ψαλμ. 68, 16. 5. Ψαλμ. 15, 10. 6. Ψαλμ. 68, 16. 7. Ψαλμ. 68, 19. 8. Φιλιππ. 2, 7. 9. Ψαλμ. 68, 21. 10. Ψαλμ. 68, 21. 11. Ψαλμ. 68, 22. 12. Ψαλμ. 68, 23. 13. Ψαλμ. 68, 24. 14. Ἰω. 14, 6. 15. Ψαλμ. 68, 24.

θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.» Καί· «Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη.[1]» πρόδηλον ὁ ναὸς ὁ περιβόητος.

VII. Διὰ τί, ὦ προφῆτα, εἰπὲ ἡμῖν, τίνος χάριν ὁ ναὸς ἠρημώθη; ἆρα διὰ τὴν πάλαι μοσχοποιΐαν; ἆρα διὰ τὴν τοῦ λαοῦ εἰδωλολατρείαν; ἆρα διὰ τὸ τῶν προφητῶν αἷμα; ἆρα διὰ τῆς μοιχείας καὶ πορνείας Ἰσραήλ; Οὐδαμῶς, φησίν· ἐπὶ πᾶσιν γὰρ ἐκείνοις πάντοτε συγγνώμης καὶ φιλανθρωπίας ἠξιοῦντο· ἀλλ' ὅτι τὸν υἱὸν τοῦ Εὐεργέτου ἐθανάτωσαν· αὐτὸς γάρ ἐστιν ὁ τῷ Πατρὶ συναΐδιος. Ὅθεν λέγει· Γενηθήτω, ὦ Πάτερ, «ὁ ναὸς αὐτῶν ἠρημωμένος·[2]» ὅτι ὃν σὺ πρὸς σωτηρίαν κόσμου ἐθελοντὶ «ἐπάταξας, αὐτοὶ κατεδίωξαν·[3]» σημαίνει δέ, αὐτοὶ δὲ βιαίῳ καὶ καταδίκῳ θανάτῳ με κατεδίωξαν, «καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.[4]» Πρότερον μὲν ἄλγος εἶχον ὡς φιλάνθρωπος διὰ τὴν πλάνην τῶν ἐθνῶν· ἀλλ' ἐπὶ τὸ ἄλγος προσέθηκάν μοι ἕτερον, πλανηθέντες καὶ αὐτοί. Διόπερ «πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν, καὶ θλῖψιν ἐπὶ θλῖψιν, καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου[5]», τουτέστιν εἰς τὴν βασιλείαν σου· ἀλλ' «ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν[6]», τουτέστι, μετὰ τῶν ἁγίων πατέρων καὶ πατριαρχῶν αὐτῶν.

VIII. Τί λέγεις πρὸς τοῦτο, ὦ Ἰουδαῖε; Οὐ λέγει Ματθαῖος, οὐδὲ Παῦλος, ἀλλὰ Δαυῒδ ὁ σὸς χριστός, ὁ τὰς φοβερὰς ἀποφάσεις διὰ Χριστὸν ἀντιδιδόμενος καὶ φθεγγόμενος· καὶ ὡς ὁ μέγας Ἰώβ, ἐρῶν πρὸς ὑμᾶς τῷ δικαίῳ καὶ ἀψευδεῖ λέγοντας, οὕτως· Ἠγόρασας τὸν Χριστὸν δουλοπρεπῶς, ἦλθες πρὸς αὐτὸν λῃστρικῶς ἐν τῷ κήπῳ.

IX. Φέρω δὴ ἐς μέσον καὶ τὴν προφητείαν Σολομών, τὴν λέγουσαν περὶ Χριστοῦ, τὴν τὰ πρὸς Ἰουδαίους σαφῶς καὶ ἀριδήλως διαγγέλλουσαν· οὐ μόνον τὰ κατὰ τὸν παρόντα καιρόν, ἀλλὰ τὰ κατὰ τὸν μέλλοντα αἰῶνα αὐτοῖς συμβαίνειν διὰ τὴν αὐθάδειαν καὶ τόλμαν, ἣν ἐποίησαν ἀρχηγῷ τῆς ζωῆς. Λέγει γὰρ ὁ προφήτης· «Οὐ διελογίσαντο οἱ ἀσεβεῖς» περὶ Χριστοῦ «εἰπόντες, ὀρθῶς· Ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς ἔργοις καὶ τοῖς λόγοις ἡμῶν, καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα νόμου, καὶ ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ, καὶ Παῖδα Θεοῦ ἑαυτὸν ὀνομάζει.[7]» Εἶτά φησιν· «Βαρὺς ἡμῖν ἐστι καὶ βλεπόμενος· ὅτι ἀνόμοιός ἐστι τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ. Εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν, ὡς ἀπὸ ἀκαθαρσιῶν, καὶ μακαρίζει ἔσχατα δικαίων.[8]» Καὶ πάλιν ἄκουσον, ὦ Ἰουδαῖε. Οὐδεὶς ἐκ τῶν δικαίων ἢ προφητῶν ἐκάλεσεν ἑαυτὸν υἱὸν Θεοῦ. Λέγει οὖν αὖθις ὡς ἐκ προσώπου Ἰουδαίων ὁ Σολομὼν περὶ τούτου τοῦ δικαίου ὅς ἐστιν ὁ Χριστός· «Ὅτι ἐγένετο ἡμῖν εἰς ἔλεγ-

1. Ψαλμ. 68, 25-26. 2. Πρβλ. Ματθ. 23, 38. 3. Ψαλμ. 68, 27. 4. Ψαλμ. 68, 27. 5. Ψαλμ. 68, 28. 6. Ψαλμ. 68, 29. 7. Σοφ. Σολ. 2, 1, 12, 13. 8. Σοφ. Σολ. 2, 14-16.

χον ἐννοιῶν ἡμῶν, καὶ ἀλαζονεύεται Πατέρα Θεόν. Εἴδωμεν οὖν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς εἰσιν, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ· εἰ γάρ ἐστιν ὁ δίκαιος Υἱὸς Θεοῦ, ἀντιλήψεται αὐτοῦ, καὶ ῥύσεται αὐτὸν ἐκ χειρὸς ἀνθεστηκότων. Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν· ἔσται γὰρ ἐπισκοπὴ αὐτοῦ ἐκ λόγων αὐτοῦ.[1]»

Χ. Καὶ πάλιν ὁ Δαυῒδ ἐν Ψαλμοῖς λέγει περὶ τὸν μέλλοντα αἰῶνα· «Τότε λαλήσει πρὸς αὐτοὺς» ὁ Χριστὸς «ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.[2]» Καὶ πάλιν Σολομὼν περὶ Χριστοῦ καὶ Ἰουδαίων φησίν, ὅτι ὅτε στήσεται ὁ δίκαιος ἐν παρρησίᾳ πολλῇ κατὰ πρόσωπον τῶν θλιψάντων, καὶ τῶν ἀθετούντων τοὺς λόγους αὐτοῦ, «ἰδόντες ταραχθήσονται φόβῳ δεινῷ καὶ ἐκστήσονται ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας αὐτοῦ, καὶ ἐροῦσιν ἐν ἑαυτοῖς μετανοοῦντες, καὶ διὰ στενοχωρίαν πνεύματος στενάζοντες· Οὗτός ἐστιν ὃν ἔσχομέν ποτε εἰς γέλωτα καὶ εἰς παραβολὴν ὀνειδισμοῦ. Οἱ ἄφρονες τὸν βίον αὐτοῦ ἐλογισάμεθα μανίαν, καὶ τὴν τελευτὴν αὐτοῦ ἄτιμον. Πῶς κατελογίσθη ἐν υἱοῖς Θεοῦ, καὶ ἐν ἁγίοις ὁ κλῆρος αὐτοῦ ἐστιν; Ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ ἀληθείας, καὶ τὸ τῆς δικαιοσύνης φῶς οὐκ ἀπέλαμψεν ἡμῖν, καὶ ὁ ἥλιος οὐκ ἀνέτειλεν ἡμῖν. Ἀνομίας ἐνεπλήσθημεν τρίβοις καὶ ἀπωλείας. Διωδεύσαμεν ἐρήμους ἀβάτους, τὴν δὲ ὁδὸν Κυρίου οὐκ ἐγνώσαμεν. Τί ὠφέλησεν ἡμᾶς ἡ ὑπερηφανία ἡμῶν; παρῆλθεν ἐκεῖνα πάντα ὡς σκιά.[3]»

1. Σοφ. Σολ. 2, 14, 16, 17, 18, 20. 2. Ψαλμ. 2, 5. 3. Σοφ. Σολ. 5, 2-9.

ΤΟΥ ΑΓΙΟΥ ΙΠΠΟΛΥΤΟΥ
ΕΚ ΤΟΥ ΠΡΟΣ ΕΛΛΗΝΑΣ ΛΟΓΟΥ
ΤΟΥ ΕΠΙΓΕΓΡΑΜΜΕΝΟΥ
ΚΑΤΑ ΠΛΑΤΩΝΑ, ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΠΑΝΤΟΣ ΑΙΤΙΑΣ *

Ι. Καὶ οὗτος μὲν ὁ περὶ δαιμόνων τόπος. Περὶ δὲ ᾅδου, ἐν ᾧ συνέχονται ψυχαὶ δικαίων τε καὶ ἀδίκων, ἀναγκαῖον εἰπεῖν. Ὁ ᾅδης, τόπος ἐστὶν ἐν τῇ κτίσει ἀκατασκεύαστος, χωρίον ὑπόγειον, ἐν ᾧ φῶς κόσμου οὐκ ἐπιλάμπει· φωτὸς τοίνυν ἐν τούτῳ τῷ χωρίῳ μὴ καταλάμποντος, ἀνάγκη σκότος διηνεκῶς τυγχάνειν. Τοῦτο τὸ χωρίον ὡς φρούριον ἀπενεμήθη ψυχαῖς, ἐφ' ᾧ κατεστάθησαν ἄγγελοι φρουροί, πρὸς τὰς ἑκάστων πράξεις διανέμοντες τὰς τῶν τρόπων προσκαίρους κολάσεις· ἐν τούτῳ δὲ τῷ χωρίῳ τόπος ἀφώρισταί τις, λίμνη πυρὸς ἀσβέστου, ἐν ᾧ μὲν οὐδέπω τινὰ καταρρερίφθαι ὑπειλήφαμεν· ἐσκεύασται δὲ εἰς τὴν προωρισμένην ἡμέραν ὑπὸ Θεοῦ, ἐν ᾗ δικαίας κρίσεως ἀπόφασις μία πᾶσιν ἀξίως προσενεχθείη. Καὶ οἱ μὲν ἄδικοι καὶ Θεῷ ἀπειθήσαντες, τά τε μάταια ἔργα χειρῶν ἀνθρώπων κατεσκευασμένα εἴδωλα ὡς Θεὸν τιμήσαντες, ταύτης τῆς ἀϊδίου κολάσεως, ὡς αἴτιοι μιασμάτων γενόμενοι, προσκριθῶσι· οἱ δὲ δίκαιοι τῆς ἀφθάρτου καὶ ἀνεκλείπτου βασιλείας τύχωσιν, οἱ ἐν τῷ ᾅδῃ νῦν μὲν συνέχονται, ἀλλ' οὐ τῷ αὐτῷ τόπῳ, ᾧ καὶ οἱ ἄδικοι. Μία γὰρ εἰς τοῦτο τὸ χωρίον κάθοδος, οὗ τῇ πύλῃ ἐφεστῶτα ἀρχάγγελον ἅμα στρατιᾷ πεπιστεύκαμεν· ἣν πύλην διελθόντες οἱ καταγόμενοι ὑπὸ τῶν ἐπὶ τὰς ψυχὰς τεταγμένων ἀγγέλων, οὐ μιᾷ ὁδῷ πορεύονται· ἀλλ' οἱ μὲν δίκαιοι, εἰς δεξιὰ φωταγωγούμενοι, καὶ ὑπὸ τῶν ἐφεστώτων κατὰ τόπον ἀγγέλων ὑμνούμενοι, ἄγονται εἰς χωρίον φωτεινόν· ἐν ᾧ οἱ ἀπ' ἀρχῆς δίκαιοι πολιτεύονται, οὐχ ὑπ' ἀνάγκης κρατούμενοι, ἀλλὰ τῆς τῶν ὁρωμένων ἀγαθῶν θέας ἀεὶ ἀπολαύοντες, καὶ τῇ τῶν ἑκάστοτε καινῶν προσδοκίᾳ ἡδόμενοι, κἀκεῖνα τούτων βελτίω ἡγούμενοι. Οἷς ὁ τόπος οὐ καματηφόρος γίνεται· οὐ καύσων, οὐ κρύος, οὐ τρίβολος ἐν αὐτῷ, ἀλλ' ἡ τῶν πατέρων δικαίων τε ὁρωμένη ὄψις πάντοτε μειδιᾷ, ἀναμενόντων τὴν μετὰ τοῦτο τὸ χωρίον ἀνάπαυσιν καὶ αἰωνίαν ἀναβίωσιν ἐν οὐρανῷ. Τοῦτο δὲ ὄνομα κικλήσκομεν «κόλπον Ἀβραάμ.» Οἱ δὲ ἄδικοι εἰς ἀριστερὰ ἕλκονται ὑπὸ ἀγγέλων κολαστῶν, οὐκέτι ἑκουσίως πορευόμενοι, ἀλλὰ μετὰ βίας ὡς δέσμιοι ἑλκόμενοι· οἷς οἱ ἐφεστῶτες ἄγγελοι διαπέμπονται ὀνειδίζοντες, καὶ φοβερῷ ὄμματι ἐπαπειλοῦντες, εἰς τὰ

* Migne, τ. 10, σελ. 796 κ. ἑξ.

κατώτερα ὠθοῦντες· οὓς ἀγομένους ἕλκουσιν οἱ ἐφεστῶτες ἕως πλησίον τῆς γεέννης· οἱ ἔγγιον ὄντες τοῦ μὲν βρασμοῦ ἀδιαλείπτως ὑπακούουσι, καὶ τοῦ τῆς θέρμης ἀτμοῦ οὐκ ἀμοιροῦσιν. Αὐτῆς δὲ τῆς ἐγγίονος ὄψεως, τὴν φοβερὰν καὶ ὑπερβαλλόντως θέαν τοῦ πυρὸς ὁρῶντες, καταπεπήγασι, τῇ προσδοκίᾳ τῆς μελλούσης κρίσεως, ἤδη δυνάμει κολαζόμενοι. Ἀλλὰ καὶ οὗ τὸν τῶν πατέρων χῶρον καὶ τοὺς δικαίους ὁρῶσι, καὶ ἐπ' αὐτῷ τούτῳ κολαζόμενοι. Χάος γὰρ βαθὺ καὶ μέγα ἀνὰ μέσον ἐστήρικται, ὥστε μὴ δίκαιον συμπαθήσαντα προσδέξασθαι, μήτε ἄδικον τολμήσαντα διελθεῖν.[1]

II. Οὗτος ὁ περὶ ᾅδου λόγος, ἐν ᾧ αἱ ψυχαὶ πάντων κατέχονται, ἄχρι καιροῦ ὃν ὁ Θεὸς ὥρισεν, ἀνάστασιν τότε πάντων ποιησόμενος, οὐ ψυχὰς μετενσωματῶν, ἀλλ' αὐτὰ τὰ σώματα ἀνιστῶν. Ἃ λελυμένα ὁρῶντες εἰ ἀπιστεῖτε, μάθετε μὴ ἀπιστεῖν. Τὴν γὰρ ψυχὴν γενητὴν καὶ ἀθάνατον ὑπὸ Θεοῦ γεγονέναι πιστεύσαντες, κατὰ τὸν Πλάτωνος λόγον, χρόνῳ· μὴ ἀπιστήσητε, ὡς καὶ τὸ σῶμα ἐκ τῶν αὐτῶν στοιχείων σύνθετον γενόμενον δυνατὸς ὁ Θεὸς ἀναβιώσας ἀθάνατον ποιεῖν. Οὐ τὸ μὲν δυνατός, τὸ δὲ ἀδύνατος, ῥηθήσεται περὶ Θεοῦ. Ἡμεῖς οὖν καὶ σῶμα ἀνίστασθαι πεπιστεύκαμεν. Εἰ γὰρ φθείρεται, ἀλλ' οὐκ ἀπόλλυται· τούτου γὰρ τὰ λείψανα ὑποδεχομένη ἡ γῆ, τηρεῖ· καὶ δίκην σπόρου γενόμενα, καὶ τῷ γῆς λιπαρωτέρῳ συμπλεκόμενα, ἀνθεῖ. Καὶ τὸ μὲν σπαρὲν κόκκος γυμνὸς σπείρεται, κελεύσματι δὲ τοῦ δημιουργήσαντος Θεοῦ θάλλων ἠμφιεσμένος καὶ ἔνδοξος ἐγείρεται, οὐ πρότερον, εἰ μὴ ἀποθανὼν λυθῇ καὶ συμμιγῇ. Ὥστε τὴν ἀνάστασιν τοῦ σώματος οὐ μάτην πεπιστεύκαμεν. Ἀλλ' εἰ καὶ λύεται πρὸς καιρόν, διὰ τὴν ἀπ' ἀρχῆς γενομένην παρακοήν, ὡς εἰς χωνευτήριον, εἰς γῆν καθίσταται, πάλιν ἀναπλασθησόμενον· οὐ τοιοῦτον ἀνιστάμενον, ἀλλὰ καθαρὸν καὶ μηκέτι φθειρόμενον. Καὶ ἑκάστῳ σώματι ἡ ἰδία ψυχὴ ἀποδοθήσεται, καὶ τοῦτο ἐπενδυσαμένη οὐκ ἀνιαθήσεται, ἀλλὰ συγχαρήσεται καθαρὰ καθαρῷ παραμείνασα· ᾧ ἐν τῷ κόσμῳ νῦν δικαίως συνοδεύσασα, καὶ μὴ ἐπίβουλον ἐν πᾶσιν ἔχουσα, μετὰ πάσης ἀγαλλιάσεως ἀπολήψεται. Οἱ δὲ ἄδικοι οὐκ ἀλλοιωθέντα τὰ σώματα, οὐδὲ πάθους ἢ νόσου μεταστάντα, οὐδὲ ἐνδοξασθέντα ἀπολήψονται, ἀλλ' ἐν οἷς νοσήμασιν ἐτελεύτων· καὶ ὁποῖοι ἐν ἀπιστίᾳ γεγένηνται, τοιοῦτοι πιστῶς κριθήσονται.

III. Πάντες γάρ, δίκαιοί τε καὶ ἄδικοι, ἐνώπιον τοῦ Θεοῦ Λόγου ἀχθήσονται. Τούτῳ γὰρ ὁ Πατὴρ τὴν κρίσιν πᾶσαν δέδωκε[2], καὶ αὐτὸς βουλὴν Πατρὸς ἐπιτελῶν, κριτὴς παραγίνεται, ὃν Χριστὸν προσαγορεύομεν. Οὐδὲ γὰρ Μίνως καὶ Ῥαδάμανθυς κριταὶ οἱ καθ' ὑμᾶς, Ἕλληνες· ἀλλ' ὃν ὁ Θεὸς καὶ Πατὴρ ἐδόξασε, περὶ οὗ ἐν ἑτέροις λεπτομερέστερον διεληλύθαμεν πρὸς τοὺς ἐπιζητοῦντας τὴν ἀλήθειαν. Οὗτος τὴν Πατρὸς εἰς πάντας .δικαιοκρισίαν ποιούμενος, ἑκάστῳ

1. Λουκ. 16, 26. 2. Ἰω. 5, 22.

κατὰ τὰ ἔργα παρεσκεύασε τὸ δίκαιον. Οὗ τῇ κρίσει παραστάντες πάντες, ἄνθρωποί τε καὶ ἄγγελοι, καὶ δαίμονες μίαν ἀποφθέγξονται φωνήν, οὕτως λέγοντες· «Δικαία σου ἡ κρίσις.[1]» Ἧς φωνῆς τὸ ἀνταπόδομα ἐπ' ἀμφοτέροις ἐπάγει τὸ δίκαιον· τοῖς μὲν εὖ πράξασι, δικαίως τὴν ἀΐδιον ἀπόλαυσιν παρασχόντος, τοῖς δὲ τῶν φαύλων ἐρασταῖς τὴν αἰώνιον κόλασιν ἀπονείμαντος. Καὶ τούτοις μὲν τὸ πῦρ ἄσβεστον διαμένει καὶ ἀτελεύτητον, σκώληξ δέ τις ἔμπυρος, μὴ τελευτῶν, μηδὲ σῶμα διαφθείρων, ἀπαύστῳ δ' ὀδύνῃ ἐκ σώματος ἐκβράσσων παραμένει. Τούτους οὐχ ὕπνος ἀναπαύσει, οὐ νὺξ παρηγορήσει, οὐ θάνατος τῆς κολάσεως ἀπολύσει, οὐ παράκλησις συγγενῶν μεσιτευσάντων ὀνήσει. Οὐ γὰρ ἔτι δίκαιοι ὑπ' αὐτῶν ὁρῶνται, οὐδὲ μνήμης γίνονται ἄξιοι. Μόνοι δὲ οἱ δίκαιοι δικαίων μεμνήσονται ἔργων, δι' ὧν ἐπὶ τὴν οὐράνιον βασιλείαν κατήντησαν· ἐν ᾗ οὐχ ὕπνος, οὐ λύπη, οὐ φθορά, οὐ φροντίς, οὐδὲ νύξ, οὐδὲ ἡμέρα χρόνῳ μετρουμένη, οὐχ ἥλιος ἀνάγκῃ κύκλον οὐρανοῦ δρόμῳ ἐλαυνόμενος[2], ὡρῶν μέτρα ἢ κέντρα πρὸς εὔγνωστον ἀνθρώπων βίον διαμετρούμενα ὡροθετοῦντος· οὐ σελήνη φθίνουσα ἢ αὔξουσα, ἢ τροπὰς καιρῶν ἐπάγουσα· οὐχ ὑγραίνουσα γῆν· οὐδὲ ἥλιος ἐπικαίων, οὐκ Ἄρκτος στρεφομένη, οὐκ Ὠρίων γεννώμενος, οὐκ ἄστρων πλάνη ἐνάριθμος, οὐ δύσβατος γῆ, οὐδὲ δυσεύρετος παραδείσου αὐλή, οὐδὲ δεινὸν θαλάσσης φρύαγμα κωλῦον ἐπιβάντα πατεῖν· εὔβατος δὲ καὶ αὕτη τοῖς δικαίοις γενήσεται, οὔτε τοῦ ὑγροῦ στερουμένη· οὐκ οὐρανὸς ἀοίκητος ἀνθρώποις, οὐδὲ τούτου τῆς ἀναβάσεως ἡ ὁδὸς ἀνεύρετος· οὐ γῆ ἀνέργαστος, οὐδὲ ἀνθρώποις ἐπίπονος, αὐτομάτη δὲ φύουσα καρποὺς πρὸς εὐκοσμίαν· οὐ θηρίων γενέσεις πάλιν, οὐδὲ τῶν λοιπῶν ζῴων ἐκβρασσομένη οὐσία. Οὐδὲ γὰρ ἀνθρώποις πάλιν γεννᾷ· ἀλλ' ὁ τῶν δικαίων ἀριθμὸς διαμένει ἀνέκλειπτος ἅμα δικαίοις ἀγγέλοις καὶ πνεύμασι. Τούτοις οἱ πεισθέντες τοῖς λόγοις ἄνθρωποι, ἔσεσθε καὶ τῶν δικαίων κοινωνοί, καὶ τῶν μελλόντων ἐντεύξεσθε ἀγαθῶν, ἃ «οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ὅσα ὁ Θεὸς ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτόν.[3]» Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Πρβλ. Ψαλμ. 118, 137. 2. Πρβλ. Ἀποκ. 22, 5. 3. Α' Κορ. 2, 9.

ΤΟΥ ΙΠΠΟΛΥΤΟΥ
ΑΠΟΔΕΙΞΙΣ ΧΡΟΝΩΝ ΤΟΥ ΠΑΣΧΑ *

(93) ΙΟΥC ΝΙΑC ΑΛΜΟΥC | ΕΤΟΥC Α. ΒΑCΙΛΕΙΑC ΑΛΕξΑΝΔΡΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟC ΕΓΕΝΕΤΟ Η. ΔΙ ΤΟΥ ΠΑCΧΑ ΕΙΔΟΙC ΑΠΡΕΙΛΙΑΙC CΑΒΒΑΤω ΕΜΒΟΛΙΜΟΥ ΜΗΝΟC ΓΕΝΟΜΕΝΟΥ. ΕCΤΑΙ ΤΟΙC ΕξΗC ΕΤΕCΙΝ ΚΑΘωC ΥΠΟΤΕΤΑΚΤΑΙ ΕΝ Τω ΠΙΝΑΚΙ. ΕΓΕΝΕΤΟ ΔΕ ΕΝ ΤΟΙC ΠΑΡωΧΗΚΟCΙΝ ΚΑΘωC CΕCΗΜΕΙωΤΑΙ. ΑΠΟΝΗCΤΙΖΕCΘΑΙ ΔΕ ΔΕΙ ΟΥ ΑΝ ΕΝΠΕCΗ ΚΥΡΙΑΚΗ

ΓΑCΤΡΙΜΥΘΟΝ	ΕΙΔΟΙC ΕΜ. ΑΠΡΕΙ	Z		S	ΕCΔΡΑ ΚΑ ΤΑ ΔΑΝΙΗΛ ΚΑΙ ΕΝΕΡΗΜω	E	Δ	ΓΒΑ
ΥΠΕΡ ΤΟΥ ΚΑΤΑ Ιω ΑΝΝΗΝ	ΠΡΟ Δ Νω ΑΠΡΕΙ	Δ	ΓΕΝΕCΙC ΧC	Γ		B	A	ZSE
ΕΥΑΓΓΕΛΙΟΥ ΚΑΙ ΑΠΟΚΑΛΥΨΕωC	Πρ. ΙΒ Πρ. ΙΑ ΚΑ SS ΑΠΡΕΙ	A	ΕΖΕΧΙ-ΑC	Z		S	ΙΗCΟΥC E	ΔΓΒ
ΠΕΡΙ ΧΑΡΙCΜΑΤωΝ	ΕΜ. ΠΡΟ Ε. ΕΙ ΑΠΡΕΙ	Z	ΙωCΕΙΑC	S		E	Δ	ΓΒΑ
ΑΠΟCΤΟΛΙΚΗ ΠΑΡΑΔΟCΙC	ΠΡΟ Δ ΚΑ ΑΠΡΕΙ	Δ		Γ		B	A	ZSE
ΧΡΟΝΙΚωΝ ΠΡΟC ΕΛΛΗΝΑC	ΠΡΟ ΙΕ ΚΑ ΑΠΡΕΙ	A		Z	ΕΖΕΚΙΑC ΚΑΤΑ ΔΑ ΚΑΙ ΙωCΕΙΑC	S	E	ΔΓΒ
ΚΑΙ ΠΡΟC ΠΛΑΤωΝΑ Η ΚΑΙ ΠΕΡΙ ΤΟΥ ΠΑΝΤΟC	SS ΝωΝΑΙC ΕΜ ΑΠΡΕΙ	Z		S		E	Δ ΙΗCΟΥC ΚΑ. ΔΑ	ΓΒΑ
	ΠΡΟ Η ΚΑ ΑΠΡΕΙ	Δ		Γ		B	A	ZSE
ΠΡΟΤΡΕΠΤΙΚΟC ΠΡΟC CΕΒΗΡΕΙΝΑΝ	ΕΜ. ΕΙΔΟΙC ΑΠΡΕΙ	Γ		B		A	Z	SEΔ
ΑΠΟΔΕΙξΙC ΧΡΟΝωΝ ΤΟΥ ΠΑCΧΑ	ΠΡΟ Δ. Νω ΑΠΡΕΙ	Z		S		E	Δ	ΓΒΑ ΕξΟΔΟC
ΚΑΤΑ ΕΝ Τω ΠΙΝΑΚΙ	Πρ. ΙΒ Πρ ΙΑ. κα SS ΑΠΡΕΙ	Δ		Γ		B	A	ZSE
ωΔΑΙ ΕΙC ΠΑCΑC ΤΑC ΓΡΑΦΑC	ΕΜ. ΠΡΟ Ε ΕΙ ΑΠΡΕΙ	Γ		B		A	Z	SEΔ ΕΝ ΕΡΗΜ
	ΠΡΟ Δ. ΚΑ ΑΠΡΕΙ	Z		S		E	Δ	ΓΒΑ
ΠΕΡΙ ΘΥ ΚΑΙ ΣΑΡΚΟΣ ΑΝΑCΤΑCΕωC	ΠΡΟ ΙΕ ΚΑ ΑΠΡΕΙ	Δ		Γ		B	A	ZSE Ε
ΠΕΡΙ ΤΑΓΑΘΟΥ ΚΑΙ ΠΟΘΕΝ ΤΟ ΚΑΚΟΝ	SS. ΝωΝΑΙC ΕΜ. ΑΠΡΕΙ	Γ	ΕξΟΔΟC ΚΑΤΑ ΔΑΝΙΗΛ	B		A	Z	SEΔ
	ΠΡΟ Η. ΚΑ ΑΠΡΕΙ	Z		S	ΠΑΘΟC ΧC	Δ	E	ΓΒΑ

* Ἐκ τοῦ Migne, τ. 10, σελ. 875-6.

ΕΤΕΙ ΑΛΕΞΑΝΔΡΟΥ ΚΑΙΣΑΡΟΣ ΤΩ Α ΑΡΧΗ ΑΙ ΚΥΡΙΑΚΑΙ ΤΟΥ ΠΑΣΧΑ ΚΑΤΑ ΕΤΟΣ

Αἱ δὲ παρακεντήσεις δηλοῦσι τὴν δὶς πρὸ ἕξ.

Α		Γ		Ε		Ζ	
ΠΡΟ ΙΑ ΚΑ.	ΜΑΙ. ΚΥ	ΠΡΟ ΙS ΚΑ.	ΜΑΙ. ΚΥ	ΠΡΟ ΙΔ ΚΑ.	ΜΑΙ. ΚΥ	ΠΡΟ ΙΒ ΚΑ.	ΜΑΙ. ΚΥ
ΠΡΟ Η ΕΙ.	ΑΠΡ. ΚΥ	ΠΡΟ S ΕΙ.	ΑΠΡ. ΚΥ	ΠΡΟ Δ ΕΙ.	ΑΠΡ. ΚΥ	Νω.	ΑΠΡ ΚΥ
ΠΡΟ Ε ΚΑ.	ΑΠΡ. ΚΥ	ΠΡΟ Ι ΚΑ.	ΑΠΡ. ΚΥ	ΠΡΟ Η ΚΑ.	ΑΠΡ. ΚΥ	ΠΡΟ S ΚΑ.	ΑΠΡ ΚΥ
ΠΡΟ ΙΕ ΚΑ.	ΜΑΙ. ΚΥ	ΠΡΟ Α ΕΙ.	ΑΠΡ. ΚΥ	ΠΡΟ ΙΗ ΚΑ.	ΜΑΙ. ΚΥ	ΠΡΟ ΙS ΚΑ.	ΜΑΙ. ΚΥ
ΠΡΟ Δ Ν.	ΑΠΡ. ΚΥ	προ Α Νω.	ΑΠΡ. ΚΥ	προ Η ΕΙ.	ΑΠΡ. ΚΥ	ΚΑ.	ΑΠΡ ΚΥ
ΠΡΟ Η ΚΑ.	Απρ. ΚΥ	προ ΙΓ ΚΑ.	Απρ. ΚΥ	προ ΙΑ ΚΑ.	Απρ. ΚΥ	ΠΡΟ Θ ΚΑ.	Απρ. ΚΥ
ΕΙ	Απρ. ΚΥ	προ S ΕΙ.	Απρ. ΚΥ	προ Δ ΕΙ.	Απρ. ΚΥ	προ Α ΕΙ.	Απρ. ΚΥ
ΠΡΟ Δ ΚΑ.	Απρ. ΚΥ	προ Α ΚΑ.	Απρ. ΚΥ	προ Δ Νω.	Απρ. ΚΥ	προ Ε ΚΑ.	Απρ. ΚΥ
ΠΡΟ ΙΔ ΚΑ.	ΜΑΙ. ΚΥ	προ ΙΒ ΚΑ.	ΜΑΙ. ΚΥ	προ ΙΖ ΚΑ.	ΜΑΙ. ΚΥ	προ ΙΕ ΚΑ.	ΜΑΙ. ΚΥ
ΠΡΟ Δ ΕΙ.	Απρ. ΚΥ	Νω.	Απρ. ΚΥ	προ Ζ ΕΙ.	Απρ. ΚΥ	προ Ε ΕΙ.	Απρ. ΚΥ
ΠΡΟ Η ΚΑ.	Απρ. ΚΥ	προ S ΚΑ.	Απρ. ΚΥ	προ Δ ΚΑ.	Απρ. ΚΥ	προ Θ ΚΑ.	Απρ. ΚΥ
ΠΡΟ ΙΗ ΚΑ.	ΜΑΙ. ΚΥ	προ ΙS ΚΑ.	ΜΑΙ. ΚΥ	προ Γ ΕΙ.	Απρ. ΚΥ	ΕΙ.	Απρ. ΚΥ
ΠΡΟ Η ΕΙ.	Απρ. ΚΥ	ΚΑ.	Απρ. ΚΥ	προ Γ Νω.	Απρ. ΚΥ	Νω.	Απρ. ΚΥ
ΠΡΟ ΙΑ ΚΑ.	Απρ. ΚΥ	προ Θ ΚΑ.	Απρ. ΚΥ	προ Ζ ΚΑ.	Απρ. ΚΥ	προ ΙΒ ΚΑ.	Απρ. ΚΥ
ΠΡΟ Δ ΕΙ.	Απρ. ΚΥ	προ Α ΕΙ	Απρ. ΚΥ	προ Ζ ΕΙ.	Απρ. ΚΥ	προ Ε ΕΙ.	Απρ. ΚΥ
ΠΡΟ Δ Νω.	Απρ. ΚΥ	προ Ε ΚΑ.	Απρ. ΚΥ	προ Γ ΚΑ.	Απρ. ΚΥ	ΚΑ.	Απρ. ΚΥ

Β		Δ		ς	
ΠΡΟ ΙΖ ΚΑ.	ΜΑΙ. ΚΥ	ΠΡΟ ΙΕ ΚΑ.	ΜΑΙ. ΚΥ	ΠΡΟ ΙΓ ΚΑ.	ΜΑΙ. ΚΥ
ΠΡΟ Ζ ΕΙ.	Απρ. ΚΥ	προ Ε ΕΙ.	Απρ. ΚΥ	προ Α Νω.	Απρ. ΚΥ
ΠΡΟ Δ ΚΑ.	Απρ. ΚΥ	προ Θ ΚΑ.	Απρ. ΚΥ	προ Ζ ΚΑ.	Απρ. ΚΥ
ΠΡΟ Γ ΕΙ.	Απρ. ΚΥ	ΕΙ.	Απρ. ΚΥ	προ ΙΖ ΚΑ.	ΜΑΙ. ΚΥ
ΠΡΟ Γ Νω.	Απρ. ΚΥ	Νω.	Απρ. ΚΥ	προ Α ΚΑ.	Απρ. ΚΥ
ΠΡΟ Ζ ΚΑ.	Απρ. ΚΥ	προ ΙΒ ΚΑ.	Απρ. ΚΥ	προ Ι ΚΑ.	Απρ. ΚΥ
ΠΡΟ Ζ ΕΙ.	Απρ. ΚΥ	προ Ε ΕΙ.	Απρ. ΚΥ	προ Γ ΕΙ.	Απρ. ΚΥ
ΠΡΟ Γ ΚΑ.	Απρ. ΚΥ	ΚΑ.	Απρ. ΚΥ	προ S ΕΙ.	Απρ. ΚΥ
ΠΡΟ ΙΓ ΚΑ.	ΜΑΡ. ΚΥ	προ ΙΑ ΚΑ.	ΜΑΙ. ΚΥ	προ ΙS ΚΑ.	ΜΑΡ. ΚΥ
ΠΡΟ Α Νω.	Απρ. ΚΥ	προ Η ΕΙ.	Απρ. ΚΥ	προ S ΕΙ.	Απρ. ΚΥ
ΠΡΟ Ζ ΚΑ.	Απρ. ΚΥ	προ Ε ΚΑ.	Απρ. ΚΥ	προ Ι ΚΑ.	Απρ. ΚΥ
ΠΡΟ ΙΖ ΚΑ.	ΜΑΙ. ΚΥ	προ ΙΕ ΚΑ.	ΜΑΙ. ΚΥ	προ Α ΕΙ.	Απρ. ΚΥ
ΠΡΟ Α ΚΑ.	Απρ. ΚΥ	προ Δ Νω.	Απρ. ΚΥ	προ Α Νω.	Απρ. ΚΥ
ΠΡΟ Ι ΚΑ.	Απρ. ΚΥ	προ Η ΚΑ.	Απρ. ΚΥ	προ ΙΓ ΚΑ.	Απρ. ΚΥ
ΠΡΟ Γ ΕΙ.	Απρ. ΚΥ	ΕΙ.	Απρ. ΚΥ	προ Γ ΕΙ (94)	Απρ. ΚΥ
ΠΡΟ S ΚΑ.	Απρ. ΚΥ	προ Δ ΚΑ.	Απρ. ΚΥ	προ Α ΚΑ.	Απρ. ΚΥ

ΧΡΟΝΙΚΑ*

1. Συναγωγὴ χρόνων καὶ ἐτῶν ἀπὸ κτίσεως κόσμου ἕως τῆς ἐνεστώσης ἡμέρας.

2. Τῆς γῆς διαμερισθείσης τοῖς τρισὶν υἱοῖς τοῦ Νῶε φανέρωσις τῶν ἐθνῶν· τίνες ἐκ τίνων γεγένηνται καὶ ποίας ἕκαστος αὐτῶν πόλεις καὶ χώρας κεκλήρωνται· πόσαι νῆσοι ἐπίσημοι.

3. Τίνες ἐκ ποίων ἄποικοι ἐγένοντο.

4. Πόσοι ποταμοὶ ὀνομαστοί.

5. Πόσα ὄρη ὀνομαστά.

6. Πόσοι κριταὶ καὶ τίς πόσα ἔτη ἔκρινε τὸν λαόν.

7. Πόσοι βασιλεῖς ἐν τῇ Ἰουδαίᾳ φυλῇ καὶ τίς πόσα ἔτη ἐβασίλευσεν.

8. Ἀπόδειξις περὶ τοῦ Πάσχα καὶ <τίς> πότε ἐτήρησεν ἀπὸ Μωϋσέως συγκαταψηφιζομένων καὶ τῶν χρόνων μέχρι τῆς ἐνεστώσης ἡμέρας.

9. Βασιλεῖς Περσῶν ἀπὸ Κύρου καὶ τίς πόσα ἔτη ἐβασίλευσεν.

10. Χρόνος ὀλυμπιάδων ἀπὸ Ἰφίτου ἕως τῆς ἐνεστώσης ὀλυμπιάδος.

11. Ὀνόματα πατριαρχῶν ἀπὸ γενέσεως.

12. Ὀνόματα προφητῶν.

13. Γυναῖκες προφήτιδες.

14. Βασιλέων Ἑβραίων ὀνόματα.

15. Βασιλεῖς οἱ ἐν Σαμαρείᾳ βασιλεύσαντες τῶν δέκα φυλῶν <καὶ> τίς ὁπόσα ἔτη ἐβασίλευσεν.

16. Ἀρχιερέων ὀνόματα.

17. <Βασιλεῖς Μακεδόνων ἀπὸ Ἀλεξάνδρου καὶ τίς πόσα ἔτη ἐβασίλευσεν.

18. Βασιλεῖς Ῥωμαίων> ἀπὸ Αὐγούστου <καὶ> τίς πόσα ἔτη ἐβασίλευσεν.

19. Ἐπειδήπερ δεῖ κατὰ πάντα ἕτοιμον τυγχάνειν τὸν τῆς ἀληθείας διάκονον, ἀναγκαῖον ἡγησάμην, ἀγαπητέ μου ἀδελφέ, ἐν συντόμῳ ποιήσασθαι λόγους ἐκ τῶν ἁγίων γραφῶν πρὸς καταρτισμόν σοι φιλομαθίας, ὅπως δι' ἐπιτόμων ἀποδείξεων οὐκ ἀργῶς μεμεριμνημένων τὸν ἐξακριβασμὸν τῶν κατὰ τὴν ἀλήθειαν ἡμῖν ἀναγκαίως ἐπιζητουμένων ἐν ὀλίγῳ καταλαβώμεθα, ἐκκόπτοντες πρότερον τὴν δι' ἀμαθίας γενο-

* Κατὰ τὴν ἔκδοσιν Ad. Bauer - R. Helm, Die Chronik² (Hippolytus Werke, τ. 5) Berlin 1955, μετ' ἄδειαν τῆς Deutsche Akademie der Wissenschaften.

μένην ἔριν, ἥτις σκοτίζουσα. 20. τὸν νοῦν ἀμαθέστερον τὸν τοιοῦτον προβιβάσει. ἡμεῖς δὲ φιλομαθῶς ἱστορεῖν βουλόμενοι ἐπιγνωσόμεθα κατὰ ἀκρίβειαν τῶν τε ἐθνῶν τὸν διαμερισμὸν καὶ τὴν τῶν πατέρων ἐξαριθμουμένην γενεαλογίαν τόν τε τῆς παροικίας καιρὸν καὶ τῶν πολέμων συμβολὰς καὶ τῆς τῶν κριτῶν κατὰ χρόνους διοικήσεως καὶ τῶν βασιλέων καιροὺς καὶ προφητῶν χρόνους, τίνες ἐπὶ τίνων βασιλέων γεγένηνται· ὁποῖαι δὲ αἰχμαλωσίαι τῷ λαῷ ἐπὶ τίνων βασιλέων καὶ κριτῶν συμβεβήκασι· τίνες δὲ ἀρχιερεῖς τίσι χρόνοις ἱεράτευσαν· τίς δὲ ὁ μερισμὸς τῶν καιρῶν καὶ λαῶν γεγένηται· πῶς δὲ ἡ καταγωγὴ τοῦ σπέρματος Ἰσραὴλ ἐκ πατέρων εἰς Χριστὸν πεπλήρωται· καὶ τίνα καὶ πόσα τῶν χρόνων καταριθμεῖται ἔτη ἀπὸ κτίσεως κόσμου ἕως τῆς ἐνεστώσης ἡμέρας. 21. ἔδοξε δὲ ἡμῖν ἐναρξαμένοις ἀπὸ τῆς γενέσεως τὴν κατὰ λόγον ἀπόδειξιν, καθὼς ἀπαιτεῖ, ἐν συντόμῳ φανερῶσαι, οὐκ ἐξ ἰδίας μαρτυρίας, <ἀλλ' ἐκ τῶν ἁγίων γραφῶν τεκμηριωσαμένοις>. ἐντεῦθεν τοίνυν ἀφορμὰς λαβόντες τὸν κατὰ τάξιν λόγον ἐκ τῆς γενέσεως πειρώμεθα ποιεῖσθαι.

22. Βίβλος γενέσεως ἀνθρώπων.

23. Ἧ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν Ἀδάμ, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν.

24. Ἔζησε δὲ Ἀδὰμ ἔτη σλ καὶ ἐγέννησε τὸν Σήθ.

25. Καὶ ἔζησε Σὴθ ἔτη σε' καὶ ἐγέννησε τὸν Ἐνώς.

26. Καὶ ἔζησε Ἐνὼς ἔτη ρς' καὶ ἐγέννησε τὸν Καϊνάν.

27. Καὶ ἔζησε Καϊνὰν ἔτη ρο' καὶ ἐγέννησε τὸν Μαλελεήλ.

28. Καὶ ἔζησε Μαλελεὴλ ἔτη ρξε' καὶ ἐγέννησε τὸν Ἰάρεδ.

29. Καὶ ἔζησε Ἰάρεδ ἔτη ρξβ' καὶ ἐγέννησε τὸν Ἐνώχ.

30. Καὶ ἔζησε Ἐνὼχ ἔτη ρξε' καὶ ἐγέννησε τὸν Μαθουσάλα.

31. Καὶ ἔζησε Μαθουσάλα ἔτη ρξζ' καὶ ἐγέννησε τὸν Λάμεχ.

32. Καὶ ἔζησε Λάμεχ ἔτη ρπη' καὶ ἐγέννησε τὸν Νῶε.

33. Καὶ ἦν Νῶε ἐτῶν φ' καὶ ἐγέννησε τρεῖς υἱοὺς τὸν Σὴμ τὸν Χὰμ τὸν Ἰάφεθ.

34. Μετὰ δὲ ἔτη ρ' τοῦ τεχθῆναι τὸν Σὴμ γίνεται ὁ κατακλυσμὸς ὄντος τοῦ Νῶε ἐτῶν χ'.

35. Γίνονται οὖν ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ γενεαὶ δέκα ἔτη ,β<σ>μβ'.

36. Αὗται αἱ γενέσεις Σήμ.

37. Σὴμ ὢν ἐτῶν ρ' ἐγέννησε τὸν Ἀρφαξὰδ ἔτους δευτέρου μετὰ τὸν κατακλυσμόν.

38. Καὶ ἔζησεν Ἀρφαξὰδ ἔτη ρλε' καὶ ἐγέννησε τὸν Καϊνάν.

39. Καὶ ἔζησε Καϊνὰν ἔτη ρλ' καὶ ἐγέννησε τὸν Σάλα.

40. Καὶ ἔζησε Σάλα ἔτη ρλ' καὶ ἐγέννησε τὸν Ἔβερ.

41. Καὶ ἔζησεν Ἔβερ ἔτη ρλ' καὶ ἐγέννησε τὸν Φάλεγ.

42. Ἐπὶ τούτου γενεαὶ πέντε ἔτη φκε', ἀπὸ δὲ Ἀδὰμ γενεαὶ ιε' ἔτη ,βψξζ'.

43. Ἀρχὴ τοῦ χρονογράφου· ἀλλ' ἐν ἄλλοις βίβλοις εὑρήσεις πλατυτέρως τὴν ἀρχήν, ἡμεῖς δὲ τὸν διαμερισμὸν μόνον ἐν συντόμῳ γεγράφαμεν. γίνονται οὖν ὁμοῦ ἀπὸ Ἀδὰμ ἕως τῆς πυργοποιίας καὶ συγχύσεως τῶν γλωσσῶν γενεαὶ μὲν ιε', ἔτη δὲ ͵βω'.

44. Διαμερισμὸς τῆς γῆς. 45. Τῆς γῆς ὁ διαμερισμὸς τοῖς τρισὶν υἱοῖς τοῦ Νῶε μετὰ τὸν κατακλυσμὸν ἐγένετο οὕτως τῷ Σὴμ τῷ Χὰμ καὶ τῷ Ἰάφεθ. 46. τῶν τριῶν ἀδελφῶν αἱ φυλαὶ διεμερίσθησαν, 47. καὶ τῷ μὲν Σὴμ τῷ πρωτοτόκῳ ἀπὸ Περσίδος καὶ Βάκτρων ἕως Ἰνδικῆς τὸ μῆκος, πλάτος δὲ ἀπὸ τῆς Ἰνδικῆς ἕως Ῥινοκορούρων, 48. Χὰμ δὲ τῷ δευτέρῳ ἀπὸ Ῥινοκορούρων ἕως Γαδείρων τὰ πρὸς νότον, 49. Ἰάφεθ δὲ τῷ τρίτῳ ἀπὸ Μηδίας ἕως Γαδείρων τὰ πρὸς βορρᾶν. 50. Ἔχει δὲ Ἰάφεθ ποταμὸν Τίγριν τὸν διορίζοντα Μηδίαν καὶ Βαβυλωνίαν, 51. ὁ δὲ Χὰμ ἔχει ποταμὸν Γηὼν τὸν καλούμενον Νεῖλον [χρυσορρόαν], 52. ὁ δὲ Σὴμ ἔχει [ποταμοὺς δύο] τὸν Εὐφράτην [καὶ τὸν Φισών]. 53. Συνεχύθησαν δὲ αἱ γλῶσσαι μετὰ τὸν κατακλυσμὸν ἐπὶ τῆς γῆς· ἦσαν οὖν αἱ συγχυθεῖσαι γλῶσσαι οβ', οἱ δὲ τὸν πύργον οἰκοδομήσαντες ἦσαν ἔθνη ο', οἱ καὶ ἐν γλώσσαις αὐτῶν ἐπὶ προσώπου τῆς γῆς διεμερίσθησαν. 54. Νεβρὼδ δὲ ὁ γίγας, υἱὸς Χοὺς τοῦ Αἰθίοπος, οὗτος εἰς τὴν βρῶσιν αὐτοῖς κυνηγῶν ἐχορήγει θηρία φαγεῖν. 55. Τὰ δὲ ὀνόματα τῶν ἑβδομήκοντά ἐστι ταῦτα

56. Υἱοὶ Ἰάφεθ τοῦ τρίτου υἱοῦ Νῶε· 57. Γάμερ, ἀφ' οὗ Καππάδοκες, 58. Μαγώγ, ἀφ' οὗ Κελτοὶ καὶ Γαλάται, 59. Μαδάι, ἀφ' οὗ Μῆδοι, 60. Ἰωύαν, ἀφ' οὗ Ἕλληνες καὶ Ἴωνες, 61. Θωβέλ, ἀφ' οὗ οἱ Θετταλοί, 62. Μοσόχ, ἀφ' οὗ οἱ Ἰλυριοί, 63. Θήρας, ἀφ' οὗ οἱ Θρᾶκες, 64. Χαταίν, ἀφ' οὗ οἱ Μακεδόνες. 65. Υἱοὶ Γάμερ τοῦ υἱοῦ τοῦ Ἰάφεθ τοῦ υἱοῦ τοῦ Νῶε· 66. Ἀσχανάθ, ἀφ' οὗ Σαρμάται, 67. Ἐρισφάν, ἀφ' οὗ οἱ Ῥόδιοι, 68. Θωργαμά, ἀφ' οὗ Ἀρμένιοι. 69. Υἱοὶ Ἰωύαν υἱοῦ Ἰάφεθ τοῦ υἱοῦ τοῦ Νῶε· 70. Ἐλισσά, ἀφ' οὗ οἱ Σικελοί, 71. Θαρσεῖς, ἀφ' οὗ Ἴβηρες <οἱ> καὶ Τυρηνοί, 72. καὶ Κίτιοι, ἀφ' οὗ Ῥωμαῖοι <οἱ> καὶ Λατῖνοι. 73. Πάντες οὗτοι υἱοὶ Ἰάφεθ τοῦ τρίτου υἱοῦ Νῶε· ἐκ τούτων ἀφωρίσθησαν νῆσοι τῶν ἐθνῶν. εἰσὶ δὲ καὶ οἱ Κύπριοι ἐκ τῶν Κιτιέων ἐκ τῶν υἱῶν Ἰάφεθ. ὁμοῦ ἔθνη ιε'. 74. Ἔτι δὲ εὑρίσκομεν καὶ τοὺς ἐν βορρᾷ ὄντας ἐξ αὐτῶν ὁμοφύλους τῶν Κιτιέων. 75. Ἔστι δὲ καὶ τὰ ἐκ τῆς Ἑλλάδος ἔθνη πάντα ἐξ αὐτοῦ ἐκτὸς τῶν μετῳκηκότων ὕστερον ἐκεῖ, οἷον Σαϊτῶν, οἳ κατῴκησαν τιμωμένην πόλιν τὴν καλουμένην Ἀθήνας, 76. καὶ τὰς <Θήβας, οἳ Σιδωνίων ἄποικοί εἰσιν ἐκ Κάδμου Ἀγή>νορος, 77. καὶ οἱ Χαλκηδόνιοι δὲ τῶν Τυρρηνίων εἰσὶν ἄποικοι, 78. καὶ εἴ τινες ἄλλοι εἰς Ἑλλάδα μετῴκησαν.

79. Ταῦτα δὲ τοῦ Ἰάφεθ ἔθνη ἀπὸ Μηδίας ἕως τοῦ ἑσπερίου κατέσπαρται ὠκεανοῦ βλέποντα πρὸς βορρᾶν· 80. Μῆδοι, Ἀλβανοί, Γαργανοί, Ἐρραῖοι, Ἀρμένιοι, Ἀμαζόνες, Κῶλοι, Κορζηνοί, Δενναγηνοί, Καππάδοκες, Παφλαγόνες, Μαριανδηνοί, Ταβαρηνοί, Χάλυβες,

<Μοσσύνοικοι, Σαρμάται, Σαυρομάται, Μαιῶται, Σκύθες, Ταύριοι>, Θρᾶκες, Βασταρνοί, Ἰλυριοί, Μακεδόνες, Ἕλληνες, Λίγυρες, Ἴστροι, Οὔεννοί, Δαυνεῖς, Ἰάπυγες, Καλαβροί, Ὀππικοί, Λα>τῖνοι οἱ καὶ Ῥωμαῖοι, Τυρρηνοί, Γάλλιοι <οἱ καὶ> Κελτοί, Λυγιστινοί, Κελτίβηρες, Ἴβηρες, Γάλλοι, <Ἀ>κουατινοί, <Ἰλλυρικοί>, Βάσαντες, Κυρ<τανοί, Λυσιτάνιοι, Οὐακκαῖοι, Κόννιοι, Βρεττανοὶ οἱ ἐν νή>σοις οἰκοῦντες. 81. Οἱ δὲ ἐπιστάμενοι αὐτῶν γράμματά εἰσιν 82. Ἴβηρες, Λατῖνοι οἷς χρῶνται οἱ Ῥωμαῖοι, Σπάνοι, Ἕλληνες, Μῆδοι, Ἀρμένιοι. 83. Ἔστι δὲ τὰ ὅρια αὐτῶν ἀπὸ Μηδίας ἕως Γαδείρων τὰ πρὸς βορρᾶν, εὖρος δὲ ἀπὸ Ποταμίδος ποταμοῦ ἕως Μαστουσίας τῆς κατὰ ἥλιον.

84. Αἱ δὲ χῶραί εἰσιν αὗται· Μηδία, Ἀλβανία, Ἀμαζονίς, Ἀρμενία μικρὰ καὶ μεγάλη, Καππαδοκία, Παφλαγονία, Γαλατία, Κολχίς, Ἰνδικὴ Ἀχαΐα, Βοσπορινή, Μαιῶτις, Δέρρης, Σαρματίς, Ταυριανή, Βασταρνίς, Σκυθία, Θράκη, Μακεδονία, Δελματία, Μολχίς, Θεσσαλία, Λωκρίς, Βοιωτία, Αἰτωλία, Ἀττική, <Ἀχαΐα>, Πελοπόννησος, <Ἀκαρνία>, Ἠπειρώτης, Ἰλλυρίς, ἡ Λυχν῀τις, Ἀδριακή, ἀφ' ἧς τὸ Ἀδριακὸν πέλαγος, Γαλλία, Θουσκηνή, Λυσιτανία, Μεσαλία, Ἰταλία, Κελτίς Σπανογαλλία, Ἰβηρία, Σπανία ἡ μεγάλη. 85. ὁμοῦ μα'. 86. ἐνταῦθα καταλήγει τὰ ὅρια τοῦ Ἰάφεθ ἕως Βρεταννικῶν νήσων πᾶσαί τε πρὸς βορρᾶν βλέπουσαι.

87. Εἰσὶ δὲ αὐτοῖς καὶ νῆσοι ἐπίκοιναι αὗται· 88. Σικελία, Εὔβοια, Ῥόδος, Χίος, Λέσβος, Κυθήρα, Ζάκυνθος, Κεφαληνία, Ἰθάκη, Κέρκυρα καὶ αἱ Κυκλάδες καὶ μέρος τι τῆς Ἀσίας τὸ καλούμενον Ἰωνία. 89. [αὗται αἱ νῆσοι τῷ μέρει τοῦ Ἰάφεθ.] 90. Ποταμὸς δέ ἐστιν αὐτοῖς <Τίγρις> διορίζων Μηδίαν <καὶ> Βαβυλωνίαν.

91. Ταῦτά ἐστι τὰ ὅρια τοῦ Ἰάφεθ τοῦ τρίτου υἱοῦ Νῶε.

92. Γενεαλογία τοῦ Χὰμ <τοῦ> δευτέρου υἱοῦ τοῦ Νῶε· 93. οἱ δὲ υἱοὶ Χὰμ τοῦ δευτέρου υἱοῦ τοῦ Νῶε 94. πρῶτος Χούς, ἐξ οὗ Αἰθίοπες, 95. <καὶ> Μεστραείμ, ἐξ οὗ Αἰγύπτιοι, 96. καὶ Φούδ, ἐξ οὗ Τρωγλοδύται, 97. καὶ Χανάν, ἐξ οὗ <Ἄφροι> καὶ Φοίνικες. 98. Οἱ δὲ υἱοὶ Χοὺς τοῦ Αἰθίοπος <τοῦ υἱοῦ Χὰμ τοῦ δευτέρου> υἱοῦ Νῶε. 99. Σαβὰ 100. καὶ Εὐηλὰτ 101. καὶ Σεβακαθὰθ 102. καὶ Ῥεγμὰ 103. καὶ Σεκατθὰ 104. οὗτοι Αἰθίοπες πρῶτοι κατὰ τὰς φυλὰς αὐτῶν. 105. Καὶ υἱοὶ Ῥεγμὰ τοῦ υἱοῦ Χοὺς τοῦ Αἰθίοπος <τοῦ υἱοῦ Χὰμ> τοῦ <δευτέρου> υἱοῦ Νῶε 106. Σάβατον 107. καὶ Ἰουδὰδ 108. καὶ Νεβρὼδ ὁ γίγας ὁ Αἰθίοψ. 109. [γέγραπται γάρ· καὶ Χοὺς ἐγέννησε τὸν Νεβρὼδ τὸν Αἰθίοπα γίγαντα κυνηγὸν — ὡς Νεβρὼδ γίγας κυνηγός.] 110. Καὶ Αἰγυπτίων πατριαὶ σὺν Μεστραεὶμ τῷ πατρὶ αὐτῶν ὀκτώ. λέγει γὰρ οὕτως· 111. Καὶ Μεστραεὶμ ἐγέννησε τοὺς Λυδιείμ, ἐξ οὗ ἐγένοντο Λύδιοι, 112. καὶ τοὺς Τενιείμ, ἐξ οὗ Πάμφυλοι, 113. καὶ τοὺς Λαβιείμ, ἐξ οὗ Λίβυες, 114. καὶ τοὺς Νεφθαλείμ, ἐξ οὗ Φυγάδες, 115. καὶ τοὺς Πατροσονιείμ, ἐξ οὗ Λύκιοι, 116. καὶ τοὺς Φυλιστιείμ, ἐξ οὗ Φοίνικες (;), 117. καὶ τοὺς Καφθοριείμ, ἐξ οὗ Κίλικες.

118. Χαναναίων δὲ πατριαὶ σὺν Χαναὰν τῷ πατρὶ αὐτῶν εἰσι ιβ΄. λέγει γὰρ οὕτως· 119. Καὶ Χαναὰν ἐγέννησε τὸν Σιδῶνα πρωτότοκον 120. καὶ τὸν Χετταῖον 121. καὶ τὸν Ἀμορραῖον 122. καὶ τὸν Γεργεσσαῖον. 123. καὶ τὸν Εὐαῖον 124. καὶ τὸν Ἀρουκαῖον, ἐξ οὗ Τριπολῖται, 125. καὶ τὸν Ἀσενναῖον, ἐξ οὗ Ὀρθωσιασταί, 126. καὶ τὸν Ἀράδιον, ἐξ οὗ Ἀράδιοι, 127. καὶ τὸν Σαμορραῖον, ἐξ οὗ Σαμαρεῖται, 128. <καὶ τὸν Φερεζαῖον, ἐξ οὗ Φερεζαῖοι>, 129. καὶ τὸν Ἀματθῆ, ἐξ οὗ Ἀμαθούσιοι. 130. Ἔστι δὲ καὶ αὐτῶν ἡ κατοικία ἀπὸ Ῥινοκορούρων ἕως Γαδείρων τὰ πρὸς νότον ἐπὶ μῆκος.

131. Τὰ δὲ ἐκ τούτων γεννηθέντα ἔθνη. 132. Αἰθίοπες, Τρωγλοδύται, Ἀγγαῖοι, Ταγηνοί, Ἰσακηνοί, Ἰχθυοφάγοι, Ἑλλανικοί, Αἰγύπτιοι, Φοίνικες, Λίβυες, Μαρμαρίδες, Κᾶρες, Ψυλλῖται, Μυσοί, Μοσυνοί, Φυγάδες, Μάκονες, Βιθυνοί, Νομάδες, Λύκιοι, Μαριανδηνοί, Πάμφυλοι, <Μοσοσυνοὶ (;) >, Πισιδηνοί, Αὐγαλαῖοι, Κίλικες, Μαυρούσιοι, Κρῆτες, Μαγάρται, Νούμιδες, <Μακάριοι (;)>, Νασαμ<ων>ίδες. 133. οὗτοι διακατέχουσιν ἀπὸ Αἰγύπτου ἕως τοῦ νοτιαίου ὠκεανοῦ. 134. Οἱ δὲ ἐπιστάμενοι αὐτῶν γράμματα 135. Φοίνικες, Αἰγύπτιοι, Πάμφυλοι, Φρύγες. 136. Ἔστι δὲ τὰ ὅρια τοῦ Χὰμ ἀπὸ Ῥινοκορούρων τῆς ὁριζούσης Συρίαν καὶ Αἴγυπτον καὶ Αἰθιοπίαν ἕως Γαδείρων ἐπὶ μῆκος.

137. Τὰ δὲ ὀνόματα τῶν χωρῶν ἐστι ταῦτα. 138. Αἴγυπτος σὺν τοῖς περὶ αὐτὴν πᾶσιν. 139. Αἰθιοπία ἡ βλέπουσα κατὰ Ἰνδούς, 140. καὶ ἑτέρα Αἰθιοπία, ὅθεν ἐκπορεύεται Γηὼν ὁ <τῶν Αἰθιόπων> ποταμὸς ὁ καλούμενος Νεῖλος, 141. Ἐρυθρὰ ἡ βλέπουσα κατὰ ἀνατολάς, 142. Θηβαῒς ὅλη, 143. Λιβύη ἡ παρεκτείνουσα μέχρι Κορκυρίνης, 144. Μαρμαρὶς καὶ τὰ περὶ αὐτὴν πάντα, 145. Σύρτις ἔχουσα ἔθνη τρία, Νασαμόνας, Μάκας, Ταυταμαίους, 146. Λιβύη ἑτέρα ἡ παρεκτείνουσα <ἀπὸ Λέπτεως> μέχρι μικρᾶς Σύρτεως. 147. Νουμίδα, 148. Μασσυρίς, 149. Μαυριτανία ἡ παρεκτείνουσα μέχρι Ἡρακλείων στηλῶν κατέναντι Γαδείρων.

150. Ἔχει δὲ ἐν τοῖς κατὰ βορρᾶν τὰ πρὸς θάλασσαν, 151. Κιλικίαν, Παμφυλίαν, Πισιδίαν, Μυσίαν, Λυγδονίαν, Φρυγίαν, Καμηλίαν, Λυκίαν, Καρίαν, Λυδίαν, Τρῳάδα, Αἰολίαν, Βιθυνίαν, τὴν ἀρχαίαν καλουμένην Φρυγίαν.

152. Εἰσὶ δὲ αὐτοῖς καὶ νῆσοι ἐπίκοινοι αἵδε. 153. Κόρσυλα, Λαπάδουσα, Γαῦλος, Μελίτη, Κέρκινα, Μηνίς, Ταυριανίς, Σαρδανίς, Γαλάτη, Γορσύνη, Κρήτη, Γαυλορίδη, Θήρα, Καρίαθος, Ἀστυπάλια, Χίος, Λέσβος, Τένεδος, Ἴμβρος, Ἰασός, Σάμος Κῶος, Κνίδος, Νίσυρος, μεγίστη Κύπρος, 154. ὁμοῦ νῆσοι κε΄. 155. Αὗται αἱ νῆσοι δουλεύουσι τῷ Χὰμ καὶ τῷ Ἰάφεθ τοῖς δύο υἱοῖς τοῦ Νῶε. 156. Ἔχει δὲ Χὰμ ποταμὸν Γηὼν τὸν κυκλοῦντα πᾶσαν τὴν Αἴγυπτον <καὶ> Αἰθιοπίαν· ὁρίζει δὲ μεταξὺ τοῦ Χὰμ καὶ τοῦ Ἰάφεθ τὸ στόμα τῆς ἑσπερινῆς θαλάσσης. 157. Αὕτη τοῦ Χὰμ ἡ γενεαλογία <τοῦ δευτέρου υἱοῦ τοῦ Νῶε>.

158. Γενεαλογία τοῦ Σὴμ τοῦ πρωτοτόκου υἱοῦ Νῶε. 159. Ἐκ

δὲ τοῦ Σὴμ τοῦ πρωτοτόκου υἱοῦ Νῶε εἰσὶ φυλαὶ κε΄· οὗτοι πρὸς ἀνατολὰς ᾤκησαν. 160. Ἐλάμ, ὅθεν οἱ Ἐλυμαῖοι, 161. καὶ Ἀσούρ, ὅθεν οἱ Ἀσσύριοι, 162. καὶ Ἀρφαξάδ, ὅθεν οἱ Χαλδαῖοι, 163. καὶ Λούδ, ὅθεν οἱ Ἀλαζονεῖς, 164. καὶ Φούδ, ὅθεν οἱ Πέρσαι, 165. καὶ Ἀράμ, ὅθεν οἱ Ἀῒται. 166. Καὶ υἱοὶ Ἀρὰμ υἱοῦ Σὴμ υἱοῦ Νῶε· 167. Ὢς καὶ Οὔλ, ὅθεν γεννῶνται Λυδοί, 168. καὶ Γαθέρ, ὅθεν Γασφηνοί, 169. καὶ Μοσόχ, ὅθεν Μοσυνοί. 170. Καὶ Ἀρφαξὰδ ἐγέννησε τὸν Καϊνάν, ὅθεν γίνονται οἱ πρὸς ἀνατολὰς Σαμῖται, 171. καὶ Καϊνὰν ἐγέννησε τὸν Σαλαθιήλ, ὅθεν γεννῶνται ο<ἱ> Σαλαθιαῖοι, 172. καὶ Σαλαθιὴλ ἐγέννησε τὸν Ἔβερ, ὅθεν γεννῶνται Ἑβραῖοι. 173. Καὶ τῷ Ἔβερ ἐγεννήθησαν υἱοὶ δύο· 174. πρῶτος Φάλεχ, ὅθεν κατάγεται τὸ γένος τοῦ Ἀβραάμ, 175. καὶ Ἰεκτὰν ὁ ἀδελφὸς αὐτοῦ. 176. Ἰεκτὰν δὲ [ὁ ἀδελφὸς Φάλεχ] ἐγέννησε τὸν Ἐλμωδάδ, ὅθεν γεννῶνται οἱ Ἰνδοί, 177. καὶ τὸν Σαλέφ, ὅθεν οἱ Βακτριανοί, 178. καὶ τὸν Ἀράμ, ὅθεν οἱ Ἀράβ<ι>ες, 179. καὶ Ἰ<δ>ουράμ, ὅθεν Καρμήλιοι, 180. καὶ Αἰθήλ, ὅθεν οἱ Ἀρειανοί, 181. καὶ Ἀβιμεήλ, ὅθεν Ὑρκάνιοι, 182. καὶ Δεκλάμ, ὅθεν Κεδρούσιοι, 183. καὶ Γεβάλ, ὅθεν οἱ Σκύθες, 184. καὶ Σαβάτ, ὅθεν οἱ Ἀλαμοσινοί, 185. καὶ Οὐήρ, ὅθεν Ἑρμαῖοι, 186. καὶ Εὐεαί, ὅθεν Γυμνοσοφισταί. 187. Οὗτοι πάντες ἐκ τοῦ Σὴμ τοῦ πρωτοτόκου υἱοῦ Νῶε. 188. Πάντων δὲ τῶν υἱῶν τοῦ Σὴμ ἐστιν ἡ κατοικία ἀπὸ Βάκτρων ἕως Ῥινοκορούρων τῆς ὁριζούσης Συρίαν καὶ Αἴγυπτον καὶ τὴν ἐρυθρὰν θάλασσαν ἀπὸ στόματος τοῦ κατὰ τὸν Ἀρσινοΐτην τῆς Ἰνδικῆς.

189. Ταῦτα δὲ τὰ ἐξ αὐτῶν γενόμενα ἔθνη· 190. Ἑβραῖοι <οἱ> καὶ Ἰουδαῖοι, Πέρσαι, Μῆδοι, Παίονες, Ἀρειανοί, <Ἀσσύριοι>, Ὑρκάνιοι, Ἰνδοί, Μαγαρδοὶ Πάρθοι, Γερμανοί, Ἐλυμαῖοι, Κοσσαῖοι, Ἄραβες, [οἱ] πρῶτοι οἱ καλούμενοι Κεδρούσιοι, Ἄραβες δεύτεροι [οἱ καλούμενοι] Γυμνοσοφισταί. 191. Παρεκτείνε<ι> δὲ αὐτῶν ἡ κατοικία ἀπὸ Ἡλιουπόλεως τῆς ἔσω ἕως Ῥινοκορούρων καὶ τῆς Κιλικίας. 192. Οἱ δὲ ἐπιστάμενοι αὐτῶν γράμματα οὗτοί εἰσιν· Ἑβραῖοι οἱ καὶ Ἰουδαῖοι, Πέρσαι, Μῆδοι, Χαλδαῖοι, Ἰνδοί, Ἀσσύριοι. 195. Ἐστὶ δὲ ἡ κατοικία τῶν υἱῶν τοῦ Σὴμ τοῦ πρωτοτόκου υἱοῦ Νῶε μῆκος μὲν ἀπὸ τῆς Ἰνδικῆς ἕως Ῥινοκορούρων, πλάτος δὲ ἀπὸ τῆς Περσίδος καὶ Βάκτρων ἕως τῆς Ἰνδικῆς.

193. Τὰ δὲ ὀνόματα τῶν χωρῶν τῶν υἱῶν τοῦ Σὴμ ἐστι ταῦτα· 194. Περσὶς σὺν τοῖς ἐπικειμένοις αὐτῇ ἔθνεσιν, Βακτριανή, Ὑρκανία, Βαβυλωνία, Κορδυλία, Ἀσσυρία, Μεσοποταμία, Ἀραβία ἡ ἀρχαία, Ἐλυμαΐς, Ἰνδική, Ἀραβία ἡ εὐδαίμων, <Κοίλη Συρία>, Κομμαγηνή, καὶ ἡ Φοινίκη ἥπερ ἐστὶ τῶν υἱῶν τοῦ Σήμ. 196. [Τοῦ δὲ Χὰμ τοῦ δευτέρου υἱοῦ Νῶέ ἐστιν ἡ κατοικία ἀπὸ Ῥινοκορούρων τῆς ὁριζούσης Συρίαν καὶ Αἴγυπτον καὶ Αἰθιοπίαν ἕως Γαδείρων.] 197. [Τοῦ δὲ Ἰάφεθ τοῦ τρίτου υἱοῦ Νῶε ἀπὸ Μηδίας ἕως Γαδείρων τὰ πρὸς βορρᾶν μέρη καὶ νῆσοι ἐπίκοινοι.]

198. Αἱ πᾶσαι ἐκ τῶν τριῶν τοῦ Νῶε ὁμοῦ φυλαὶ οβ'. 199. Τὰ δὲ ἔθνη, ἃ διέσπειρε κύριος ὁ θεὸς ἐπὶ προσώπου πάσης τῆς γῆς ἐν ταῖς ἡμέραις Φαλὲκ καὶ Ἰεκτὰν τῶν δύο ἀδελφῶν κατὰ τὰς ἰδίας γλώσσας αὐτῶν ἐν τῇ πυργοποιίᾳ, ὅτε συνεχύθησαν αἱ γλῶσσαι αὐτῶν, ἐστὶ ταῦτα· 200. Ἑβραῖοι οἱ καὶ Ἰουδαῖοι, Ἀσσύριοι, Χαλδαῖοι, Μῆδοι, Πέρσαι, <Ἄραβες πρῶτοι καὶ δεύτεροι>, Μαδιηναῖοι πρῶτοι καὶ δεύτεροι, Ἀδιαβηνοί, Ταιηνοί, Σαλαμοσηνοί, Σαρακηνοί, Μάγοι, Κάσπιοι, Ἀλβανοί, Ἰνδοὶ πρῶτοι καὶ β', Αἰθίοπες πρῶτοι καὶ δεύτεροι, Αἰγύπτιοι καὶ Θηβαῖοι, Λίβυες [πρῶτοι καὶ β'], Χετταῖοι, Χαναναῖοι, Φερεζαῖοι, Εὐαῖοι, Ἀμορραῖοι, Γεργεσαῖοι, Ἰεβουσσαῖοι, Ἰδουμαῖοι, Σαμαρρεῖοι, Φοίνικες, Σύροι, Κίλικες οἱ καὶ Θαρσεῖς, Καππάδοκες, Ἀρμένιοι, Ἴβηρες, Βιβρανοί, Σκύθαι, Κόλχοι, Σαῦνοι, Βοσπορανοί, Ἀσιανοί, Ἴσαυροί, Λυκάονες, Πισίδες, Γαλάται, <Παφλαγόνες, Φρύγες>, Ἕλληνες οἱ καὶ Ἀχαῖοι, Θεσσαλοί, Μακεδόνες, Θρᾷκες, Μυσοί, Βεσσοί, Δάρδανοι, Σαρμάται, Γερμανοί, Παννόνιοι οἱ καὶ Παίονες, Νωρικοί· Δελμάται, Ῥωμαῖοι οἱ καὶ Λατῖνοι καὶ Κιτιαῖοι, Λίγυρες, Γάλ<λ>οι οἱ καὶ Κελταῖοι, Ἀκυατινοί, Βριτανοί, Σπάνοι <οἱ> καὶ Τυρρηνοί, Μαῦροι, Μακουακοί, Γαίτυλοι, Ἄφροι, Μάζικες, Ταράμαντες οἱ ἐξώτεροι, Σποράδες, Κελτίονες, Ταράμαντες ἐσώτεροι, οἳ ἕως τῆς Αἰθιοπίας ἐκτείνουσι. 201. Ταῦτα τὰ ἔθνη, ἃ διέσπειρε κύριος ὁ θεὸς ἐπὶ προσώπου πάσης τῆς γῆς κατὰ τὰς ἰδίας γλώσσας αὐτῶν ἐν ταῖς φυλαῖς αὐτῶν καὶ ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν ταῖς πόλεσιν αὐτῶν.

202. Ἀναγκαῖον δὲ ἡγησάμην καὶ τὰς ἀποικίας αὐτῶν τῶν ἀγνώστων ἐθνῶν καὶ τὰς προσηγορίας αὐτῶν δηλῶσαί σοι καὶ τὰ κλίματα αὐτῶν, πῶς οἰκοῦσι καὶ ποῖον ἔθνος πλησίον τίνος ἐστίν, ὅπως μηδὲ καὶ τούτων ἄπειρος ὑπάρχῃς. 203. Ἄρξομαι δὲ διαγράφειν ἀπὸ ἀνατολῆς καὶ μέχρι δύσεως <κατὰ τάξιν>. 204. Τῶν Περσῶν καὶ Μήδων ἄποικοι γεγόνασι Πάρθοι καὶ τὰ πέριξ ἔθνη τῆς Εἰρήνης ἕως τῆς Κοίλης Συρίας. 205. Ἀράβων δὲ ἄποικοι γεγόνασιν Ἄραβες οἱ εὐδαίμονες· τούτῳ γὰρ τῷ ὀνόματι προσαγορεύεται εὐδαίμων Ἀραβία. 206. Χαλδαίων δὲ ἄποικοι γεγόνασιν οἱ Μεσοποταμῖται. 207. Μαδιηναίων δὲ ἄποικοι γεγόνασιν οἱ Κιναιδοκολπῖται <καὶ Τρωγλοδύται> καὶ Ἰχθυοφάγοι. 208. Ἑλλήνων δὲ ἔθνη καὶ προσηγορίαι εἰσὶ πέντε· Ἴωνες, Ἀρκάδες, Βοιωτοί, Αἰολεῖς, Λάκωνες. 209. Τούτων δὲ ἄποικοι γεγόνασι· Ποντικοὶ καὶ Βιθυνοί, Τρῶες, Ἀσιανοί, Κᾶρες, Λύκιοι, Πάμφυλοι, Κυρηναῖοι, καὶ νῆσοι δὲ πλεῖσται αἱ καλούμεναι Κυκλάδες ια', αἳ τὸ Μυρταῖον πέλαγος περιέχουσιν. 210. εἰσὶ δὲ αὗται· Ἄνδρος, Τῆνος, Τήω, Νάξος, Κέως, Κοῦρος, Δῆλος, Σίφνος, Νήρεα, Κύρνος, Μαραθὼν [ὁμοῦ ια']. 211. Εἰσὶ δὲ αὐτοῖς καὶ ἕτεραι νῆσοι μείζονες ιβ', αἵτινες καὶ πόλεις ἔχουσι πλείστας αἱ καλούμεναι Σποράδες, ἐν αἷς ἀπῳκίσθησαν Ἕλληνες. 212. Εἰσὶ δὲ αὗται· Εὔβοια, Κρήτη, Σικελία, Κύπρος, Κῶος, Σάμος, Ῥόδος, Χίος, Θάσος, Λῆμνος, Λέσβος, Σαμοθράκη· [ὁμοῦ ιβ']. 213. Ἐστὶν οὖν ἀπὸ τῶν Βοιωτῶν Εὔβοια

ὥσπερ ἀπὸ τῶν Ἰώνων Ἰωνίδες πόλεις ις' ὀνομασταί. 214. Εἰσὶ δὲ αὗται· Κλαζομεναί, Μιτυλήνη, Φωκ<α>ία, Πριήνη, Ἐρυθραί, Σάμος, Τέως, Κολοφών, Χίος, Ἔφεσος, Σμύρνα, Πέρινθος, Βυζάντιον, Χαλκηδών, Πόντος, Ἀμισὸς ἐλευθέρα. [πᾶσαι ις']. 215. Ῥωμαίων δὲ τῶν καὶ Κιτιέων [τῶν καὶ Λατίνων κεκλημένων] ἔθνη καὶ ἀποικίαι εἰσὶν ἑπτά· <Τοῦσκοι>, Αἰμηλίσιοι, Σικηνοί, Κα<μ>πανοί, Ἀπουλούσιοι, Καλαβροί, Λουκανοί. 216. Ἄφρων δὲ ἔθνη καὶ ἀποικίαι εἰσὶ πέντε· Νεβληνοί, Κνίθιοι, Νούμιδες, Σαῖοι, Νασαμόνες. 217. εἰσὶ δὲ αὐτοῖς καὶ νῆσοι πέντε πόλεις ἔχουσαι· Σαρδανία, Κόρσι<κ>α, Γίρβα, Κέρκινα, Γαλάτη. 218. Μαύρων δὲ ἔθνη καὶ ἀποικίαι εἰσὶ τρεῖς· Μοσσουλαμοί, Τι<γγι>τανοί, Καισαρηνσεῖς. 219. Σπάνων δὲ τῶν καὶ Τυρρηναίων, καλουμένων δὲ Ταρακωννησίων ἔθνη καὶ ἀποικίαι εἰσὶ πέντε· Λυσιτανοί, Βαιτικοί, Αὐτρίγονοι, Βάσκωνες, Καλλαϊκοὶ οἱ καλούμενοι Ἄσπορες. 220. Γάλλων δὲ τῶν καὶ Να<ρ>βουδησίων καλουμένων ἔθνη καὶ ἀποικίαι εἰσὶ τέσσαρες· Λουγδουνοί, Βελσικοί, Σικανοί, Ἔδνοι. 221. Γερμανῶν δὲ ἔθνη καὶ ἀποικίαι εἰσὶ πέντε· Μαρκόμανοι, Βάρδουλοι, Κουᾶδροι, Βέρδηλοι, Ἑρμόνδουλοι. 222. Σαρματῶν δὲ ἔθνη καὶ ἀποικίαι εἰσὶ δύο· Ἀμαξόβιοι καὶ Γρικοσαρμάτα<ι>. 223. Ταῦτα τὰ ἔθνη καὶ αἱ ἀποικίαι αὐτῶν.

224. Καὶ τοῦτο δὲ ἀναγκαῖον ἔδοξέ μοι δηλῶσαί σοι· τὰ κλίματα τῶν ἀγνώστων ἐθνῶν καὶ τὰ ὀνομαστὰ ὄρη καὶ τοὺς ἐπισήμους ποταμοὺς τοὺς ἀποχέοντας εἰς τὴν θάλασσαν, ὅπως μηδὲ τούτων ἄπειρος ὑπάρχῃς. 225. Ἄρξομαι οὖν λέγειν περὶ τῶν ἀγνώστων ἐθνῶν ἀπὸ ἀνατολῶν καὶ μέχρι δυσμῶν, πῶς οἰκοῦσι. 226. Ἀδιαβηνοὶ πέραν τῶν Ἀράβων, Ταϊνοὶ καταντικρὺς αὐτῶν, 227. Ἀλαμοσινοὶ <δὲ πέραν τῶν Ἀράβων, 228. Σακκηνοὶ> δὲ πέραν τῶν Ταϊνῶν, 229. Ἀλβανοὶ δὲ πέραν τῶν Κασπίων πυλῶν, 230. Μαδιηναῖοι δὲ οἱ μείζονες οἱ πολεμηθέντες ὑπὸ Μωϋσέως ἐντὸς τῆς ἐρυθρᾶς θαλάσσης οἰκοῦσιν· 231. ἡ γὰρ μικρὰ Μαδιὰμ πέραν ἐστὶ τῆς ἐρυθρᾶς θαλάσσης, ὅπου ἐβασίλευσε Ῥαγουὴλ καὶ Ἰώθωρ ὁ πενθερὸς Μωϋσέως. 232. Καὶ πέραν δὲ τῶν Καππαδόκων εἰς τὰ δεξιὰ μέρη οἰκοῦσιν Ἀρμένιοι καὶ Ἴβηρες καὶ Βηρανοί, εἰς δὲ τὰ εὐώνυμα μέρη οἰκοῦσι Σκύθες καὶ Κόλχοι καὶ Βοσπορανοί, 233. Σαῦνοι δὲ οἱ λεγόμενοι Σάνιγγες, οἱ ἕως τοῦ Πόντου ἐκτείνοντες, ὅπου ἐστὶ παρεμβολὴ. Ἄψαρος <καὶ Σεβαστόπολις> καὶ Ὕσσου λιμὴν καὶ Φάσις ποταμός. 234. Καὶ ἕως Τραπεζοῦντος οἰκοῦσι καὶ παρεκτείνεται τὰ ἔθνη ταῦτα.

235. Ὄρη δὲ ὀνομαστά εἰσιν ἐν τῇ γῇ δώδεκα· Λίβανος ἐν τῇ Συρίᾳ μεταξὺ Βύβλου καὶ Βηρυτοῦ, Καύκασος ἐν τῇ Σκυθίᾳ, Ταῦρος ἐν τῇ Κιλικίᾳ καὶ Καππαδοκίᾳ, Ἄτλας ἐν τῇ Λιβύῃ ἕως τοῦ μεγάλου ποταμοῦ, Παρνασὸς ἐν τῇ Φωκίδι, Κιθαιρὼν ἐν τῇ Βοιωτίᾳ, Ἑλικὼν ἐν τῇ Τελμισῷ, Παρθένιον ἐν τῇ Εὐβοίᾳ, Ναυσαῖον τὸ καὶ Σινᾶ ἐν τῇ Ἀραβίᾳ, Λυκάβαντος ἐν Ἰταλίᾳ καὶ

Γα<λ>λίᾳ, Πίνιον ὁ καὶ Μίμας ἐν τῇ Χίῳ, Ὄλυμπος ἐν τῇ Μακεδονίᾳ.

236. Δεδειγμένων οὖν τῶν ὀνομάτων τῶν δώδεκα ὀρέων τῆς γῆς ἀναγκαῖόν ἐστι καὶ τοὺς ἐπισήμους ποταμοὺς δηλῶσαί σοι. 237. Ποταμοὶ οὖν εἰσιν ὀνομαστοὶ τεσσαράκοντα ἐν τῇ γῇ οὗτοι· Ἰνδὸς ὁ καλούμενος Φισών, Νεῖλος ὁ καλούμενος Γηών, Τίγρις, Εὐφράτης, Ἰορδάνης, Κηφισσός, Τάναϊς, Ἰσμηνός, Ἐρύμανθος, Ἅλυς, Αἰσωπός, Θερμώδων, Ἐρασῖνος, Ῥεῖος, Βορυσθένης, Ἀλφειός, Ταῦρος, Εὐρώτας, Μέανδρος, Ἄξιος, Πύραμος, Ὀρέντης, Ἕβρων, Σαγγάριος, Ἀχελῷος, Πινειός, Εὔηνος, Σπερχιός, Κάϋστρος, Σιμόεις, Σκάμανδρος, Στρυμών, Παρθένιος, Ἴστρος, Ῥῆνος, Βαίτης, Ῥόδανος, Ἠριδανός, Βαῖος, Θούβηρος ὁ νῦν καλούμενος Τιβέρης· ὁμοῦ ποταμοὶ μ′.

238. Οὗτοι οὖν οἱ ποταμοὶ περιεχόμενοι τῇ γῇ. 239. Φασὶ δέ τινες δοκοῦντες ἔμπειροι εἶναι, ὅτι οἱ πρῶτοι δ′ οἱ μεγάλοι ποταμοὶ οἷον Φισὼν Γηὼν Τίγρις Εὐφράτης ἀκατάληπτοι μέν εἰσι, πόθεν ἢ πῶς ἐξέρχονται, μὴ εἰδέναι τινά. λέγουσι δὲ τοῦτο, ὅτι, ὅτε πλημμυρεῖ Γηὼν ὁ καλούμενος Νεῖλος ὁ ποτίζων πᾶσαν γῆν Αἰγύπτου καὶ Αἰθιοπίας, οἱ τρεῖς ἄλλοι λήγουσι, ἐπὰν δὲ οὗτος μειωθῇ, ἐκεῖνοι ὑπερυψοῦνται τοῖς νάμασιν. Διὸ καὶ τὰ ὕδατα αὐτοὶ ὁμοχροοῦσιν· ὁ γὰρ Ἰορδάνης λευκώπιδα σύρει τὰ κύματα καὶ ἀποχέει ἐν τῇ πρασίᾳ θαλάσσῃ, ἥτις καλεῖται νεκρά.

240. Δεδειγμένων οὖν τούτων τὸ φιλομαθὲς καὶ σπουδαῖον ἀγάμενος τῆς σῆς ἀγάπης, ἀδελφὲ τιμιώτατε, ἔδοξέ μοι καὶ τὸν τῆς μεγάλης θαλάσσης σταδιασμὸν ἢ περίπλουν δηλῶσαί σοι ἐπακριβέστατα, ὅπως καὶ τούτων ἀναγνοὺς ἔμπειρος ἔσῃ, ἀρξάμενος ἀπὸ Ἀλεξανδρείας τῆς Φαρίτιδος ἕως Διοσκουρίδος τῆς ἐν τῷ Πόντῳ κειμένης, καὶ τῆς Εὐρώπης ἀπὸ Ἱεροῦ τῆς πρὸς τῇ Χαλκηδόνι κειμένης μέχρις Ἡρακλεωτικῶν στηλῶν καὶ Γαδείρων, θέλων πάντας ἀνθρώπους ὠφελεῖν. ἐμφανιῶ δὲ καὶ τὰς διαιρέσεις ἀπὸ τῆς Ἀσίας πρὸς τὴν Εὐρώπην γράψας ὧδε καὶ τῶν νήσων τὰ ἐπ′ ἀλλήλων διαστήματα, πόσαι τέ εἰσι καὶ τίνες φαίνονται ἐν τῷ πλέειν αὐτὰς καὶ ὁπηλίκαι εἰσὶ καὶ τίσιν ἀνέμοις χρῶνται καὶ ποῖος ὁ πλοῦς, δείξω σοι κατὰ ἀλήθειαν. 241. Σταδιασμὸς τῆς θαλάσσης. 242. Ἀπὸ Ἀλεξανδρείας εἰς Χερσόνησον· λιμήν ἐστι· στάδιοι β′. 243. Ἀπὸ Χερσονήσου εἰς Δυσμάς· λιμήν ἐστι ἀγωγῆς χιλίων οὐ μείζων ζ′ <στάδιοι ;>. 244. Ἀπὸ Δυσμῶν εἰς Πλινθίνην· σάλος ἐστίν· ὁ τόπος ἀλίμενος· στάδιοι ϛ′. 245. Ἀπὸ Πλινθίνης ἐπὶ Ταπόσιριν· πόλις ἐστὶν ἀλίμενος· ἱερὸν τοῦ Ὀσίριδος· στάδιοι ζ′. 246. Ἀπὸ Ταποσίρεως ἐπὶ τὸ Χίω· κώμη ἐστίν· βράχη ἐπιφαινόμενα· στάδιοι ζ′. 247. Ἀπὸ τοῦ Χίω ἐπὶ τὸν Γλαῦκον· στάδιοι π′. 248. Ἀπὸ τοῦ Γλαύκου εἰς Ἀντίφρας· σάλος ἐστὶν ὁ τόπος· στάδιοι π′. 249. Ἀπὸ τὸ Ἄντιφρον ἐπὶ τὸ Δέρρον· ὕφορμός ἐστι θερινοῦ καὶ ὕδωρ ἔχει· στάδιοι ζ′. 250. Ἀπὸ τῆς Δέρρας εἰς τὸ Ζέφυρον· λιμὴν ἐστι καὶ σάλος ἔχει· στάδιοι υ′. 251. Ἀπὸ τοῦ

Ζεφύρου εἰς Πεζώνην στάδιοι ρι′. ἀπὸ σταδίων ταύτης σκόπελός ἐστι καὶ καλεῖται Μύρμηξ· καὶ ἀκρωτήριον καὶ καλεῖται Τραχεῖα. 252. Ἀπὸ Πεζώνης εἰς τὸν Πνιγέα στάδιοι ζ′· ἀκρωτήριόν ἐστιν ταπεινόν· εἰσάγου δεξιῶς εἰς τὸν πλαταμῶνα. 253. Ἀπὸ τοῦ Πνιγέως εἰς τὸν Φοινικοῦντα στάδιοι ρμ′· νησία εἰσὶ Δίδυμα· ὕφορμος ὑπ′ αὐτά· βάθος φορτηγοῖς· ὕδωρ ἔχει λακκαῖον ἐν τῇ φάραγγι. 254. Ἀπὸ Φοινικοῦντος ἐπὶ τὰ Ἑρμαῖα στάδιοι ζ′· ἐκ δεξιῶν τὴν ἄκραν ἔχων ὁρμίζου· ὕδωρ ἔχει ἐπὶ τοῦ πύργου. 255. Ἀπὸ Ἑρμαίων ἐπὶ Λευκὴν ἀκτὴν στάδιοι κ′· νησίον παράκειται ἐκεῖ ταπεινόν, ἀπέχων ἀπὸ τῆς γῆς σταδίους β′· ὕφορμός ἐστι φορτηγοῖς τοῖς ἀφ′ ἑσπέρας ἀνέμοις· ἐν δὲ τῇ γῇ ὑπὸ τὸ ἀκρωτήριον ὅρμος ἐστὶ μακρὸς παντοίαις ναυσίν· ἱερὸν Ἀπόλλωνος, ἐπίσημον χρηστήριον· καὶ ὕδωρ ἔχει παρὰ τὸ ἱερόν. 256. Ἀπὸ Λευκῆς ἀκτῆς ἐπὶ Ζύγριν στάδιοι ζ′· νησίον ἐστίν· εὐώνυμον προσορμίζου· ὕδωρ ἔχει ἐν τῇ ἄμμῳ. 257. Ἀπὸ Ζύγρεως εἰς Λαδαμαντίαν στάδιοι κ′· νῆσος ἱκανὴ παράκειται μεγάλη· αὐτὴν ἔχων δεξιὰν κατάγου· λιμήν ἐστι παντὶ ἀνέμῳ· ὕδωρ ἔχει. 258. Ἀπὸ Λαδαμαντίας ἐπὶ τὰ Καλαμαίου στάδιοι μ′. ἀκρωτήριόν ἐστι ἔχων σκόπελον ἐκ δεξιῶν αὐτοῦ ὕφορμον. 259. Ἀπὸ τῶν Καλαμαίου ἐπὶ Γραίας γόνυ στάδιοι θ′· ἄκρα ἐστὶ τραχεῖα ἔχουσα ἐπὶ τοῦ ὑψηλοῦ σκόπελον, ἐπὶ δὲ τῆς γῆς δένδρον· ὅρμος ἐστὶ καὶ ὕδωρ ἔχει ὑπὸ <τὸ> δένδρον· φυλάσσου νότον. 260. Ἀπὸ Γραίας γόνατος ἐπὶ τὸν Ἄρτον στάδιοι ρκ′· ἀκρωτήριόν ἐστι τραχὺ οὐκ ἔχων ὕφορμον καὶ ἐπὶ τοῦ ἀκρωτηρίου ταῦροι δύο ὡς νῆσοι ἀνατείνοντες εἰς τὸ πέλαγος· ταύτην κάμψας ὄψει τὴν πόλιν Παραιτόνιον. 261. Γίνονται ὁμοῦ οἱ πάντες ἀπὸ Ἀλεξανδρείας εἰς Παραιτόνιον στάδιοι ͵αφν′. 262. Ἀπὸ Παραιτονίου εἰς Δελφῖνας στάδιοι ζ′. 263. Ἀπὸ Δελφῖνας ἐπὶ τὸ Ζεφύριν στάδιοι ζ′· νῆσοί εἰσι δύο καὶ ἀκρωτήριον· λιμήν ἐστι παντὶ ἀνέμῳ· καὶ ὕδωρ ἔχει. 264. Ἀπὸ τοῦ Ζεφύρου καὶ τῶν Δελφίνων ἐπὶ τὸν Ἆπιν στάδιοι λ′· κώμη ἐστί· ταύτην πλέεις σταδ κ′· ὅρμος ἐστίν· ὕδωρ ἔχει ἐν τῇ κώμῃ. 265. Ἀπὸ τοῦ Ἄπιος εἰς Νήσους στάδιοι ζ′. 266. Ἀπὸ τῶν Νήσων εἰς Λινύδας στάδιοι ο′· ἄκρα ἐστὶν ἔχουσα ὕφορμον· ἔχει δὲ ἐκ δεξιῶν βράχη· καθορῶν τὸ βράχος κατάγου. 267. Ἀπὸ Λινύδος ἐπὶ Ἀζὺ στάδιοι ν′. 268. Ἀπὸ τῆς Ἀζὺ ἐπὶ Δαρείου στάδιοι ρκ′· σκόπελοί εἰσιν· ὑπὸ τούτους ἐστὶ φορτηγοῖς ἀγκυροβολία. 269. Ἀπὸ <τῶν Δαρείου> σκοπέλων ἐπὶ τὸ Χαυταῖον στάδιοι ρμ′· ὕφορμός ἐστι πλοίοις μικροῖς· ὕδωρ ἔχει πηγαῖον ἀνακτὸν ἐν τοῖς ἀγροῖς. 270. Ἀπὸ τοῦ Χαυταίου ἐπὶ Ζυγρὰς στάδιοι ρμ′. 271. Ἀπὸ Ζυγρῶν εἰς Ἐννησύφοραν στάδιοι σ′· ὕφορμός ἐστι θερινός· ὕδωρ ἔχει ἐν τῇ ἄμμῳ καὶ ἐπὶ θαλάσσης σκόπελον. 272. Ἀπὸ Ἐννησυφόρας εἰς Καβάθλιον στάδιοι ρκ′· χώρα ἐστὶν ὑψηλή. λιμήν ἐστι παντὶ ἀνέμῳ· ὕδωρ ἔχει ἐν τῇ πρώτῃ νάπῃ εἰς τὸ πρὸς νότον μέρος ἐν τῷ φρουρίου ὄμβριον. 273. Ἀπὸ Καβαθλίου εἰς Πετράοντα στάδιοι ρν′. παραπλεύσας ὡς σταδίους λ′ ὄψει παρεμφαίνουσαν ἄκραν ὑψηλὴν καὶ μεγάλην· κατ′

αὐτὴν ὄψει εἰς σάλον καὶ λίμνην μεγάλην· ἐκ δὲ τῶν εὐωνύμων χειροποίητος ὅρμος ἐστίν· ἔχει δὲ ὕδωρ ὑπὸ τὴν συκῆν· διὸ καὶ ὁ τόπος Συκὴ καλεῖται. [Γίνονται ὁμοῦ ἀπὸ Ἀλεξανδρείας ἕως Πετρεύοντος στάδιοι ͵ας'. Λοιπὸν Μαρμαρική.] 274. Ἀπὸ Συκῆς εἰς Πάνορμον στάδιοι λ'· νάπη ἐστὶ βαθεῖα· ὕδωρ ἔχει ὑπὸ τὰς συκᾶς πάνυ καλόν. 275. Ἀπὸ Πανόρμου ἐπὶ τὴν Εὔρειαν στάδιοι ν'· φάραγξ ἐστί, ἔσω δὲ αἰγιαλὸς καὶ ἐπ' αὐτοῦ συκαῖ. ὅρμος ἐστὶ καλός· ὕδωρ ἔχει γλυκύ. 276. Ἀπὸ Εὐρείας ἐπὶ τὸν Πετρεύοντα <στάδιοι μ'>· ὕδωρ ἔχει πολὺ ἐν ἑκατέροις τοῖς μέρεσιν. 277. Ἀπὸ Πετρεύοντος ἐπὶ τὴν Κάρδαμιν στάδιοι ρν'· ὅρμος ἐστίν· ἄκρα ἀπολήγουσα, σκοπὰς ἔχουσα· ὁρμίζου ἐπ' αὐτὴν τοῖς ἄνωθεν ἀνέμοις· ὕδωρ ἔχει ἐν ταῖς ἠπείροις. 278. Ἀπὸ τῆς Καρδάμ[ωσ]εως εἰς Μενέλαον στάδιοι ρ'· λιμήν ἐστιν· ὕδωρ ἔχει πλατὺ ἐν τῇ ἄμμῳ. 279. Ἀπὸ Μενελάου εἰς Κατανέας στάδιοι ο'· προσφερόμενος ὄψει θῖνα λευκήν· ὕδωρ ἔχει πλατὺ ἐν τῇ ἄμμῳ. 280. Ἀπὸ Κατανέων εἰς Πυρθμάνιον στάδιοι ρν'· ἀπὸ σταδίων ὀκτὼ παράπλεε — ἔχει γὰρ βράχη ὑψηλά —· ἔχει καὶ ὕδωρ. 281. Ἀπὸ Πυρθμανίου εἰς Ἀντίπυργον στάδιοι σκ'· ὅρμος ἐστὶ θερινός· νῆσος δέ ἐστι καὶ κατ' αὐτὴν πύργος· ἱερὸν τοῦ Ἄμμωνος· ὕδωρ ἔχει ἐν τῷ αἰγιαλῷ τῷ ἐξ ἐναντίας. 282. <Ἀπὸ Ἀντιπύργου εἰς τὸν Μικρὸν Πετρεύοντα στάδιοι*.> 283. Ἀπὸ τοῦ Μικροῦ Πετρεύοντος εἰς τὸν Βάτραχον στάδιοι λ'· ὑφορμός ἐστι θερινός· ἄκρα ἐστὶ σκοπὰς ἔχουσα· ἔχει ὕδωρ πολὺ ἐν τῇ νάπῃ. 284. Ἀπὸ τοῦ Βατράχου εἰς Πλατέαν στάδιοι σν'· πρὸς τῷ πελάγει κεῖται νῆσος καλουμένη Σιδωνία — ἔχει ὕφορμον θερινὸν φορτηγοῖς — ἀπὸ σταδίων λ'· ἔχει δὲ ὕδωρ πρὸς τῇ γῇ ἐν τῷ πύργῳ. 285. Ἀπὸ Πλατέος εἰς τὸ Παλίουρον <στάδιοι*>· ὕδωρ ἔχει πλατύ. 286. Ἀπὸ τοῦ Παλιούρου εἰς τὴν Φαίαν στάδιοι ς'· ὕδωρ ἔχει συνακτὸν ἀπὸ σταδίων ιε'. 287. Ἀπὸ τὴν Φαίας εἰς τὸν Διόνυσον στάδιοι ς'· ἐντεῦθεν <ἐν> ἀριστερᾷ κατάγου. 288. Ἀπὸ τοῦ Διονύσου εἰς Χερρόνησον στάδιοι ς'. 289. Ἀπὸ Χερρονήσου ἐπὶ τὴν Ἄζαριν στάδιοι ρ'. ἐντεῦθεν ἀναχθεὶς παράπλεε· πέτραι εἰσὶν ὑψηλαί· ὕδωρ ἔχει καὶ ποταμὸν μέγαν. 290. Ἀπὸ τῆς Ἀζάριδος παραπλεύσαντι τὰ παράγαια εἰς Ζαρινὴν στάδιοι ρν'. 291. Ἀπὸ Ζαρινῆς ἐπὶ τὸ Ζεφύριον στάδιοι ρν'· ἄκρα ἐστὶ δασεῖα· ὑφορμός ἐστι θερινός. 292. Ἀπὸ τοῦ Ζεφυρίου εἰς Χέρσιν στάδιοι ο'· ἀναμέσον τοῦ Ζεφυρίου καὶ τοῦ Χερσίου ἀπέχων σταδίους ι' ἔστιν ὅρμος Ἀφροδισίας καλούμενος· ἔστι δ' ἐπ' αὐτῷ ἱερὸν Ἀφροδίτης. 293. Ἀπὸ τοῦ Χερσίου ἐπὶ τὸ Ἐρυθρὸν στάδιοι ς'· κώμη ἐστίν. 294. Ἀπὸ τοῦ Ἐρυθροῦ εἰς Ναύσταθμον στάδιοι ο'· σάλος ἐστὶ ἀνατείνων· ὕδωρ ἔχει ἐν τῇ ἄμμῳ. 295. Ἀπὸ Ναυστάθμου εἰς Ἀπολλωνιάδα στάδιοι ρκ'. 296. Πάντες ὁμοῦ ἀπὸ Παραιτονίου εἰς Ἀπολλωνιάδα στάδιοι ͵γφν'.

[Λοιπὸν Κυρήνη.]

297. Ἀπὸ Ἀπολλωνιάδος εἰς Φοινικοῦντα στάδιοι ρ'· κώμην ἔχει· ὁρμίζουσι ὑπ' αὐτοῖς τοῖς ἀφ' ἑσπέρας ἀνέμοις· ὅρμος ἐστὶ θερινός· ἔχει ὕδωρ. 298. Ἀπὸ Φοινικοῦντος εἰς Ναυσίδα στάδιοι ρς'· κώμη ἐστίν· ἔχει ὕδωρ ἐν τῷ αἰγιαλῷ. 299. Ἀπὸ Ναυσίδος εἰς Πτολεμαΐδα στάδιοι σν'· πόλις ἐστὶ μεγίστη· ἐπίσαλός ἐστιν ὁ τόπος καὶ νῆσον ἔχει· Ἴλος καλεῖται· ἀσφαλίζου. 300. Ἀπὸ Πτολεμαΐδος εἰς Τεύχειρα στάδιοι σν'· πόλις ἐστὶ Πενταπόλεως ἀρχαία· αὕτη καλεῖται Ἀρσινόη. 301. Ἀπὸ Τευχείρων εἰς Βερνικίδα στάδιοι τν'. Ὁ πλοῦς κάμπτεται· πλεύσας ἐς σταδίους ς' ὄψει ἀκρωτήριον προτεῖνον πρὸς ἑσπέραν· παράκειται δὲ βράχη μετέωρα· φυλάσσου παραπλέων· ὄψει δὲ νησίον ταπεινὸν μέλαν[ον]· Βραχέα καλεῖται τὸ ἀκρωτήριον· εἰς τὰ εὐώνυμα ἔχει ὅρμον πλοιαρίοις μικροῖς. 302. Οἱ πάντες ὁμοῦ ἐξ Ἀπολλωνιάδος εἰς Βερενικίδα στάδιοι ͵αρν'.

[Λοιπὸν Σύρτις Κυρηναίων.]

303. Ἀπὸ Βερενικίδος εἰς Ῥίνον στάδιοι ξ'. 304. Ἀπὸ Ῥίνον ἐπὶ τὸν Πῖθον στάδιοι ι'. 305. Ἀπὸ τοῦ Πίθου ἐπὶ Θεοτιμαῖον στάδιον α'· ὅρμος ἐστὶ θερινός· αἰγιαλὸς βαθύς. 306. Ἀπὸ Θεοτιμαίου ἐπὶ τὰς Ἅλας στάδιοι ψι'· αἰγιαλός ἐστιν. 307. Ἀπὸ τῶν Ἁλῶν ἐπὶ τὸ Βόρειον στάδιοι ν'· ἀκρωτήριόν ἐστι ἔχον ὕφορμον. 308. Ἀπὸ τοῦ Βορείου εἰς Χέρσιν στάδιοι ρμ'· ὅρμος ἐστὶ τοῖς ἐτησίοις· ὕδωρ ἔχει ἐπὶ τοῦ φρουρίου.

[Σύρτις Κυρήνης.]

309. Ἀπὸ τοῦ Χερσίου ἐπὶ τὴν Ἀμάστορος στάδιοι ρι'. 310. Ἀπὸ τῆς Ἀμάστορος ἐπὶ τὸ Ἡράκλειον στάδιοι π'. 311. Ἀπὸ τοῦ Ἡρακλείου εἰς τὸ Δρέπανον στάδιοι ζ'· ἀκρωτήριόν ἐστιν ὑψηλὸν τοῦ Ἡρακλέους ἔχον θῖνα ἄμμου λευκῆς· ὕδωρ ἔχει. 312. Ἀπὸ τοῦ Δρεπάνου ἐπὶ τὸ Σεραπεῖον στάδιοι ρ'· παράδρομον ὄψει θῖνα λευκὴν μεγίστην, ἀφ' ἧς, ἂν ὀρύξῃς, ἕξεις ὕδωρ γλυκύ. 313. Ἀπὸ Σεραπείου εἰς Διαροάδα στάδιοι ν'. 314. Ἀπὸ Διαροάδος ἐπὶ τὸν Ἄπιν στάδιον α'· ὑφορμός ἐστιν. 315. Ἀπὸ δὲ τοῦ Σεραπείου ἐπὶ τὸν Καινὸν στάδιοι ρν'· φρούριόν ἐστιν ἔρημον· ὕδωρ ἔχει· ἔστι δὲ ἀλίμενος. 316. Ἀπὸ τοῦ Καινοῦ ἐπὶ τὸν Εὔσχοινον στάδιοι ο'· αἰγιαλός ἐστι βαθύς· βουνὸς δέ ἐστιν ἐν τῇ χώρᾳ περιφερής· ὕδωρ ἔχει. 317. Ἀπὸ Εὐσχοίνου ἐπὶ τοὺς Ὑφάλους στάδιοι ο'. νησίον ἐστὶν ὑπόσαλον· ἔχει δὲ καὶ αἰγιαλὸν βαθύν. 318. Ἀπὸ τῶν Ὑφάλων ἐπὶ τὸν Σκοπελίτην σταδ. π'· σκόπελός ἐστιν ἀπὸ τῆς γῆς σταδ. ιε' ὑψηλὸς ὅμοιος ἐλέφαντι. 319. Ἀπὸ τοῦ σκοπέλου πρὸς λίβα <ἐ>ν σταδίοις β' νῆσός ἐστιν ὑψηλή. Ποντία καλεῖται. 320. Ἀπὸ Ποντίας πρὸς μεσημβρίαν <ἐν> σταδίοις ζ' νῆσός ἐστι καλουμένη Μαῖα καὶ ὑπ' αὐτὴν ὕφορμος· ὕδωρ ἔχει ἀνακτόν. 321. Ἀπὸ τῆς Μαίας ἐπὶ τὸν Ἀστροχονδα στάδιοι ν'. 322. Ἀπὸ τοῦ Ἀστροχονδα ἐπὶ τὸν Κορκόδειλον στάδιοι π'· ὅρμος ἐστὶ θερινὸς καὶ ὕδωρ ἔχει ῥεύματα ἔχον. 323. Ἀπὸ τοῦ Κορκοδείλου

ἐπὶ τὸ Βόρειον στάδιοι πδ΄· κώμη ἐστί· φρούριον ἔρημον· ὅρμος καλὸς ἀπὸ λιβός· ὕδωρ ἔχει. 324. Ἀπὸ τοῦ Βορείου εἰς τὸ Ἀντιδρέπανον στάδιοι κ΄· ἀκρωτήριόν ἐστιν ὕδωρ ἔχον. 325. Ἀπὸ τοῦ Ἀντιδρεπάνου ἐπὶ τὸ Μένδριον στάδιοι ν΄· ἄνυδρός ἐστιν. 326. Ἀπὸ τοῦ Μενδρίου ἐπὶ τὸ Κοζύνθιον στάδιοι ρκ΄· ἄκρα ἐστὶ τραχεῖα· ὅρμος καλὸς ἄνυδρος δέ. 327. Ἀπὸ τοῦ Κοζυνθίου ἐπὶ Ἀμμωνίου Πηγὰς στάδιοι ρι΄· αἰγιαλός ἐστιν. 328. Ἀπὸ Ἀμμωνίου Πηγῶν εἰς Αὐτομάλακας στάδιοι ρπ΄. 329. Ἀπὸ Αὐτομαλάκων ἐπὶ Φιλαίνων βωμοὺς στάδιοι ρπε΄· ὅρμος ἐστὶ θερινὸς καλὸς καὶ ὕδωρ ἔχει. ἕως τούτου τοῦ ἀκρωτηρίου εἰσὶ Κυρηναίων ὄρη καὶ χώρα. 330. Οἱ πάντες ὁμοῦ ἀπὸ Βερενικίδος ἕως Φιλαίνων βωμῶν στάδιοι ͵β.

[Λοιπὸν Σύρτις μεγάλη.]

331. Ἀπὸ Φιλαίνων βωμῶν ἕως Ἵππου ἄκρας στάδιοι υ΄· ἀκρωτήριόν ἐστι τραχύ· ἔχει ὕφορμον καὶ ὕδωρ. 332. Ἀπὸ Ἵππου ἄκρας ἐπὶ τὸν Ἔπηρον στάδιοι τν΄· λιμήν ἐστι πλοίοις μικροῖς· ἔχει ὕδωρ· τοῦτό ἐστι φρούριον βαρβάρων. 333. Ἀπὸ Ἐπήρου ἐπὶ Κόρακα στάδιοι ρν΄. 334. Ἀπὸ Κόρακος εἰς Εὐφραντὰς στάδιοι σ΄· λιμήν ἐστι, καὶ ὕδωρ ἔχει. 335. Ἀπὸ Εὐφραντῶν ἐπὶ τὸν Δυσωπὸν στάδιοι ρν΄. 336. Ἀπὸ Δυσωποῦ ἐπὶ Ἀσπίδα στάδιοι τν΄. 337. Ἀπὸ Ἀσπίδος εἰς Ταριχαίας στάδιοι τν΄. 338. Ἀπὸ Ταριχαίων ἐπὶ Κεφαλὰς στάδιοι υ΄. 339. Προσφερόμενος ἐκ τοῦ πελάγους ὄψει χώραν ταπεινὴν νησία ἔχουσαν. ὅταν δὲ αὐτοῖς ἐγγίσῃς, ὄψει τὴν πόλιν παραθαλάσσιον καὶ θῖνα λευκὸν καὶ αἰγιαλόν· ἡ δὲ πόλις ἐστὶ λευκὴ ὅλη· λιμένα δὲ οὐκ ἔχει· ἀσφαλῶς ὁρμίζου ἐπὶ τοῦ Ἑρμαίου· αὕτη καλεῖται Λέπτης. 340. Οἱ πάντες ὁμοῦ ἀπὸ Φιλαίνων βωμῶν εἰς Λέπτην τὴν Μεγάλην στάδιοι ͵δϡ΄. 341. Ἀπὸ Λεπτέων ἐπὶ τὸν Ἑρμαῖον στάδιοι ε΄· ὅρμος ἐστὶ πλοίοις μικροῖς. 342. Ἀπὸ Ἑρμαίου εἰς Γάφαρα στάδιοι τ΄· ἄκρα ἐστὶν ἔχουσα ὅρμον ἐξ ἑκατέρων τῶν μερῶν· ἔχει ὕδωρ· καλεῖται <Αἱ>νεόσπορα· ἔστι γὰρ ὁμοία νήσῳ. 343. Ἀπὸ τῶν Γαφάρων ἐπὶ τὸν Ἀμαραίαν στάδιοι μ΄, πύργος ἐστὶν ὕφορμος· ὕδωρ ἔχει ποτάμιον· ἔστι δὲ γεώργιον πλησίον τοῦ ποταμοῦ. Οἰνολάδων ὁ ποταμὸς καλεῖται. 344. Ἀπὸ τοῦ Ἀμαραια ἐπὶ Μεγέρθιν στάδιοι μ΄· πόλις ἐστὶ καὶ λιμένα ἔχει καὶ ὕδωρ. 345. Ἀπὸ Μεγερθέων εἰς Μακαραίαν στάδιοι υ΄. 346. Ἀπὸ Μακαραίας εἰς Σαράθραν στάδιοι υ΄· πόλις ἐστὶν ἀλίμενος· σάλος ἔχει.

[Λοιπὸν Σύρτις μικρά.]

347. Ἀπὸ Ἀλάθρης ἐπὶ Λοκροὺς στάδιοι τ΄· κώμη ἐστὶ καὶ ὑπεράνω τῆς κώμης πύργος ὑψηλός. 348. Ἀπὸ Λοκρῶν ἐπὶ Ζεύχαριν στάδιοι τ΄· φρούριον ἔχον πύργον· ὁ δὲ πύργος* λιμήν ἐστιν ἐπίσημος. 349. Ἀπὸ Ζεύχαριν εἰς Γέργην στάδιοι τν΄· πύργος ἐστὶ καὶ φρούριον ἔχει καὶ λιμένα καὶ ὕδωρ. 350. Ἀπὸ Γεργέων εἰς Μήνιγγα στάδιοι ρν΄· πόλις ἐστὶν ἐπὶ νήσῳ· ἡ δὲ νῆσος ἀπέχει τῆς γῆς σταδίους η΄· ἔχει δὲ πόλεις ἱκανάς, μητρόπολις δέ ἐστιν. αὕτη οὖν ἐστιν ἡ τῶν Λωτοφάγων νῆσος. ἔστι δὲ ἐν αὐτῇ βωμὸς Ἡρακλέους· μέγιστος καλεῖται. ἔστι δὲ λιμὴν καὶ ὕδωρ ἔχει. 351. Οἱ πάντες ὁμοῦ ἀπὸ Λεπτέως εἰς Μήνιγγα στάδιοι ͵βτ΄. 352. Ἀπὸ Μήνιγγος εἰς τὴν Ἤπειρον στάδιοι σ΄· πόλις ἐστί, ἔχει δὲ καλὸν λιμένα καὶ ὕδωρ. 353. Ἀπὸ δὲ τῆς Γεργέων εἰς Κιδιφθαν στάδιοι ρπ΄· πόλις ἐστὶ καὶ λιμένα ἔχει. 354. <Ἀπὸ Κιδιφθης εἰς Τακάπην στάδιοι*>. 355. Ἀπὸ Τακάπης εἰς Νεάπολιν στάδιοι ρ΄· πόλις ἐστὶ καὶ λιμένα ἔχει. 356. <Ἀπὸ Νεαπόλεως εἰς Θύθναν στάδιοι*>. 357. <Ἀπὸ Θύθνης εἰς Ἀγχόλαν στάδιοι*>. 358. Ἀπὸ Ἀγχολῆς εἰς Ἁλιπόταν στάδιοι ρκ΄· 359. <Ἀπὸ Ἁλιπότης εἰς Θάψον στάδιοι*>. 360. Αὗται αἱ πόλεις λιμένας ἔχουσι, διὰ <δὲ> τὸ ἐπικεῖσθαι αὐταῖς βράχη εἰς ταύτας πλέουσι σύμμετρα πλοῖα. τῇ δὲ Ἀγχόλα καὶ τῇ Ἀλιπότα καὶ τῇ Κιδιφθᾶ ἐπίκειται Κέρκινα ἡ νῆσος ἀπέχουσα σταδίους ρκ΄· ἀπὸ δὲ τῆς Λωτοφάγων, ἥπερ ἐστὶ Μῆνιξ, ἐπὶ τὴν Κέρκιναν νῆσον διὰ πόρου στάδιοι ψν΄. ἀπὸ Θύθνης εἰς Κέρκιναν <νῆσον καὶ> πόλιν στάδιοι*. βράχη ἐστὶ φερόμενα πρὸς τὴν πόλιν. ἀπὸ Κερκίνης εἰς Θάψον στάδιοι ψ΄· ἔχει δὲ νῆσον καλὴν πελαγίαν κειμένην κατὰ Θάψον πρὸς βορρᾶν ἀπέχουσαν σταδίους π΄· ἔχει δὲ λιμένα καὶ ὕδωρ. αὗται αἱ νῆσοι περιέχουσι τὸ Ἰκάριον πέλαγος.

[Λοιπὸν Φοινίκη]

361. Ἀπὸ Θάψου εἰς Λέπτην τὴν μικρὰν στάδιοι ρο΄· πόλις μικρά ἐστιν. καταφανῆ ἔχει βράχη καὶ ἡ καταγωγή ἐστιν ἐπὶ τῇ πόλει δύσκολος πάνυ. 362. Ἀπὸ Λεπτέων εἰς Θέρμας στάδιοι ξ΄· κώμη ἐστί· τὸν δ' αὐτὸν τρόπον καὶ ὧδε βράχη ἐστὶ δυσκατάγωγα. 363. Ἀπὸ Θερμῶν πλεύσας σταδίους μ΄ ὄψει ἀκρωτήριον ἐπ' αὐτῷ ἔχον δύο νησία ἐσκολοπισμένα· ὕφορμός ἐστιν. 364. Ἀπὸ τοῦ ἀκρωτηρίου ὄψει Ἀδραμύτην τὴν πόλιν ἀπὸ σταδίων μ΄· ἀλίμενος. 365. Ἀπὸ Ἀδραμύτου ἐπὶ τὴν Ἀσπίδα στάδιοι φ΄· ἀκρωτήριόν ἐστιν ὑψηλὸν καὶ περιφανὲς οἷον ἀσπίς. ἐπ' αὐτὴν πλέε τὴν ἄρκτον παραφαίνων ἐξ εὐωνύμων· εἰσὶ γὰρ εἰς τὸ πέλαγος ἐκεῖνο βράχη πολλὰ καὶ τραχέα· εἶτα ἐκφανήσεταί σοι ἡ Ἀσπὶς καὶ ἐπ' αὐτῇ Νεάπολις. ἀπὸ τοῦ κόλπου Νεαπόλεως ἐπὶ τὴν Ἀσπίδα στάδιοι σ΄ [ὑψηλός ἐστιν ὁ τόπος καὶ ἐπ' αὐτῷ ἡ πόλις]. ἔχει λιμένα πρὸς ζέφυρον ἀπὸ σταδίων ι΄ ἀνώτερον τῆς πόλεως. 366. Ἀπὸ Ἀσπίδος <ἐπὶ τὴν Ἑρμαίαν ἄκραν στάδιοι*>. 367. <Ἀπὸ τῆς Ἑρμαίας ἄκρας ἐπὶ Μισούαν λιμένα στάδιοι*>. 368. <Ἀπὸ Μισούας λιμένος> ἐπὶ Θερμὰ στάδιοι ξ΄· κώμη ἐστὶ καὶ ἐπάνω τὰ θερμά. 369. Ἀπὸ τῶν Θερμῶν εἰς Κάρπην στάδιοι ρξ΄· πόλις ἐστὶ καὶ λιμένα ἔχει. 370. Ἀπὸ Κάρπην εἰς Μάξυλαν στάδιοι κ΄· πόλις ἐστὶ καὶ λιμένα ἔχει. 371. Ἀπὸ Μαξύλων εἰς τὸν Γαλάβραντα στάδιοι ν΄· ὅρμος ἐστὶν ἕως τῆς τῶν> ἀμμώδων ἀγωγῆς. 372. Ἀπὸ

τοῦ Γαλάβραντος εἰς Καρχηδόνα στάδιοι ρκ'· πόλις ἐστὶ μεγίστη καὶ λιμένα ἔχει, ἐν δὲ τῇ πόλει πύργος ἐστί· δεξιὰν ὁρμίζου ὑπὸ τὸ χῶμα. 373. Οἱ πάντες ὁμοῦ ἀπὸ Μήνιγγος τῆς τῶν Λωτοφάγων νήσου ἕως εἰς Καρχηδόνα στάδιοι φν'.

374. Ἀπὸ δὲ Καρχηδόνος εἰς Κάστρα Κορνηλίου στάδιοι τγ'· λιμήν ἐστι παραχειμαστικός, ἐν τούτῳ παραχειμάζει μεγάλα πλοῖα. 375. Ἀπὸ Κάστρων Κορνηλίου εἰς Οὔστικα στάδιοι κδ'· πόλις ἐστί· λιμένα οὐκ ἔχει ἀλλὰ σάλον ἔχει· ἀσφαλίζου. 376. Ἀπὸ Οὐστίκων * * * 377. <Ἀπὸ *> εἰς Καρνας στάδιοι κδ'· σάλος ἐστί· κοιτῶνας δὲ ἔχει πλοίοις μικροῖς· ἀσφαλῶς κατάγου. 378. Ἀπὸ Καρνων ἐπ' ἀκρωτήριον καλούμενον Βαλανέας στάδιοι σ'· 379. <Ἀπὸ Βαλανέων> ἐπὶ χωρίων <Βαλανεώτων στάδιοι*>. 380. Ἀπὸ ἀκρωτηρίου Βαλανέων ἐπ' ἀκρωτήριον Πάλτον στάδιοι ς'. 381. Ἀπὸ ἀκρωτηρίου Πάλτου κάμψαντες ἐπ' ἀκρωτήριον Βραγχίων στάδιοι ι'. 382. Ἀπὸ δὲ Βαλανέων ἄκρας ἐπ' εὐθείας εἰς Πάλτον στάδιοι σ'. 383. Οἱ πάντες ἐκ Πτολεμαΐδος παρὰ γῆν παραπλέοντες [εἰσελθεῖν] εἰς Πάλτον στάδιοι ͵β.

[Καὶ λοιπὸν Κοιλὴ Συρία]

384. Ἀπὸ Πάλτου ἐπὶ χωρίον Πελληταν στάδιοι λ'. 385. Ἀπὸ Πελλήτων ἐπὶ λιμένα κείμενον ἐπ' αἰγιαλῷ ἔχοντι καθ' αὐτὸν φάραγγα στάδιοι κ'· 386. Ἀπὸ Πελλήτων εἰς Γάβαλα στάδιοι λ'. 387. Ἀπὸ Γαβάλων εἰς ποταμὸν πλωτὸν καλούμενον* στάδιοι μ'. 388. Ἀπὸ <τοῦ> πλωτοῦ ποταμοῦ εἰς ἄκραν, ἐφ' ἧς κεῖται πόλις Λαοδίκεια, στάδιοι σ'· ἀπὸ δὲ τοῦ ποταμοῦ εἰς Βαλανέας στάδιοι ο'· ἀπὸ Βαλανέων εἰς Λαοδίκειαν εὐθυδρομοῦντι λευκονότῳ ἐπὶ τὰ πρὸς ἠῶ τῆς ἄρκτου στάδιοι σ'. 389. Ἀπὸ Λαοδικείας <ἄκρας> εἰς Ἡράκλειαν στάδιοι κ'. 390. Κάμψαντι δὲ τὸ ἀκρωτήριον λιμήν ἐστι καλούμενος Λευκός· στάδιοι λ'. 391. Ἀπὸ Λευκοῦ λιμένος ἐπὶ κώμην καλουμένην Πασιερίαν στάδιοι λ'. 392. Ἀπὸ τῆς κώμης ἐπ' ἄκραν Πολιὰν καλουμένην στάδιοι ρκ'. 393. Ἀπὸ Ἡρακλείας ἐπὶ Ποσείδιον τὸν ἐπίτομον στάδιοι ρ'. 394. Ἀπὸ δὲ τῆς ἄκρας τοῦ ἐπὶ Ποσειδίου εἰς πόλιν Σιδῶνα στάδιοι τ'· ὑπὲρ ἧς ἐστιν ὄρος ὑψηλὸν καλούμενον Θρόνος. 395. Ἀπὸ Σιδωνίας πόλεως εἰς τόπον ὁρίζοντα τὸν Κάσιον, καλούμενον δὲ Χαλαδρόπολιν στάδιοι ξ'. 396. Ἀπὸ Χαλάδρου ἐπὶ νῆσον καλουμένην Μακρὰν στάδιοι ι'. 397. Ἀπὸ Μακρὰν νῆσον ἐπὶ τὸ Νυμφαῖον στάδιοι ν'. ὁ δὲ ὅλος περίπλους τραχύς ἐστιν ἀπὸ τοῦ Κασίου. τοῦτον τὸν τόπον παράπλεε ἀπὸ τῆς γῆς σταδίοις κ'. 398. Ἀπὸ τοῦ Νυμφαίου ἐπὶ πόλιν Ἀντιόχειαν ἔχουσαν ἐμπόριον καὶ παρ' αὐτὴν ποταμὸν Ὀρόντην καλούμενον στάδιοι υ'. ἔστι δὲ ὁ ποταμὸς ἀπὸ σταδίων ιε'. 399. Ἀπὸ τοῦ ποταμοῦ εἰς Σελεύκειαν στάδιοι μ'· ἀπὸ δὲ τοῦ Ποσειδίου τὸν ἐπίτομον εἰς Σελεύκειαν πλέοντι ζεφύρῳ στάδιοι ρι'. 400. Ἀπὸ Σελευκείας ἐπὶ τὰ Γεώργια στάδιοι ρμβ'. 401. Ἀπὸ τῶν Γεωργίων ἐπὶ τὸν Ῥωσσαίων κόλπον στάδιοι τ'· ἀπὸ δὲ τοῦ Ποσει-

δίου ἀκρωτηρίου ἐπὶ τὸν κόλπον οὐριώτατα στάδιοι σ'. 402. Ἀπὸ Ῥώσσου Τερδνίας εἰς πόλιν Μυρίανδρον στάδιοι ς'. 403. Ἀπὸ τοῦ Μυριάνδρου εἰς Ἀλεξάνδρειαν κατ' Ἴσσον στάδιοι ρκ'. 404. Ἀπὸ Ἀλεξανδρείας εἰς τὰς Κιλικίας πύλας στάδιοι σ'. 405. Ὁμοῦ οἱ πάντες ἀπὸ Πάλτου ἕως τῶν Κιλικίων πυλῶν στάδιοι ͵βφ'. 406. Ἀπὸ τῶν Κιλικίων πυλῶν εἰς τὸ Ἱερὸν στάδιοι ρκ'· τοῦτό ἐστιν ὑπερβῆναι εἰς τὸν τόπον εἰς πόλιν. 407. Ἀπὸ τοῦ Ἱεροῦ εἰς πόλιν Ἀμινσὸν στάδιοι ψ'. 408. Ἀπὸ Ἀμινσοῦ εἰς τὰς Ἀμανικὰς πύλας ἐν τῷ κοιλοτάτῳ τοῦ κόλπου στάδιοι ς'. 409. Ἀπὸ τῶν Πυλῶν εἰς κώμην Ἀλὰς στάδιοι ν'· ἀπὸ τοῦ Μυριάνδρου οὐριοδρομοῦντος στάδιοι ρ'. 410. Ἀπὸ τῶν Ἀλῶν εἰς πόλιν Αἰγαίας στάδιοι ρ'· ἀπὸ δὲ τοῦ Μυριάνδρου εὐθυδρομοῦντι ἐπὶ τὸν πόλον νότῳ στάδιοι ρ'. 411. Ἀπὸ Αἰγαίων ὁ παράπλους κρημνώδης ἐπὶ κώμην Σερετίλην σταδίων ρν'. ἀπὸ δὲ Ῥωσοῦ εὐθυδρομοῦντι ἐπὶ τὴν Σερετίλην ἐπὶ τὸν πόλον νότῳ στάδιοι σν'. κατὰ δὲ τὴν Σερετίλλην κώμη ἐπάνω Πύραμος καλεῖται καὶ ὑπεράνω αὐτοῦ ὄρος καλούμενον Πάριον ἀπὸ σταδίων ξ'. 412. Ἀπὸ τῆς Σερετίλλεως εἰς κώμην ἐπάκραν Ἰανουαρίαν στάδιοι ͵α. 413. Ἀπὸ τῆς Ἰανουαρίας ἄκρας ἐπὶ τὰς Διδύμους νήσους στάδιοι λ'. 414. Ἀπὸ τῶν Διδύμων νήσων εἰς πόλιν καλουμένην Μαλλὸν στάδιοι ρ'. 415. Ἀπὸ Μαλλοῦ εἰς Ἀντιόχειαν ἐπὶ Πύραμον ποταμὸν στάδιοι ρν'. 416. Ἀπὸ τῆς Ἀντιοχείας ἐπὶ τὴν Ἰωνίαν, ἣν νῦν Κεφαλὴν καλοῦσι, στάδιοι ο'. παρὰ τὸ ἀκρωτήριον ποταμός ἐστι πλωτός, Πύραμος καλεῖται. ἀπὸ τοῦ* σκοπέλου δὲ μὴ κατακολπίζοντι, ἀλλ' ἐπ' εὐθείας πλέοντι εἰς Ἀντιόχειαν ἔπειτα πρὸς ἀνατολὴν τῆς ἠπείρου νότῳ τὰ εὐώνυμα μακρὸν διαραμένῳ στάδιοι τν'. 417. Ἀπὸ τοῦ Πυράμου ποταμοῦ εὐθυδρομοῦντι εἰς Σώλους ἐπὶ τὰ πρὸς ἑσπέραν μέρη τῆς ἄρκτου νότῳ μικρῷ παρέλκας στάδιοι φ'. 418. Ἀπὸ τῆς Κεφαλῆς τοῦ Πυράμου ἐπὶ τὸν ποταμὸν Σάρον στάδιοι ρκ'. 419. Ἀπὸ Σάρου ποταμοῦ ἐπὶ στόμα τῆς λίμνης, ὃ καλεῖται Ῥηγμοί, στάδιοι ο'. 420. Ἀπὸ Ῥηγμῶν εἰς Ταρσὸν στάδιοι ο'. ῥέει διὰ μέσης τῆς πόλεως ποταμὸς Κύδνος. 421. Ἀπὸ Ταρσοῦ ἐπὶ χωρίον Ζεφύριον στάδιοι ρκ'. 422. <Ἀπὸ Ζεφυρίου εἰς Σώλους στάδιοι*>. 423. Ἀπὸ δὲ Σώλων ἐπὶ κώμην Καλανθίαν στάδιοι ν'. 424. Ἀπὸ Καλανθίας κώμης εἰς Ἐλαιοῦντα στάδιοι ρ'. 425. Ἀπὸ Ἐλαιούσης εἰς κώμην καλουμένην Κώρυκον στάδιοι κ'. ἀπὸ δὲ Σώλων εἰς Κώρυκον στάδιοι σπ'· ὑπὲρ ὧν ἀπέχον ἐστὶν ἄντρον Κωρύκιον καλούμενον σταδίους ρ'. 426. Ἀπὸ τοῦ Κωρύκου ἐπὶ λιμένα καλούμενον Καλὸν Κορακήσιον· στάδιοι ρκε'. 427. Ἀπὸ τοῦ Κορακησίου ἐπὶ τὴν ποικίλην πέτραν, ἥτις ἔχει κλίμακα, δι' ἧς ἐστιν ὁδὸς εἰς Σελεύκειαν τὴν ἐπὶ Καλυκάδνου σταδίων ο'. 428. Ἀπὸ τῆς κλίμακος ἐπὶ τὸν ποταμὸν Καλυκάδνον στάδιοι μ', 429. Ἀπὸ τοῦ ποταμοῦ ἐπὶ ἄκραν ἀμμώδη στενὴν Σαρπηδονίαν καλουμένην στάδιοι π'. ἀπ' αὐτῆς ἀνατείνοντα βράχεα ὡς σταδίους κ'. 430. Ἀπὸ τῆς ἄκρας ἔγγιστα πρὸς τὴν Κύπρον εἰς πόλιν Καρπασίαν

οὐριώτατα στάδιοι υ'. 431. 'Από Σαρπηδονίας ἄκρας εἰς Σελεύκειαν στάδιοι ρκ'. 432. 'Ομοίως καὶ εἰς "Ολμους στάδιοι ρκ'. 433. 'Από δὲ τῶν "Ολμων ἐπ' ἄκραν καὶ κώμην καλουμένην Μύλας στάδιοι μ'. 434. 'Από τῆς ἄκρας ἐπὶ λιμένα Νησούλιον καὶ ἄκραν ἐπινησίαν στάδιοι ξ'. 435. 'Από τῆς ἄκρας ἐπὶ χωρίον Φιλαίαν στάδιοι κ'. 436. Οἱ πάντες ἀπὸ Μυλαίων εἰς Φιλαίαν τὸν ἐπίτομον στάδιοι φ'. 437. 'Από τῆς Φιλαίας ἐπὶ νῆσον Πιτυοῦσαν στάδιοι ρλ'. ἀπέχει ἡ Πιτυοῦσα ἀπὸ χερρονήσου τῆς πρὸς τῇ Μύλῃ σταδίους κ'. ἀπὸ τῶν ἀκρῶν τῆς Πιτυούσης πρὸς τὴν 'Αφροδισιάδα στάδιοι με'. 438. 'Από 'Αφροδισιάδος ἐκ τῶν εὐωνύμων ἔχοντι τὴν Πιτυοῦσαν ἐπὶ πύργον κείμενον πρὸς ἄκραν, ἣ προσονομάζεται Ζεφύριον, στάδιοι μ'· ἀπὸ τοῦ Ζεφυρίου ἐπ' ἄκραν καὶ πόλιν 'Αφροδισιάδα στάδιοι μ'. ἀπὸ δὲ τῆς Σαρπηδονίας ἄκρας εἰς 'Αφροδισιάδα ὁ πλοῦς ἐπὶ τὴν καρκίνου δύσιν σταδίων ρκ'. 439. 'Η δὲ 'Αφροδισιὰς κεῖται ἔγγιστα τῆς Κύπρου πρὸς τὴν Αὐλιῶνα ἀκτὴν κατὰ πρύμναν ἔχοντι τὰ μέρη τῆς ἄρκτου στάδιοι φ'. 440. 'Από 'Αφροδισιάδος ἐπὶ χωρίον καλούμενον Κίφισον <καὶ Μέλανα ποταμὸν> στάδιοι λε'. 441. 'Από Μέλανος ποταμοῦ ἐπὶ ἄκραν Κραύνους στάδιοι μ'. 442. 'Από τῶν Κραυνῶν ἐπὶ τὰ Πισούργια εὐώνυμα ἔχοντι τὴν Κράμβουσαν στάδιοι με'. ἀπὸ τῆς 'Αφροδισιάδος ἐπὶ τὰ Πισούργια στάδιοι ρκ'. 443. 'Από τῶν Πισουργιῶν εἰς κόλπον Βερνίκην στάδιοι ν'. 444. <'Από Βερνίκης ἐπὶ Κελένδεριν στάδιοι ν'>. 445. 'Από Κελενδέρεως εἰς Μανδάνην στάδιοι ρ'. 446. 'Από Μανδάνης ἐπ' ἀκρωτήριον Ποσείδιον καλούμενον στάδιοι ξ'. 447. 'Από Μανδάνης ἐπὶ τὰ Διονυσιοφάνους στάδιοι λ'. 448. 'Από <τῶν> Διονυσιοφάνους εἰς 'Ρυγμανοὺς στάδιοι ν'. 449. 'Από 'Ρυγμανῶν εἰς 'Ανεμούριον στάδιοι ν'. 450. 'Από 'Ανεμουρίου ἐπὶ τὰ τῆς Κύπρου ἔγγιστα, ἐπὶ Κρομμύου ἄκρα, στάδιοι τ'. 451. 'Από δὲ 'Ανεμουρίου εἰς Πλατανοῦντα στάδιοι τν'. 452. 'Από Πλατανοῦντος ἐπὶ χωρίον Χάραδρον στάδιοι τν'. ὑπὲρ δὲ Χαράδρου κεῖται ὄρος μέγα "Ανδροκος καλούμενον ἀπὸ σταδίων λ'. 453. 'Από τοῦ Χαράδρου ἐπὶ χωρίον Κράγον καλούμενον στάδιοι ρ'. 454. 'Από τοῦ Κράγου ἐπὶ χωρίον «ἐπὶ θαλάσσης Νεφελίου», στάδιοι κε'. 455. 'Από τοῦ Νεφελίου ἐπὶ ἄκραν Νησιαζούσης στάδιοι π'. 456. 'Από Νησιαζούσης ἄκρας εἰς Σελινοῦντα στάδιοι ρ'. 457. 'Από Σελινοῦντος ἐπὶ τὸν 'Ακάμαντα τῆς Κύπρου στάδιοι ‚ασ'. 458. 'Από δὲ Σελινοῦντος εἰς Ναύλους στάδιοι ρκ'. 459. 'Από τῶν Ναύλων ἐπὶ χωρίον λεγόμενον «ἐπὶ θαλάσσης Λαέρτου» στάδιοι τκ'. 460. 'Από Λαέρτου εἰς Κορακήσιον στάδιοι ρ'. 461. 'Από Κορακησίου εἰς Αὔνησιν ἐπὶ χωρίον 'Αμαξίαν στάδιοι π'. 462. 'Από 'Αναξίων εἰς χωρίον καλούμενον Αὐγὰς στάδιοι ο'. 463. 'Από Αὐγῶν ἐπ' ἀκρωτήριον Λευκόθειον στάδιοι ν'. 464. 'Από Λευκοθείου εἰς Κύβερναν στάδιοι ν'. 465. 'Από Κυβέρνης ἐπὶ 'Αρτέμιδος ναὸν στάδιοι ν'. 466. 'Από 'Αρτέμιδος ναοῦ ἐπὶ ποταμὸν πλωτὸν Μέλανον στάδιοι θ'. 467. Γίνονται οὖν οἱ πάντες

ὁμοῦ ἀπὸ Κιλικίων πυλῶν ἕως τοῦ Μέλανος ποταμοῦ στάδιοι ‚δν'.

[Λοιπὸν Παμφυλία]

468. 'Από Μέλανος ποταμοῦ εἰς Σίδην στάδιοι ν'. 469. 'Από Σίδης εἰς 'Αττάλειαν στάδιοι τν'. ἀπὸ 'Ατταλείας εἰς τὸ <Κωρύκιον> ἐμπόριον στάδιοι τ', ἀπὸ δὲ <τοῦ> Κωρυκίου <ἐμπορίου> εἰς Σίδην στάδιοι ν'. ἀπὸ Σίδης εἰς τὸν 'Ακάμαντα στάδιοι ‚ασ'. 470. 'Από Σίδης εἰς Σελεύκειαν στάδιοι π'. 471. 'Από Σελευκείας εἰς ποταμὸν πλωτὸν καλούμενον Εὐρυμέδοντα <καὶ Κυνοσάριον> στάδιοι ρ'. 472. 'Από Κυνοσαρίου ἐπὶ ποταμὸν καλούμενον Κέστρον στάδιοι ξ'. ἀναπλεύσαντι τὸν ποταμὸν πόλις ἐστὶ Πέργη. 473. <'Από> τοῦ Κέστρου ἐπὶ 'Ρουσκόποδα <στάδιοι*>. 474. 'Από 'Ρουσκόποδος ἐπὶ Μάσουραν καὶ τοὺς Καταράκτας στάδιοι ν'. 475. 'Από Μασούρας εἰς Μυγδάλην στάδιοι ο'. 476. 'Από Μυγδάλων εἰς 'Αττάλειαν στάδιοι ι'. 477. 'Από 'Ατταλείας ἐπὶ χωρίον Τένεδον στάδιοι κ'. 478. 'Από Τενέδου εἰς Λύρναντα χωρίον στάδιοι ξ'. 479. <'Από Λύρναντος εἰς Φάσηλιν στάδιοι*·> ὑπὲρ τῆς πόλεως ὄρος μέγα [ὑπερ]κεῖται [Φάσηλις]. 480. 'Εκ δὲ Φασίλιδος εἰς Κώρυκον στάδιοι *. 481. 'Από Κωρύκου ἐπὶ τὸν Φοινικοῦντα στάδιοι λ'· ὑπὲρ <αὐτοῦ> μέγα ὄρος ὑψηλὸν κεῖται "Ολυμπος καλούμενον. 482. <'Από Φοινικοῦντος εἰς Κράμβουσαν στάδιοι ν',> ἐκ δὲ Φασήλιδος ἐπ' εὐθείας εἰς Κράμβουσαν στάδιοι ρ'. 483. 'Από Κραμβούσης ἐπὶ χώρας Ποσιδαρισοῦντος στάδιοι λ'. 484. 'Από Ποσιδαρισοῦντος ἐπὶ Μωρὸν ὕδωρ καλούμενον στάδιοι λ'. 485. 'Από Μωροῦ ὕδατος ἐπὶ ἄκραν ἱερὰν καὶ νῆσον Χελιδονίαν στάδιοι ν'. 486. 'Ομοῦ οἱ πάντες ἀπὸ τοῦ Μέλανος ποταμοῦ ἕως Χελιδονίων τῷ παρὰ γῆν πλέοντι στάδιοι φ'· τὸν δὲ ἐπίτομον διὰ πόρου εἰς τὰς Χελιδονίας στάδιοι χ'. 487. "Εστι δὲ ἀπὸ τῶν Χελιδονίων <ἐπὶ> Μάριον καὶ τὸ τῆς Κύπρου ἀκρωτήριον τὸν 'Ακάμαντα ἐπ' ἀνατολὰς τοῦ κριοῦ οὐριώτατα ζεφύρῳ στάδιοι ‚αω'· ἀπὸ δὲ τοῦ 'Ανεμουρίου ἐπὶ τὰς Χελιδονίας νήσους στάδιοι ‚ασ'.

[Λοιπὸν Λυκία]

488. 'Από δὲ τῆς 'Ιερᾶς ἄκρας ἐπὶ Μελανίππην στάδιοι λ'. 489. 'Από δὲ Μελανίππης εἰς Γάγας στάδιοι ξ'. 490. 'Από δὲ Μελανίππης ἐπὶ ποταμὸν Λάμυρον στάδιοι ξ'· ὑπὲρ σταδίους ξ' κεῖται πόλις Λάμυρα καλουμένη. 491. 'Από Μελανίππης εἰς πύργον τὸν "Ισιον καλούμενον στάδιοι ξ'. 492. 'Από τοῦ 'Ισίου πύργου εἰς 'Αδριακὴν στάδιοι ξ'. 493. 'Από 'Αδριακῆς εἰς Σόμηνα<ν> στάδιοι δ'. 494. 'Από Σόμηναν εἰς 'Απέρλας στάδιοι ξ'. 495. <'Από 'Απερλῶν ἐπὶ * ἀκρωτήριον στάδιοι*.> 496. 'Από ἀκρωτηρίου εἰς 'Αντίφελλον στάδιοι ν'. 497. 'Από 'Αντιφέλλου εἰς νῆσον Μεγίστην στάδιοι ν'. 498. 'Από Μεγίστης εἰς νῆσον 'Ρώγην στάδιοι ν'. 499. 'Από 'Ρώγης ἐπὶ τὰς Ξεναγόρου νήσους στάδιοι τ'. 500. 'Από τῶν Ξεναγόρου νήσων εἰς Πάταρα στάδιοι ξ'. 501. 'Από Πατάρων ἐπὶ ποταμὸν πλωτὸν <Ξάνθον>—ὑπέρ-

κειται πόλις Ξάνθος—στάδιοι ξ'. 502. Ἀπὸ ποταμοῦ Ξάνθου εἰς Πύδνας ἐπ' εὐθείας στάδιοι ξ'. 503. Ἀπὸ Πυδνῶν ἕως τῆς Ἱερᾶς ἄκρας στάδιοι π'. 504. Ἀπὸ Ἱερᾶς ἄκρας εἰς Καλαβαντίαν στάδιοι λ'. 505. Ἀπὸ Καλαβαντιῶν εἰς Περδικιας στάδιοι ν'. 506. Ἀπὸ Περδικιων εἰς Κισσίδας στάδιοι ν'. 507. Ἀπὸ Κισσίδων ἐπὶ νῆσον Λάγουσαν στάδιοι π'. 508. Ἀπὸ Λαγουσῶν εἰς Τελεμενσὸν στάδιοι ε'. 509. Γίνονται ὁμοῦ οἱ πάντες <ἀπὸ τῆς Ἱερᾶς ἄκρας> ἕως Τελεμενσοῦ στάδιοι ͵αφ'.

[Λοιπὸν Καρία]

510. Ἀπὸ Τελεμενσοῦ ἐπὶ Πηδάλιον κατὰ τὴν Ῥόπισαν στάδιοι σ'. 511. Ἐκ Τελεμενσοῦ εἰς Δαίδαλα στάδιοι ν'. 512. Ἐκ Δαιδάλων εἰς Καλλιμάχην στάδιοι ν'. 513. Ἐκ Καλλιμάχης εἰς Κρούαν στάδιοι ξ'. 514. Ἐκ Κρούων εἰς τὸν Κοχλιαν στάδιοι ν'. 515. Ἐκ Κλυδῶν ἐπὶ τὸ Πηδάλιον ἀκρωτήριον στάδιοι λ'. 516. Ἀπὸ τοῦ Πηδαλίου ἐπὶ τὸν ἀγκῶνα τὸν ἐπὶ τοῦ Γλαύκου στάδιοι π'. 517. Ἀπὸ τοῦ Ἀγκῶνος ἐπὶ τῶν Καυνίων Πάνορμον στάδιοι ρκ'. 518. Ἀπὸ τοῦ Πανόρμου ἐπὶ τὴν Κυμαρίαν καλουμένην στάδιοι ν'. 519. Ἀπὸ Κυμαρίας εἰς Πασάδαν στάδιοι ξ'. 520. Ἀπὸ Πασάδαν εἰς Καῦνον στάδιοι λ'. 521. Ἀπὸ Καῦνον εἰς τὴν Ῥόπουσαν στάδιοι ιε'. 522. Ἀπὸ τῆς Ῥοπούσης εἰς τὸ ἀπέναντι εἰς Λευκοπαγον στάδιοι μ'· ἀπὸ δὲ τῆς Ῥοπούσης εἰς Σάμον στάδιοι ρ'. 523. Ἀπὸ τῆς Σάμου ἐπὶ <τὸ> Ποσείδιον στάδιοι ξ'. 524. Ἀπὸ τοῦ Ποσειδίου ἐπὶ τὸν Φάλαρον στάδιοι ν'. 525. Ἀπὸ τοῦ Φαλάρου εἰς νῆσον Ἐλαοῦσαν καλουμένην στάδιοι ν'. 526. Ἀπὸ τῆς Ἐλαούσης εἰς Ῥόδον στάδιοι ρν', ἥτις ποιεῖ ἐπὶ Μαλλὸν μὲν σταδίους χ' καὶ ἐπὶ τὸ ἱερὸν τοῦ Βυζαντίου σταδίους χ'. 527. Ἐκ Ῥόδου εἰς Ἀλεξάνδρειαν στάδιοι ͵δφ'· ἐκ Ῥόδου εἰς <Ἀσ>κάλωνα στάδιοι ͵γχ'· ἐκ Ῥόδου εἰς Καισάρειαν στάδιοι ͵γχ'· ἐκ Ῥόδου εἰς Βηρυτὸν στάδιοι ͵γχ'· ἐκ Ῥόδου εἰς Σιδῶνα στάδιοι ͵γχ'· ἐκ Ῥόδου εἰς Βύβλον στάδιοι ͵γχ'· ἐκ Ῥόδου εἰς Τρίπολιν στάδιοι ͵γχ'· ἐκ Ῥόδου εἰς Σελεύκειαν στάδιοι ͵γχ'· ἐκ Ῥόδου εἰς Κιλικίαν στάδιοι ͵αφ'· ἐκ Ῥόδου εἰς Κώρυκον στάδιοι ͵α· ἐκ Ῥόδου δὲ ἐπὶ τὴν Κύπρον ἐπὶ τὴν ἑσπερίαν τὴν ἐπ' ἀνατολὰς τοῦ κριοῦ οὐριώτα<τα> ζεφύρῳ στάδιοι ͵βω'· ἐκ Ῥόδου εἰς Πάταρα στάδιοι ψ'· ἐκ Ῥόδου ἐπὶ Καῦνον στάδιοι υν'· ἐκ Ῥόδου εἰς νῆσον Ῥόπουσαν στάδιοι τν'· ἐκ Ῥόδου εἰς Φύσκον στάδιοι υν'· ἐκ Ῥόδου εἰς Ἄγνην στάδιοι τν'· ἐκ Ῥόδου εἰς Κνίδον στάδιοι ψν'· ἐκ Ῥόδου εἰς Νήσυρον στάδιοι ωκ'· ἐκ Ῥόδου εἰς Τίλον στάδιοι φν'· ἀπὸ Λεπαταλέων ἐπὶ τὸ Ποσείδιον τὸ Καρπάσου στάδιοι υκ'· ἐκ Ῥόδου εἰς τὴν Κῶ στάδιοι ων'· ἐκ Ῥόδου εἰς τὴν Χίον στάδιοι ͵γ· ἐκ Ῥόδου εἰς Μύνδον στάδιοι ͵α· ἐκ Ῥόδου εἰς ·Σάμον στάδιοι ͵αω'· ἐκ Ῥόδου εἰς Τένεδον στάδιοι ͵γψ'· 528. <Ἔστι δὲ ἀπὸ Ῥόδου εἰς τὸ Σκύλαιον τῆς Ἀργολίδος πλέειν οὐριώτατα σταδίοις*>· πλεύσεις δὲ ἔχων ἐκ τῶν εὐωνύμων νήσους Νήσυρον καὶ τὴν Ἀστυπαλαίαν, ἐκ δὲ τῶν δεξιῶν τὴν Κῶ καὶ τὴν Λέρον καὶ τὴν Ἀμουργὸν καὶ

Ἴον καὶ Σίκινον καὶ τὴν Δάφνην καὶ τὴν Δήραν καὶ τὴν Σέριφον καὶ τὴν Κύδνον· τὸ λοιπὸν ἐπὶ τῆς Δονούσης λαβὲ εὐώνυμον, ὅθεν ὁρᾶται τὸ Σκύλαιον. 529. Ἀπὸ Κνίδου εἰς τὴν Κῶ στάδιοι ρπ'. 530. Ἀπὸ Κῶ εἰς Ἀλικαρνασὸν στάδιοι ρπ'. 531. Ἀπὸ Ἀλικαρνασοῦ εἰς Μύνδον στάδιοι σκ'. 532. Ἀπὸ Μύνδου εἰς Λέρον στάδιοι τν'. 533. Ἀπὸ Μύνδου εἰς τὴν Κῶ στάδιοι ρμ'. 534. Ἀπὸ δὲ Κῶ εἰς Λέρον στάδιοι τν'. Ἀπὸ Κῶ εἰς Δῆλον στάδιοι ͵ατ'. Ἀπὸ Κῶ εἰς Σάμον [διὰ πόρου] στάδιοι ͵α. 535. Ἔστι δὲ ἀπὸ Κῶ εἰς τὴν Δῆλον <διὰ πόρου> πλέειν <ἐπὶ τὴν δύσιν> τοῦ κριοῦ οὐριώτατα ἀπηλιώτῃ σταδίοις ͵ατ'· πλεύσεις δὲ εἰς Κάλυδναν· καταπλεύσεις δὲ ἐκ δεξιῶν ἔχων τὸ Ὑψίρισμα καὶ τὰς Καλύδνας καὶ [τὴν Κέλεριν καὶ] τὴν Λέρον καὶ τὴν Πάτμον [καί], <ἐκ τῶν εὐωνύμων δὲ> Κινάραν καὶ τὴν Ἀμουργόν· καὶ πλεύσεις ἐπὶ τῆς Δονούσης σταδίους η' εὐωνύμως, δεξιοὺς δὲ λαβὼν τοὺς Μελανθίους καὶ τὴν Μήκωνον [ἐκ τῶν εὐωνύμων καὶ τείνων] καταχθῇς εἰς Δῆλον. 536. Ἀπὸ Μύνδου <εἰς*>, ἥτις ἐστὶ [διὰ] τῆς Ἀττικῆς, στάδιοι ͵αφ'. πλεύσεις δὲ διὰ τῶν Κορσικῶν καὶ τῆς τε Λέρου καὶ τῆς Καλύδνου καὶ τῆς Ὀρβίδας λαβὼν <δεξιὰν> πλέε ἐπὶ τὰς Ἀμουργίας τήν τε Δονοῦσαν καὶ τὴν Νάξον καὶ τὴν Κύδνον ἔχε δεξιάν. 537. Ἐὰν δὲ θέλῃς διὰ νήσων πλεῖν, οὕτως πλέεις· ἀπὸ Κῶ εἰς Λέρνον σταδίους σν'· ἐκ Λέρνου εἰς Λέβινθον σταδίους σν'· ἐκ Λεβίνθου εἰς Κίναρον σταδίους φ'· ἐκ Κινάρου ἐπὶ τὰ ἔγγιστα τῆς Ἀμουργίας, ἐπὶ τὰ Κέρατα σταδίους πε', καὶ ὁ παράπλους ἐπὶ <τὴν Μηνόαν> σταδίων πε'· ἀπὸ [Κορσίων εἰς] Μηνόας <ἐπὶ τὴν Κέρειαν> σταδίους πε'· ἐκ τῆς Κερείας, εὐώνυμον ἔχων τὴν Κερείαν, εἰς τὸν Ναξίων Πάνορμον σταδίους ξε'· ἀπὸ Πανόρμου εἰς Δῆλον σταδίους υκ'. 538. ἀπὸ Κῶ εἰς Λέρον σταδίους τκ'· ἀπὸ Λέρου ἐπὶ τὸ Παρθένιον σταδίους ξ'· ἀπὸ <τοῦ Παρθενίου τῆς> Λέρου ἐπὶ τὸ τῆς Πάτμου Ἀμαζώνιον σταδίους σ'· ἀπὸ τοῦ Ἀμαζωνίου ἐπὶ τὴν Κορσίαν σταδίους υ'· ἀπὸ τῆς ἄψης Ἀμαζωνίου εἰς Δῆλον σταδίους ψν'· ἀπὸ Δῆλον εἰς Σῦρον σταδίους ρν'· <ἀπὸ Σύρου εἰς Ἄνδρον σταδίους*·> ἀπὸ Ἄνδρου εἰς λιμένα Γαυρίου σταδίους π'· ἀπὸ Γαυρίου ἐπὶ* ἀκρωτήριον σταδίους ν'· ἀπὸ τοῦ ἀκρωτηρίου <εἰς Γεραιστὸν> ἔγγιστα τῆς ἄκρας σταδίους υν'· ἀπὸ τῆς Κρεγέας εἰς Κάρυστον σταδίους ρκ' [Νῆσοι ἄλλαι]· ἐκ Ῥεγέας εἰς Πεταλέας σταδίους ρ'.

539. Ἐπάνειμι πάλιν ἐπὶ τὰ ἐκ Δήλου διαστήματα πρὸς νήσους τάσδε· ἐκ Δήλου εἰς Θήραν στάδιοι τν'· ἐκ Δήλου ἐπὶ τὴν Ἀμουργίαν —εἰς τὴν Μίνωαν—στάδιοι χν'· ἐκ Δήλου εἰς Ἀνάφην στάδιοι ρ'· ἐκ Δήλου εἰς Ἴον στάδιοι χν'· ἐκ Δήλου εἰς τὰς Κορσίας στάδιοι χν'· ἐκ Δήλου εἰς Κίμωλον στάδιοι ω'· ἐκ Δήλου εἰς Σίφνον στάδιοι χμ'· ἐκ Δήλου εἰς Κύδνον στάδιοι τν'· ἐκ Δήλου εἰς Τῆνον στάδιοι τν'· ἐκ Δήλου εἰς Νάξον στάδιοι τν'· ἐκ Δήλου ἐπὶ τὴν Δόνουσαν στάδιοι τκ'· ἐκ Δήλου εἰς Πάτμον στάδιοι ων'· ἐκ Δήλου ἐπὶ τοὺς Μελαντέους σκοπέλους στάδιοι ρπ'· ἐκ Δήλου εἰς Κέων στάδιοι τ'· ἐκ Δήλου εἰς Ἄνδρον στάδιοι ω'· ἐκ Δήλου εἰς Πάρον στάδιοι υ'.

540. Ἐπάνειμι πάλιν εἰς Μύνδον, ἀφ' ἧς κατέλιπον· ἐκ Μύνδου εἰς Πάνορμον στάδιοι π'. 541. ἐκ Μύνδου εἰς Βαργύλια στάδιοι σν'. 542. Ἀπὸ Πάνορμον εἰς Ποσείδιον καὶ Ἄγκιστρον στάδιοι σν'. 543 Ἀπὸ Βαργυλίων εἰς Ἴασον στάδιοι σκ'. 544. Ἀπὸ Ἰασοῦ ἐπ' ἀκρωτήριον Ποσείδιον στάδιοι ρκ'. 545. Ἀπὸ Ἰασοῦ ἐπὶ τὸν Ἀκρίταν στάδιοι σμ'. 546. Κεῖται κατέναντι <Ἰασοῦ> Πάσσαλα πηγή, ὅθεν ἐστὶν ἀποβῆναι εἰς Μύλασσαν σταδίων κ'. 547. Ἀπὸ δὲ τοῦ Ποσειδίου εἰς Πάνορμον στάδιοι μ'. 548. Ἀπὸ Πανόρμου εἰς Μίλητον στάδιοι π'. 549. Ἐπάνειμι πάλιν διὰ πόρου εἰς Μύνδον. Ἀπὸ Πανόρμου εἰς Μίλητον στάδιοι τ'. 550. Ἀπὸ δὲ τῆς Φαρμακούσης εἰς Μίλητον στάδιοι ρκ' 551. Ἀπὸ Μιλήτου εἰς Σάμον στάδιοι τ'. 552. Οἱ πάντες ἀπὸ Τελεμενσοῦ ἕως Μιλήτου στάδιοι ͵βφ'. 553. Ἀπὸ τοῦ Ἀκάμαντος τὴν Κύπρον εὐώνυμα ἔχοντι εἰς Πάφον στάδιοι τ'· πόλις ἐστὶ κειμένη πρὸς μεσημβρίαν, ἔχει δὲ λιμένα τριπλοῦν παντὶ ἀνέμῳ καὶ ἱερὸν Ἀφροδίτης. 554. Ἀπὸ Πάφου εἰς Νουμένιον—νῆσός ἐστιν ἔχουσα πηγήν· ὁ δὲ πλοῦς βραχύς· ὅταν ἐγγίσῃς τῷ νησίῳ, τὴν γῆν θλῖβε δεξιᾷ— στάδιοι [ρ]κε'. 555. Ἀπὸ Νουμενίου εἰς Παλαίπαφον στάδιοι [ρ]κε'. 556. Ἀπὸ Παλαιπάφου εἰς Τρήτους—ἀκρωτήριόν ἐστι—στάδιοι ν'. 557. <Ἀπὸ Τρήτων εἰς τὸ Κουριακὸν στάδιοι *>. 558. Ἀπὸ τοῦ Κουριακοῦ εἰς Ἀμαθοῦντα στάδιοι ρν'· πόλις ἐστὶν ἀλίμενος· ἀσφαλίζου τὸν τόπον. 559. Ἀπὸ τοῦ Κουριακοῦ ἐπὶ Καραίας στάδιοι μ'· ἀκρωτήριόν ἐστιν ἔχον λιμένα ὕφορμον καὶ ὕδωρ.

* * * * * * * * * *

560. Ἀπὸ δὲ τοῦ Πηδαλίου ἐπὶ νήσους στάδιοι π'· πόλις ἐστὶν ἔρημος λεγομένη Ἀμμόχωστος· ἔχει δὲ λιμένα παντὶ ἀνέμῳ· ἔχει δὲ ἐν τῇ καταγωγῇ χοιράδας·διαφυλάττου. 561. Ἀπὸ τῶν νήσων εἰς Σαλαμῆνα στάδιοι ν'· πόλις ἐστί· λιμένα ἔχει. 562. Ἀπὸ Σαλαμῆνος εἰς Παλαιὰν στάδιοι ρκ'· κώμη ἐστὶ καὶ λιμένα ἔχει καὶ ὕδωρ. 563. Ἀπὸ Παλαιᾶς ἐπὶ τὸν Φιλεοῦντα στάδιοι τ'. 564. Ἀπὸ Φιλεοῦντος ἐπὶ τὰ Ἄκρα στάδιοι ξ'· ὅρμοι εἰσὶ δύο, ὁ μέν ἐστιν ἐπιχαρωπὸς ὁ δὲ λευκὸς ἔχοντες ἑκάτεροι ὕδωρ. ἐπίκειται δὲ ἐπάνω ἱερὸν Ἀφροδίτης· ἐπίκεινται δὲ καὶ νῆσοι δύο ἔχουσαι ἀμφότεραι ἀνάπλους. 565. Ἀπὸ τοῦ Ἀνεμουρίου τῆς Κιλικίας ἐπὶ τὸν Ἀκάμαντα τῆς Κύπρου στάδιοι ψ'. 566. Ἀπὸ Ἀκάμαντος ἔχων δεξιὰν τὴν Κύπρον εἰς Ἀρσινόην τῆς Κύπρου στάδιοι σο'· πόλις ἐστί· λιμένα ἔχει ἔρημον· χειμάζει βορέου. 567. Ἀπὸ δὲ τοῦ Κρομυακοῦ ἐπὶ τὸ Μελαβρὸν στάδιοι ν'· ὅρμος ἐστὶ θερινός. 568. Ἀπὸ Μελάβρου εἰς Σώλους στάδιοι τ'· πόλις ἐστὶν ἀλίμενος. 569. Ἀπὸ Σώλων εἰς Κυρήναιον στάδιοι τν'· πόλις ἐστίν· ἔχει ὕφορμον. 570. Ἀπὸ Κυρηνίου εἰς Λάπαθον στάδιοι υν'· πόλις ἐστὶν ἔχουσα ὅρμον. 571. Ἀπὸ Λαπάθου εἰς Καρπάσειαν στάδιοι τν'· πόλις ἐστίν· ἔχει λιμένα μικροῖς πλοίοις· χειμάζει βορέου. 572. Ἀπὸ Καρπασείας ἐπὶ τὰ Ἄκρα στάδιοι ρ'· ἐντεῦθεν μετέβημεν εἰς

τὸ Ἀνεμούριον. 573. Ὁ πᾶς περίπλους τῆς Κύπρου στάδιοι ͵ασν'. 574. Ἀπὸ τοῦ [αὐτοῦ] Κουριακοῦ εἰς τὸ Πηλούσιον στάδιοι ͵ατ'. 575. Ἀπὸ δὲ τοῦ Κιτίου τῆς Κύπρου εἰς Ἀσκάλωνα στάδιοι ͵γτ'.

[Κρήτης περίπλους]

576. Ἀπὸ τοῦ Κασίου ἐπὶ τὸ Σαμώνιον τῆς Κρήτης στάδιοι φ'· ἀκρωτήριόν ἐστι τῆς Κρήτης ἀνέχον πρὸς βορρᾶν ἐπίπολυ· ἔστι δὲ ἱερὸν Ἀθηνᾶς· ἔχει ὕφορμον καὶ ὕδωρ· τὰ δὲ ἄλλα ἠφανισμένα. 577. Ἀπὸ Σαμωνίου εἰς Ἱερὰν Πύδναν στάδιοι π'· πόλις ἐστίν· ἔχει ὅρμον, ἔχει δὲ καὶ νῆσον, καλεῖται Χρύσεα· ἔχει λιμένα καὶ ὕδωρ. 578. Ἀπὸ Ἱερᾶς Πύδνης εἰς Βίενον στάδιοι ο'· πολίδριόν ἐστιν ἀπέχον τῆς θαλάσσης. 579. Ἀπὸ Βιένου εἰς Λέβηναν στάδιοι ο'· ἐκεῖ παράκειται νησίον, ὃ καλεῖται Ὀξεῖα· ὕδωρ ἔχει. 580. Ἀπὸ Λεβῆνας εἰς Ἅλας στάδιοι κ'. 581. Ἀπὸ Ἁλῶν εἰς Μάταλαν στάδιοι τ'· πόλις ἐστὶ καὶ λιμένα ἔχει. 582. Ἀπὸ Ματάλης εἰς Σουλίαν στάδιοι ξε'· ἀκρωτήριόν ἐστιν ἀνέχον πρὸς μεσημβρίαν· λιμήν ἐστι· καλὸν ὕδωρ ἔχει. 583. Ἀπὸ Σουλήνας εἰς Ψυχέαν στάδιοι ιβ'. 584. Ἀπὸ Ψυχέας ἐπὶ τὸν Λάμωνα στάδιοι ρν'· λιμήν ἐστι· καὶ πόλιν ἔχει καὶ ὕδωρ· ἀπὸ δὲ Πύδνης ἐπὶ τὸν Ψυχέα στάδιοι τν'· λιμὴν θερινός· καὶ ὕδωρ ἔχει. 585. Ἀπὸ Ψυχέων ἐπὶ Ἀπολλωνιάδα στάδιοι λ'. 586. Ἀπὸ Ἀπολλωνίας εἰς Φοίνικα στάδιοι ρ'· πόλις ἐστίν· ἔχει λιμένα καὶ νῆσον. ἀπὸ δὲ Κλαυδίας εἰς Φοινίκην στάδιοι τ'· ἔχει πόλιν καὶ λιμένα. 587. Ἀπὸ Φοινίκης εἰς Τάρρον στάδιοι ξ'· πόλις μικρά ἐστιν· ἔχει ὅρμον. 588. Ἀπὸ Τάρρου εἰς Ποικιλασσὸν στάδιοι ξ'· πόλις ἐστὶ καὶ ὅρμον ἔχει καὶ ὕδωρ. 589. Ἀπὸ Ποικιλασσοῦ εἰς Συβᾶν στάδιοι ν'· πόλις ἐστὶ καὶ λιμένα καλὸν ἔχει. 590. <Ἀπὸ Συΐας εἰς Λισσὸν στάδιοι λ'·> 591. Ἀπὸ Λισσοῦ εἰς Καλαμύδην στάδιοι σν'. 592. Ἀπὸ Καλαμύδην εἰς Κριοῦ Μέτωπον στάδιοι λ'· ἀκρωτήριόν ἐστιν ὑψηλόν· ἔχει ὕδωρ καὶ ὕφορμον. 593. Ἀπὸ Κριοῦ Μέτωπον εἰς Βίεννον στάδιοι ιβ'· λιμένα ἔχει καὶ ὕδωρ. 594. Ἀπὸ Βίεννον εἰς Φαλάνσαραν στάδιοι οξ'· ὅρμος ἐστὶν ἐμπόριον πόλις παλαιά· νῆσος δὲ ἀπὸ σταδίων ξ' Ἰουσαγουρα βλέπουσα πρὸς ἀνατολάς· ἔχει λιμένα, ἔχει δὲ ἱερὸν Ἀπόλλωνος ἐν τῷ λιμένι. ἔστι δὲ καὶ ἄλλη νῆσος ἀπὸ σταδίων γ'· καλεῖται Μέση καὶ ὅρμον ἔχει. ἡ δὲ τρίτη καλεῖται Μύλη· ὁ δὲ πλοῦς βαθύς· ἀγορὰν ἔχει. 595. Ἀπὸ Μύλης ἐπὶ τὸν Τρητὸν στάδιοι ν'· ἀκρωτήριόν ἐστι τετρημένον, κατάκρημνον τῆς Κρήτης. 596. Ἀπὸ τοῦ Τρητοῦ εἰς Ἁγνεῖον στάδιοι ν'· λιμὴν ἐστιν ἔχων ἱερὸν Ἀπόλλωνος· ἔστι δὲ ἐσώτερος κόλπος καὶ καλεῖται Μυρτῖλος· καὶ ὕδωρ ἔχει. 597. Ἀπὸ Ἁγνείου εἰς Κίσαμον στάδιοι π'· πόλις ἐστὶν ἐν κόλπῳ κειμένη· ἐστὶ δὲ λιμήν· ἔχει καὶ ὕδωρ. 598. Ἀπὸ Κισάμου ἐπὶ τὴν Τύρον στάδιοι κε'. ἀκρωτήριόν ἐστιν ὑψηλὸν κατάδενδρον· βλέπει πρὸς ἄρκτον. 599. Ἀπὸ τὴν Τύρον ἐπὶ τὸ Δικτυνναῖον στάδιοι π' ὅρμος ἐστὶν <καὶ> αἰγιαλός. 600. Ἀπὸ τοῦ Δικτυνναίου ἐπὶ τὴν Κοι-

την στάδιοι ρο'· νῆσός ἐστιν· ἔχει ὅρμον καὶ ὕδωρ· βλέπει πρὸς τὴν Κρήτην πρὸς ἄρκτον. 601. Ἀπὸ τοῦ Ἀκοιτίου εἰς Κυδωνίαν στάδιοι ξ'· πόλις ἐστίν· ἔχει λιμένα καὶ εἰς τὴν εἴσοδον βράχη ἔχει. 602. Ἀπὸ Κυδωνίας εἰς Ἀπτέραν περιπλέεται σταδίοις ρν'· πεζῇ δὲ μίλια ρκ'· ὁ τόπος Μίνω καλεῖται, εἰς ὃν κεῖνται νῆσοι τρεῖς, αἳ καλοῦνται Λευκαί. 603. Ἀπὸ τῆς Μίνωος εἰς Ἀμφιμάτριον στάδιοι ρν'· ποταμός ἐστι καὶ λιμὴν περὶ αὐτὸν παραχειμαστικὸς καὶ πύργον ἔχει. 604. Ἀπὸ Ἀμφιματρίου εἰς Ὑδραμὸν στάδιοι ρ'· πόλις ἐστίν· ἔχει αἰγιαλόν· καλεῖται δὲ ἡ πόλις Ἐλευθέρα· πεζῇ δὲ ἀναβῆναι ἀπὸ τοῦ Ἀμφιματρίου μίλια ν'. 605. Ἀπὸ Ἀμφιματρίου εἰς Ἀστάλην στάδιοι λ'· λιμήν ἐστιν εὐωνύμως· ἔχει ὕδωρ. [ἐντεῦθεν Ἐλευθέρα ἀπὸ σταδίων ν'.] 606. Ἀπὸ Ἀστάλης εἰς Ἡράκλειον στάδιοι ρ'· πόλις ἐστίν· ἔχει λιμένα καὶ ὕδωρ· ἀπὸ σταδίων κ' πόλις κεῖται Κνωσός· ἀπόκειται δὲ καὶ νῆσος ἀπὸ σταδίων μ' πρὸς δύσιν· καλεῖται Δῖος. 607. Ἀπὸ τοῦ Ἡρακλείου εἰς Χερρόνησον πόλιν στάδιοι λ'· ὕδωρ ἔχει καὶ νῆσον ἔχουσαν πύργον καὶ λιμένα. 608. Ἀπὸ Χερρονήσου εἰς Ὀλοῦντα στάδιοι ξ'· ἄκρα ἐστίν· ὕφορμον ἔχει καὶ ὕδωρ καλόν· ἀπέχει δὲ ἀπὸ τῆς γῆς σταδίους κ'*. 609. Ἀπὸ Ὀλοῦντος εἰς Καμάραν στάδιοι ιε'. 610. Ἀπὸ Καμάραν εἰς Ἴστρον στάδιοι κε'. 611. Ἀπὸ τῆς Ἴστρου ἐπὶ τὴν Κητίαν ἄκραν στάδιοι ιε'· ὕφορμός ἐστιν, ἄνυδρος δέ. 612. Ἀπὸ τῆς Κητίας ἄκρας εἰς Διονυσιάδα στάδιοι τ'· νῆσοί εἰσι δύο ἔχουσαι λιμένα καὶ ὕδωρ. 613. Ἀπὸ Διονυσιάδος εἰς τὸ Σαμμώνιον, ὅθεν ἠρξάμεθα περιάγειν τὴν Κρήτην, στάδιοι ρκ'. ἀκρωτήριον...[1]

Exc. Lat. Barb.

614. Significantes autem his omnibus tempus advenit ad textum chronicae currere...

615. ... et genuit Ragau.

616. vixit autem Ragau annos centum treginta II... et genuit Seruch.

617. vixit autem Seruch annos centum treginta duos... et genuit Nachor.

618. vixit autem Nachor annos septuaginta novem... et genuit Tharam.

619. vixit autem Thara annos LXX... et genuit Abraham.

620. factus est autem Abraham annorum LXXV... quando praecepit illi deus exire de domo patris sui et venire in terram Chanaan.

621.

1. Εἰς τὸ σημεῖον τοῦτο τὸ ἑλληνικὸν κείμενον διακόπτεται. Ἕνεκα τῆς σπουδαιότητος τῶν Χρονικῶν παρατίθεται ἐν συνεχείᾳ ἡ λατινικὴ μετάφρασις τοῦ ἀπολεσθέντος ἑλληνικοῦ κειμένου, περισωθεῖσα ἐν Excerpta latina Barbari καὶ Libri generationis.

622. habitavit autem Abraham in terra Chanaan alios annos XXV... et sic genuit Isaac...

623. vixit autem Isaac annos sexaginta... et genuit Iacob.

624. vixit autem Iacob annos octuaginta tres... et genuit Levi et fratres eius.

625. vixit autem Levi annos XLV... et sic genuit Caath.

626. vixit autem Caath annos LX (cod. XL)... et genuit Ambram.

627. vixit autem Ambram annos LXXV... et genuit Moysen et Aaron et Mariam sororem eorum.

628. factus est autem Moyses annorum LXXX... quando intravit ad Faraonem... et eduxit filios Israhel de Egypto...

629.

630. fecerunt autem et in herimo Sinai filii Israhel comedentes manna annos XL.

631. Post mortem autem Moysi et Aaron suscitavit dominus deus spiritum suum super Hiesu filium Nave: et transmeavit populum filiorum Israhel Jordanis fluvium... et fecit in terram, quam invasit, annos XXXI sic: pugnando fecit annos sex et possidens alios viginti quinque terram illam, fiunt simul anni treginta unum.

632. fiunt simul ab Adam anni trea milia octingenti octuaginta septem.

633. Post obitum Hiesu et Finees peccavit populus filiorum Israhel ad deum et tradidit illos deus Chusateri regi Mesopotamiae et servierunt illi annos novem...

634. et clamaverunt ad dominum: et suscitavit illis dominus deus principem Gothonial, fratrem Chaleb iuvenem de tribu Iuda. iste pugnavit cum Chusather in bello et interfecit eum et iudicavit Gothonial populum annos XXXIIII...

635. et iterum peccavit populus ad deum et traditi sunt a domino Eglom regi Moab et servierunt illi filii Israhel annos XVIII...

636. convertentes autem iterum ad deum suscitavit illis principem Naoth, virum de tribu Efraim et interfecit Eglom et praefuit populo annos LV...

637. et post obitum Naoth et Semega iudicum iterum peccavit populus coram domino deo et tradidit illos dominus deus Iabi regi Assyriorum et servierunt ei annos XX...

638. sub isto prophetavit Deborra uxor Lafiu et per ipsam tenuit principatum filiorum Israhel Barach ille de Aminoem de tribu Neptalim. iste pugnavit contra Sisara principe Iabis et

superavit eum: et regnavit super filios Israhel iudicans eos Deborra cum Barach annos XL...

639. post mortem autem Deborra et Barach iterum peccavit populus coram deo et tradidit illos dominus deus Orib Madianitis et servierunt eis annos VII...

640. post haec suscitavit deus Gedeon habentem tricentos viros et interfecit Oreb et Zeb et duodecim milia allofylorum et iudicavit Gedeon Israhel annos XL...

641. et post Gedeon praefuit filios Israhel filius Abimelech et ipse iudicavit Israhel annos III...

642. et post istum iterum rexit filios Israhel Thola filius Fila filio Charram, quem de tribu Efraim, et ipse iudicavit Israhel annos XXIII...

643. et post mortem Tholae filio Fila surrexit Iaher ille Galadita de tribu Manasse et ipse iudicavit Israhel annos XXII...

644. et post mortem Iaher principis iterum peccaverunt filii Israhel coram deo et traditi sunt Amanitis et servierunt illis annos XVIII...

645. et clamaverunt iterum ad deum et suscitavit eis principem Iefthe illum Galaditam de tribu Manasse et liberavit eos et praefuit populo annos sex...

646. et post istum iudicavit Esbal ille Bethlemita de tribu Iuda et ipse iudicavit Israhel annos VII...

647. et post iudicavit Eglom ille Zabulonita annos X...

648. et post istum praefuit populo Abdon filius Ella ille Farathonita de tribu Efraim et ipse iudicavit Israhel annos VIII...

649. et post istum iterum peccavit populus coram domino et tradidit illos deus Fylisteis et alienigenis et servierunt illos annos XL...

650. postqam autem reversi sunt filii Israhel ad dominum, suscitavit illis deus Sampson filium Manoe de tribu Dan. iste expugnavit allofylos et iudicavit Israhel annos XX...

651. et post haec Heli sacerdos iudicavit Israhel...post iudices Israhel iudicavit filios Israhel Heli sacerdos et ipse iudicavit Israhel annos XX...et tradidit dominus deus arcam in manus alienigenorum.

652. post mortem autem Heli sacerdotis iudicavit Samuhel propheta filios Israhel et reduxit ab alienigenis arcam domini et introduxit eam in domo Aminadab et mansit ibi annos XX... post haec unxit Samuhel Sahulem filium Cis regem super Israhel.

653. iste primus regnavit in Iuda annos XX........... iste *(δηλ. ὁ Δαυίδ)* reduxit arcam domini a domo Aminadab et dum duceret eam, delinavit vitulus et obpressit Ozam et mortuus est. et timuit David et introduxit eam in domo Abdede Chettei, et fecit ibi menses V.

653a.

654. post mortem autem Sahul regis regnavit David filius Iesse de tribu Iuda annos XL et menses sex sic: in Chebron annos septem et dimidium et in Hierusalem annos XXXIII... prophetaverunt autem sub David Caath et Nathan. fuit autem archistratigus David Moab filius Saruae, sorori David: iste dinumeravit tribus Israhel et invenit milia CLXX: Levi autem et Beniamin non dinumeravit: numerum autem de his, qui ceciderunt in Israhel, milia LXX pro eo, quod dinumerati sunt et probare voluerunt dominum.

655. post David autem regem regnavit Solomon filius eius annos XL... iste aedificavit in Hierusolymis templum duodecimo anno regni sui: et prophetaverunt sub Salomon Nathan et Achias ille Silonita et Sameus et Abdeus: princeps autem sacerdotum fuit super eos Sadoc.

656. post Salomon autem regnavit Roboam filius eius annos septem et dimidium... sub isto divisum est regnum et regnavit Hieroboam servus Salomonis de tribu Efraim in Samaria. iste fecit scandalum in Israhel duas dammulas aureas. prophetavit autem [et] <sub> Hieroboam et Achias ille Silonita et Sammeus filius Ellamei.

657. post istum regnavit Abiu filius eius annos III... prophetaverunt autem ipsi prophetas.

658. post hunc regnavit Asa filius Abiu annos XLI... iste in senectute sua podalgivus factus est. prophetavit autem sub ipso Annanias.

659. post hunc regnavit Iosafat filius eius annos XXV... sub isto prophetavit Helias ille Thesbita et Micheas filius Embla et Abdeus filius Ananei: sub Michea autem fuit pseudopropheta Sedecias ille de Chanaan.

660. post istum regnavit filius eius Ioram annos VIII... et sub ipso prophetavit Helias, post hunc Heliseus. sub istum autem et filium eius Ochoziam populus in Samaria stercora columborum comederunt, quando oravit Helias, ut non plueret super terram, et non pluit caelum per annos tres et menses sex.

661. post istum regnavit filius eius Ochozias annum unum et dimidium... et sub isto prophetavit Heliseus et Abdoneus.

662. post hunc prophetavit (*verb.* regnavit) Godolia.

mater Ochoziae uxor Ioram annos VII... haec surgens interfecit filios filiorum suorum, quia erat de genere Achab regis Samariae uxor Ochozie filii eius. soror autem Ochoziae filii Iosabe, dum esset uxor Iodae principis sacerdotum rapuit Ioham filium Ohoziae et hunc imposuit Iodae in regnum. prophetavit enim et sub Godolia Elisseus et Abdias et Hiiu.

663. post haec autem regnavit Iohas filius Ochoziae annos XL... iste occidit Zachariam filium Iodae sacerdotis inter templum et altare.

664. post Iohas autem regnavit filius eius Amasias annos XXVIII...

665. post Amasiam autem regnavit filius eius Ozias annos LII... hic fuit leprosus usque dum mortuus est: iudicabat pro eo Ioatham filius eius, quem non sinebat sedere in solium regni prophetizaverunt autem sub Ozia Amos et Esaias filius eius et Osee Ebrei et Ionas Amathei de Gomor.

666. post Oziam autem regnavit Ioaham filius eius annos XVI... et sub isto similiter prophetauerunt Esaias et Osee et Micheas ille Morathitha et Iohel Bathueli.

667. et post istum regnavit Achas filius eius annos XVI... et sub isto similiter prophetavernt Esaias et Micheas: fuit autem princeps sacerdotum super eos Hurias.

668. sub istius regno anno XVI surrexit Salbanasar rex Assyriorum et venit in Iudeam et transmigravit qui in Samaria erant in Midia et in Babylonia, duo solummodo tribus remanserunt in Hierusalem, qui fuerunt ex genere David regnaturi.

669. post Achas autem regnavit Ezechias filius eius annos XXVIIII... et sub istum iterum prophetaverunt Esaias et Oseae et Micheas.

670. post istum Ezechiam regnavit Manasses filius eius annos LV... iste interfecit Esaiam prophetam: serrans eum divisit in duas partes eo quod arguebat eum propter sacrificia idolorum.

671. post regnum autem Manasse regnavit filius eius Amos annos II...

672. post Amos autem regnavit Iosias filius eius annos XXXI... iste est Iosias, qui subposuit membra hominum sub membra idolorum, sicut scriptum est.

673. sub isto et pascha inventa est in Israhel anno XVIII regni Iosiae: a quo enim obiit Hiesu Nave, non servata est pascha sic, nisi tunc Chelcheus sacerdos invenit in templo illum librum legis absconditum octavo decimo anno Iosiae.

674. prophetaverunt autem et sub Iosia Eliba Sillim, qui fuit vesterarius sacerdotum, et Sofonias et Heremias et Oldad et Baruch: fuit autem pseudopropheta Annanias lurdus.

675. post Iosiam autem regnavit Ioacham filius eius (annos IIII et) menses III... istum ligavit [Sen] Nachaoch rex Aegyptiorum ferreis vinculis et duxit in Aegyptum. fratrem autem eius Eliachim ordinavit pro eo. et sub istum iterum propheteverunt Hieremias et Buzzi et Baruch et Hurias filius Samiae de Cariathiarim.

676. sub isto regnavit Eleachim pro Ioacham fratrem suum annos XI... sub istius regno surrexit Nabuchodonosor rex Assyriorum et translatavit qui in Samaria erant in Midia et in Babylonia et Eleachim regem ligans aereis ligaminis duxit in Babylonia. prophetaverunt autem Hieremias et Baruch et Hurias.

677. post hunc regnavit pro Eliachim patre suo Ioachim filius eius annos III... et hunc iterum adduxit Nabugodonosor rex Babylonis ad se ligatum catenis et multitudinem populi filiorum Israhel, in quibus et Danihelem et qui cum eo erant Annaniam et Hiezechielem captivos duxit in Babylonia.

678. et ordinavit Nabuchodonosor in loco Ioachim Sedechiam, quem et Iechoniam, fratrem Ioachim iuvenem. regnavit autem Sedechias, qui et Iechonias, in Israhel annos XI...

679. in duodecimo autem anno duxit et istum in Babylonia Nabuchodonosor et cecavit eum, et multitudinem populi filiorum Israhel duxit in Babylonia nisi pauci, qui et in Aegyptum discenderunt. tunc et templum in Hierusolimis venundatum est permanens per annos quadringentos XXV.

680a. prophetabant autem in ipsa deprecatione Hiezechiel et Naum et Danihel et Hieremias in Aegypto et Abacum in Hostracina: in quinto autem anno regni Nabuchodonosor in Babylonia initiaverunt prophetare Hiezechiel et Naum et Malachias iuvenis et tunc Aggeus et Zacharias.

680b. usque Sedechiam et Iechoniam tenuit regnum Iudeorum et ultra rex in Israhel non est factus usque in hodiernum diem...

681. in quinto (*verb.* primo) autem anno Darii regis vidit Danihel visionem de illas ebdomadas et prophetavit dicens: aedificabitur Hierusalem lata et magna. sexto autem anno Dario filio Asueri, quo regnavit in regno Chaldeorum, Zorobabel Ebreorum primus ascendit in Hierusolima et coepit aedificare Hierusalem.

682. in secundo autem anno Cyrus regnans iussit populo filiorum Israhel, ut ascenderet in Hierusolima. tunc templum aedificatur sub quinquagesima quinta olympiada Cyro rege

regnante. simul Zorobabel Ebrei ascendentes de Babylonia in Iudea edificare coeperunt templum.

683. prophetaverunt autem sub Cyro rege Hiezechiel et Danihel et Aggeus et Abacum et Zacharias Baruchei.

684. sub istum (*scil.* Artaxerxem) Neemias filius Achillei de genere David, qui factus est et pincerna Artaxerxis regis, vicesimo quarto anno regni eius petiit regi Artaxerxi et iussus ab eo aedificavit Hierusalem et finem dedit aedificationis templi. mura autem civitatis erexit et plateas in ipsa conposuit secundum Danihelis prophetiam, qui dicit sic: et aedificabitur Hierusalem et circummurabitur.

685. sub istam et illa adversus Mardocheum et Hesther: Aman autem suspensus est.

686.

687.

688.

Lib. gen. I.

689. Ut autem et aliter ostendamus, non tantum per tempora regum, sed etiam a quo pascha servatum est, dinumerantes simul et annos dicemus.

690. ab Adam usque diluvium ann. $\overline{\text{II}}$CCXLII.

691. a diluvio usque ad Abraham anni $\overline{\text{I}}$CXLI ($\overline{\text{I}}$CXLV B[2]).

692. ab Abraham autem usque quo exirent de Aegypto educente eos Moyse, quando et pascha fecerunt, anni sunt CCCCXXX.

693. ab exodo Aegypti usque in transitum Iordanis, quando Iesus pascha caelebravit, sunt anni XLI (XLII F).

694. Ezechias post annos CCCCXLIIII (LXIIII B[2] LIIII *F verb.* LXIIII) celebravit pascha.

695. post Ezechiam Iosias anno centesimo quarto decimo pascha celebravit.

696. post Iosiam Heszras post anno(s CVIII [*verb.* CVII] pascha celebravit).

697. post Heszra(m servat autem gene)rationes Christi p(ost annos DLXIII) pascha fit.

698. a gen(erationem autem Christi) post XXX annos cu(m passus est dominus) pascha celebratu(r, ipse enim) erat iustum pasch(a.

699. a passione) autem domini usque in te(rtium decimum) annum imperii A(lexandri Caesa)ris ann. CCVI ser(vatum est pas)cha, quod in con)memorationem) domini nostri Iesu Christi s(ervatur a nobis).

700. fiunt igitur (omnes anni ab Adam) usque in hu(nc diem anni $\overline{\text{V}}$DCCXXXVIII).

Exc. Lat. Barb.

701.

702. post istum (*Darius* I) autem regnavit Cyrus Persus annos XXX.

703. post Cyrum autem regnavit filius eius Cambysus annos VIII.

704.

705. post Cambysum autem regnavit Darius stultus frater Cyri annos XXXIII.

706. et sub istum iterum prophetaverunt Danihel et Aggeus et Zacharias et Abacum. *(προβλ. ἀνωτ. § 682).*

707. post Darium autem stultum regnavit Xerxes Persus annos XI.

708. post Xerxem autem regnavit Artarxerxes filius eius annos XXXIII *(προβλ. § 684).*

709. post Artarxerxem autem regnavit Xerxes filius eius menses V et occisus est.

710. et post hunc regnavit Ogdianus menses VII.

711. post istos regnavit Darius iuvenis, qui vocatur Memoratus, annos XVIIII.

712. post Darium autem regnavit filius eius Artarxerxis secundus, qui vocatur Memoratus, annos XLII.

713. post Artarxerxem autem Memoratum regnavit filius eius Ochus in Babylonia annos XXI.

714. post hunc autem regnavit in Babyloniam Alsus Ochi filius annos IIII.

715. post hunc autem regnavit in Babyloniam Darius Midus ille Alsami annos VI... istum deposuit Alexander Macedo et conditor.

716.

Lib. gen. I.

717. (Post quos tem)pora iam apud Gre(cos manifest)e ex constructione (olympiadum) sunt clara. (nam usque ad A)lexandrum Ma(cedonum fue)runt olympiades (CXIIII, quod fa)ciunt ann. CCCLVI (F, CCCCLVII B, *verb.* CCCCLVI) (ab Ipito qui con)stituit olympi(ades ab Alexa)ndro usque ad Christum (olympiades LXXX), quod sunt ann. (CCCXX: a Christo autem usq)ue ann. XIII (imperii Alexandri o)lympiades (LVIII [*verb.* LVIIII], quod sunt ann. CC)XXXVI.

(sunt ergo omnes olympiade)s usque (ann. XIII Alexandri C)aesaris CC(LIII, quod sunt anni Ī)XII.

Lib. gen. I.

718. Nomina ** creaturae Adam, Seth, Enos, Cainan, Malalehel, Iareth, Enoc, Matusalam, Lamec, Noe, Sem, Arfaxat, <Cainan>, Sala, Heber, Falec, sub quo divisa est terra, Ragau, Seruc, Nagor, Thara, Abraham, Isaac, Iacob, Iuda, Faris, Esrum, Aram, Aminadab, Naasson, Salmon, Boz, Obet, Gesse, David, Salomon, Roboam, Abiam, Asa, Josafath, Ioram, [Ocozias, Ioas, Amessias], Ozias, Ioatham, Acaz, Ezechias, Manasses, Amos, Iosias [Iosias autem genuit Ionaam et Ioachim et fratres eius Heliachim, qui et Ioachim, et Sediciam, qui et Ieconias dictus est, <et> Salum: in transmigrationem autem Babylloniae Ioachim genuit Ieconiam et Sediciam] [Geconias autem genuit] Salathiel, [Fanneam et Sale, Saret Ieconiam, Ortamo et Deebi et fili Fania], Zorobabel [et fratres eius Zorobabel Melchiam et Fanuc. filii autem eius Abiut et Musolam et Annanias et Saladi soror eorum et Sedbel et Thoul et Archia et Asadia et Sobosec]: aedificatum est autem sanctoarium tempore Zorobabel. huius filii Abiut, dehinc Eliachim, Azor, Sadoc, Achim, Heliud, Eliazar, Matthan, Iacob, Ioseph, cui disponsata fuit virgo Maria, quae genuit Iesum Christum ex spiritu sancto.

719. Prophetarum nomina.

Adam, Noe, Abraam, Isaac, Iacob, Moyses, Aaron, Hesu Nave, Heldad et Modat, Nathan, David, Salomon, Achias Silonita, Sameas filius Elam, Annanias, Helias, Micheas filius Emblas, Abdiu, Heliseus, Abladone, Amos, Esaias, Osee filius Beeri, Ionas, [Micheas, Rabam], Iohel filius Batueli, Hieremias filius Celciae sacerdotis, Sofonias, Buz, Ezechihel, Urias, Sameas, Ambacuc, Naum, Danihel, Malachias, Aggeus, Zacharias et sub Christo Simeon et Iohannis baptista.

720. Item mulieres prophetissae.

Sarra, Rebecca, Maria soror Moysi, Debbora, Oliba et sub Christo Anna, Helisabet, Maria, quae genuit Christum.

Cois. gr. 120 fol. 228

721. περὶ τῶν βασιλέων τῶν Ἰουδαίων. α' ὁ Σαοὺλ πρῶτος ἐβασίλευσεν τοῦ Ἰσραὴλ ἐκ φυλῆς Βενιαμὶν [ἔτη μ'] β' Δαυὶδ πρῶτος ἐκ φυλῆς Ἰούδα [ἔτη μ'] γ' Σολομὼν υἱὸς αὐτοῦ [ἔτη μ'] δ' Ῥοβοὰμ υἱὸς αὐτοῦ [ἔτη ιζ'] ε' Ἀβιᾶ υἱὸς αὐτοῦ [ἔτη ϛ'] ϛ' Ἀσᾶ υἱὸς αὐτοῦ [ἔτη μα'] ζ' Ἰώσαφαθ υἱὸς αὐτοῦ [ἔτη κε'] η' Ἰωρὰμ υἱὸς αὐτοῦ [ἔτη η'] θ' Ὀχοζίας υἱὸς αὐτοῦ [ἔτος α'] ι' Γοθολία μήτηρ αὐτοῦ [ἔτη ζ'] ια' Ἰωᾶς υἱὸς αὐτοῦ [ἔτη μ'] ιβ' Ἀμεσίας υἱὸς αὐτοῦ [ἔτη κθ'] ιγ' Ὀζίας υἱὸς αὐτοῦ [ἔτη νβ'] ιδ' Ἰωάθαμ υἱὸς αὐτοῦ [ἔτη η'] ιε' Ἄχαζ υἱὸς αὐτοῦ [ἔτη ις'] ις' Ἐζεκίας υἱὸς αὐτοῦ [ἔτη κθ'] ιζ' Μανασσῆς υἱὸς αὐτοῦ [ἔτη νε'] ιη' Ἀμὼς υἱὸς αὐτοῦ [ἔτη β'] ιθ' Ἰωσίας υἱὸς αὐτοῦ [ἔτη λα'] κ' Ἰώαχαζ υἱὸς αὐτοῦ [μῆνας γ'] κα' Ἐλιακὶμ υἱὸς αὐτοῦ [ἔτη ια'] κβ' Ἰεχονίας υἱὸς αὐτοῦ [ἔτη γ'] κγ' Σεδεκίας υἱὸς Ἰωσίου [ἔτη ια']. ἕως τούτου ἡ βασιλεία τοῦ Ἰούδα γέγονεν καὶ κατελύθη [οἱ δὲ μετὰ τὴν διαίρεσιν τῶν δέκα σκήπτρων μερισθέντες εἰσὶν οὗτοι·] καὶ πάντες ἀπήχθησαν αἰχμάλωτοι εἰς Βαβυλῶνα.

722. Δέκα σκήπτρων μερισθέντων εἰσὶ οὗτοι·
723. α' Ἱεροβοὰμ υἱὸς Νάβατ ἔτη κβ'.
724. β' Νάβατ υἱὸς αὐτοῦ ἔτη β'.
725. γ' Βαασὰ ἔτη κδ'.
726. δ' Ἐλαὰν υἱὸς αὐτοῦ ἔτη β'.
727. ε' Ζαμβρὶ ἔτη ιβ'.
728. ϛ' Ἀχαὰβ υἱὸς αὐτοῦ ἔτη κβ'.
729. ζ' Ὀχοζίας υἱὸς αὐτοῦ ἔτη β'. η' Ἰωρὰμ υἱὸς αὐτοῦ ἔτη ιβ'.
730. θ' Ἰοὺ ἔτη κη'.
731. ι' Ἰωάχαζ υἱὸς αὐτοῦ ἔτη ιζ'.
732. ια' Ἰωὰς υἱὸς αὐτοῦ ἔτη ις'.
733. ιβ' Ἱεροβοὰμ υἱὸς αὐτοῦ ἔτη λα'.
734. ιγ' Ζαχαρίας υἱὸς αὐτοῦ ἔτη ϛ'.
735. ιδ' Σελοὺδ μῆνα α'.
736. ιε' Μαναΐν ἔτη δ'.
737. ις' Φακίας υἱὸς αὐτοῦ ἔτη β'.
738. ιζ' Φακεὲ ἔτη κ'.
739. ιη' Ὠσεὲ ἔτη θ', ἕως τούτου γέγονεν ἡ βασιλεία τῶν δέκα σκήπτρων τοῦ Ἰσραὴλ καὶ τῆς Σαμαρίας· καὶ γὰρ ἡ πόλις ἑάλω.

Ioseppos c. 10

740. Τίνες οἱ Ἱερεμίου τοῦ προφήτου πρόγονοι ἱερατικοί.

741. α' Ἀαρὼν β' Φινεὲς γ' Ὀζίας δ' Ῥαζαζᾶς ε' Μωριὰδ ϛ' Ἀμωρίας ζ' Ἀμητὼβ η' Σεδοὺκ θ' Ἀχιμὰς ι' τούτου υἱὸς Ἠλίας ὁ προφήτης καὶ Σαλὼμ ια' Σαλώμου υἱὸς Ἰωρὰμ ιβ' Ἀμὼς καὶ Ἰωδαὲ ιγ' Σεδεκίας υἱὸς Ἰωδαὲ ιδ' Ἰωὴλ ιε' Οὐρίας ις' Νηρὴ ιζ' Σαλὼμ ιη' Χελκίας ιθ' Ἱερεμίας ὁ τὴν αἰχμαλωσίαν ἐν τῇ Ἰουδαίᾳ προφητεύσας.

Lib. gen. I.

742. Macedonum reges iuxta Alexandrinos.
743. Alexander filius Philippi post Darium ann. VII.
744. Ptolomeus Lagi Soter ann. XLII.

745. Ptolomeis filius Filadelfus ann. XXXVIII.
746. [Ptolomeus filius Evergeta ann. XXX.]
747. Ptolomeus filius Everget. ann. XXV.
748. Ptolomeus Philopator ann. XVII.
749. Ptolomeus frater ann. XXIII.
750. Ptolomeus Fuscus ann. II.
751. Evergeta ann. XXVI.
752. Ptolomeus Alexus ann. XX.
753. Alexander frater Ptolemei Alexe an. XVIII.
754. Ptolomeus Dionisius hecate ann. XXVIII.
755. Cleopatra filia ann. XXV.
756. fiunt in se ann. CCCXLVI.
757. Imperatores Romanorum.
758. Augustus ann. LVII.
759. Tiberius ann. XXII mens. VII dies XXII.
760. Gaius ann. III mens. VIIII.
761. Claudius ann. XIII men. I dies XXVIII.
762. Nero ann. XIII m. VIII dies XXVIII.
763. Galba m. V d. XXVI.
764. Otho mens. VIII d. XII.
765. Vitellius m. VIIII d. XV.
766. Titus ann. III m. II d. II.
767. Traianus ann. XVII m. VIII d. VI.
768. Chadrianus ann. XX m. X d. XXVIII.
769. Antonius Pius** m. VIII d. XXII.
770. Marcus ann. XVIIII m. V d XII.
771. Commodus ann. XII m. VIII d. XXIIII.
772. Elius Pertinax m. VII.
773. Iulianus m. II d. VII.
774. Severus ann. XIIII.
775. Antonius cognomento Caracalla Severi filius ann. VI m. VIIII d. II.
776. Macrinus ann. I men. II d. VI.
777. Antonius ann. III m. VIII d. XXVIII.
778. Alexander ann. XIII d. VIIII.

ΑΜΦΙΒΑΛΛΟΜΕΝΑ ΣΥΓΓΡΑΜΜΑΤΑ ΤΟΥ ΙΠΠΟΛΥΤΟΥ

ΙΠΠΟΛΥΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ

ΛΟΓΟΣ ΕΙΣ ΤΑ ΑΓΙΑ ΘΕΟΦΑΝΕΙΑ *

I. Πάντα μὲν καλά, καὶ καλὰ λίαν τὰ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν δημιουργήματα, ὅσα τε ὀφθαλμὸς ὁρᾷ καὶ ὅσα ψυχὴ διανοεῖται, ὅσα τε λόγος ἑρμηνεύει καὶ ὅσα χεὶρ περιστρέφει, ὅσα ἡ διάνοια περιέχει καὶ ὅσα ἡ ἀνθρωπότης καταλαμβάνει. τί γὰρ τοῦ οὐρανίου δίσκου πολυμορφώτερον κάλλος; τί δὲ τοῦ ἐπιγείου χωρίου πολυανθέστερον εἶδος; τί δὲ τοῦ ἡλιακοῦ ἅρματος ὀξυτικώτερον εἰς δρόμον; τί δὲ τοῦ σεληνιακοῦ στοιχείου χαριέστερον ζεῦγος; τί δὲ τοῦ πολυπηγήτου τῶν ἄστρων μουσείου ἀξιαγαστότερον ἔργον; τί δὲ τῶν ἐπιτηδείων ἀνέμων πλουσιώτερον εἰς πρόσοδον; τί δὲ τοῦ ἡμερινοῦ φωτὸς ἀκηλιδωτότερον ἔσοπτρον; τί δὲ τοῦ ἀνθρώπου ἐντιμότερον ζῷον; πάντα μὲν οὖν καλὰ λίαν τὰ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν δημιουργήματα. τί δὲ καὶ τῆς τοῦ ὕδατος φύσεως ἀναγκαιότερον χάρισμα; πάντα γὰρ τοῖς ὕδασι καὶ λούεται καὶ τρέφεται καὶ καθαίρεται καὶ ἀρδεύεται. ὕδωρ τὴν γῆν βαστάζει, ὕδωρ τὴν δρόσον τίκτει, τὴν ἄμπελον ἱλαρύνει. ὕδωρ τὸν στάχυν τελεσφορεῖ, ὕδωρ τὸν βότρυν ἀπομφακίζει, ὕδωρ ἔλαιον ἁπαλύνει, ὕδωρ τὸν φοίνικα γλυκαίνει, ὕδωρ τὸ ῥόδον ἐρυθραίνει καὶ τὸ ἴον ἀνθίζει, ὕδωρ τὸ κρίνον λαμπροῖς τοῖς κάλυξι τρέφει. καὶ τί μακρολογῶ; ἄνευ τῆς τῶν ὑδάτων φύσεως οὐδὲν τῶν παρόντων συνίσταται. οὕτως ἡ τῶν ὑδάτων φύσις ἀναγκαία, ὅτι τὰ μὲν ἄλλα στοιχεῖα ὑπὸ τῶν καμαρωδεστάτων οὐρανῶν τὴν οἴκησιν ἔλαβεν, ἡ δὲ τῶν ὑδάτων φύσις καὶ ἐπάνω τῶν οὐρανῶν τὴν μονὴν ἐδέξατο.[1] καὶ τούτου μάρτυς αὐτὸς ὁ προφήτης βοῶν «αἰνεῖτε τὸν κύριον, οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὰ ὕδατα τὰ ἐπάνω τῶν οὐρανῶν αἰνεσάτωσαν τὸ ὄνομα κυρίου.[2]» II. οὐ μόνον δὲ τοῦτο τὴν ἀξιοπιστίαν τοῦ ὕδατος παρίστησιν, ἀλλὰ καὶ τὸ πάντων αἰδεσιμώτερον, ὅτι ὁ πάντων δημιουργὸς Χριστὸς ὡς ὑετὸς κατῆλθε καὶ ὡς πηγὴ ἐγνώσθη καὶ ὡς ποταμὸς διεδόθη καὶ ἐν τῷ Ἰορδάνῃ ἐβαπτίσθη. ἤκουες γὰρ ἀρτίως, πῶς ἐλθὼν ὁ Ἰησοῦς πρὸς τὸν Ἰωάννην ἐν τῷ Ἰορδάνῃ ἐβαπτίσθη ὑπ' αὐτοῦ. ὢ παραδόξων πραγμάτων· πῶς ὁ ἀπερίγραπτος, «ποταμὸς ὁ εὐφραίνων τὴν πόλιν τοῦ θεοῦ[3]» ἐν ὀλίγῳ ὕδατι ἐλούετο, ἡ ἀκατάληπτος πηγὴ ἡ ζωὴν βλαστάνουσα πᾶσιν ἀνθρώποις καὶ τέλος μὴ ἔχουσα ὑπὸ πενιχρῶν καὶ προσκαίρων ὑδάτων ἐκαλύπτετο. ὁ πάντη παρὼν καὶ μηδαμοῦ ἀπολιμπανόμενος, ὁ ἀκατάληπτος ἀγγέλοις καὶ

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis ἔνθ' ἀνωτ.

1. Πρβλ. Γεν. 1, 7. 2. Ψαλμ. 148, 4-5. 3. Ψαλμ. 45, 5.

ἀόρατος ἀνθρώποις ἐπὶ τὸ βάπτισμα ἔρχεται, ὡς ηὐδόκησεν. ταῦτα ἀκούων, ἀγαπητέ, μὴ φυσικῶς ἐκλάμβανε τὰ λεγόμενα, ἀλλ' οἰκονομικῶς δέχου τὰ παρατιθέμενα, διὸ καὶ ὁ κύριος τῇ φιλανθρωπίᾳ τῆς συγκαταβάσεως οὐκ ἔλαθε τὴν τῶν ὑδάτων φύσιν, ὅπερ ἐποίησεν ἐν κρυφῇ. «εἶδον γάρ αὐτὸν τὰ ὕδατα καὶ ἐφοβήθησαν [1]», ἐξέστησαν μικροῦ δεῖν καὶ τῆς ὁροθεσίας ἀπέφυγον· ὅθεν ὁ προφήτης ἐκ πολλῶν τῶν χρόνων τοῦτο θεωρήσας ἐπερωτᾷ λέγων «τί σοί ἐστιν, θάλασσα, ὅτι ἔφυγες; καὶ σύ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; [2]» αὐτὰ δὲ ἀποκριθέντα εἶπον Τὸν πάντων κτιστὴν ἐν «μορφῇ δούλου [3]» εἴδομεν καὶ τὸ μυστήριον τῆς οἰκονομίας ἀγνοήσαντες ἀπὸ τῆς δειλίας ἐλαυνόμεθα, III. νῦν δὲ γνόντες τὴν οἰκονομίαν προσκυνοῦμεν αὐτοῦ τὴν εὐσπλαγχνίαν, ὅτι παραγέγονε σῶσαι καὶ οὐ κρῖναι τὴν οἰκουμένην. ὅθεν Ἰωάννης ὁ τοῦ κυρίου πρόδρομος ἀγνοήσας τοῦτο τὸ μυστήριον καὶ μαθὼν ὅτι ἀληθῶς ὁ κύριός ἐστιν, ἐβόα λέγων τοῖς ἀπερχομένοις ὑπ' αὐτοῦ βαπτισθῆναι «γεννήματα ἐχιδνῶν [4]», τί μοι σφοδρῶς ἀτενίζετε; «οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός· [5]» ὑπηρέτης εἰμὶ καὶ οὐκ αὐθέντης· ἰδιώτης εἰμί, οὐ βασιλεύς· πρόβατόν εἰμι, οὐ ποιμήν· ἄνθρωπός εἰμι, οὐ θεός· στείρωσιν ἔλυσα μητρὸς γεννηθείς, οὐ παρθενίαν ἐστείρωσα· ἐκ τῶν κάτωθεν ἀνεδόθην, ἐκ τῶν ἄνωθεν οὐ κατῆλθον· πατρικὴν ἔδησα γλῶσσαν, οὐ θεϊκὴν ἥπλωσα χάριν· ὑπὸ μητρὸς ἐγνώσθην, ὑπὸ ἀστέρος δὲ οὐκ ἐμηνύθην· ἐγὼ εὐτελὴς καὶ ἐλάχιστος, «ἔρχεται δὲ ὀπίσω μου ὃς ἔμπροσθέν μου ἐστίν [6]», ὀπίσω διὰ τὸν χρόνον, ἔμπροσθεν διὰ τὸ ἀπρόσιτον καὶ ἀνέκφραστον τῆς θεότητος φῶς. «ἔρχεται ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι, αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί.[7]» ἐγὼ ὑπεξούσιος, αὐτὸς δὲ αὐτεξούσιος· ἐγὼ ἁμαρτιῶν ἔνοχος, αὐτὸς δὲ ἁμαρτιῶν ἀφαιρετής· ἐγὼ τὸν νόμον παράπτω, αὐτὸς δὲ τὴν χάριν φωταγωγεῖ· ἐγὼ ὡς δοῦλος κατηχῶν, αὐτὸς δὲ ὡς δεσπότης κρίνων· ἐγὼ τὸ ἔδαφος κλίνην ἔχω, αὐτὸς τὸν οὐρανὸν ἔχει· ἐγὼ μετανοίας βαπτίζω βάπτισμα, αὐτὸς δὲ υἱοθεσίας δωρεῖται χάρισμα. «αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί.» τί ἐμοὶ προσανέχετε; «οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός.[8]» IV. ταῦτα τοῦ Ἰωάννου πρὸς τὸν ὄχλον λέγοντος καὶ τοῦ λαοῦ παραδοκοῦντος ξένον τι θέαμα τοῖς σωματικοῖς ὀφθαλμοῖς θεάσασθαι καὶ τοῦ διαβόλου καταπληττομένου ἐπὶ τῇ τοσαύτῃ τοῦ Ἰωάννου μαρτυρίᾳ, ἰδοὺ ὁ κύριος παραγίνεται λιτός, μόνος, γυμνός, ἀπροστάτευτος, ἔνδυμα ἔχων τὸ ἀνθρώπινον σῶμα, κρύπτων δὲ τὸ τῆς θεότητος ἀξίωμα, ἵνα λάθῃ τοῦ δράκοντος τὸ πανούργευμα. καὶ οὐ μόνον ὡς κύριος ἐκτὸς τῆς βασιλικῆς δορυφορίας πρὸς τὸν Ἰωάννην παραγέγονεν, ἀλλὰ καὶ ὡς ἄνθρωπος λιτὸς καὶ ὑπόχρεως ἁμαρτιῶν ἔκλινε

1. Ψαλμ. 76, 17. 2. Ψαλμ. 113, 5. 3. Φιλιππ. 2, 7. 4. Ματθ. 3, 7. 5. Ἰω. 1, 20. 6. Ἰω. 1, 30. 7. Ματθ. 3, 11. Μάρκ. 1, 7-8. Λουκ. 3, 16. 8. Ἰω. 1, 20.

τὴν κεφαλὴν αὐτοῦ βαπτισθῆναι ὑπὸ Ἰωάννου. ὅθεν ὁ Ἰωάννης θεασάμενος τὴν τοσαύτην ταπεινοφροσύνην θαμβηθεὶς ἐπὶ τῷ πράγματι ἤρξατο διακωλύειν αὐτὸν λέγων, καθὼς ἀρτίως ἠκούσατε, «ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρὸς μέ; [1]» τί ποιεῖς, ὦ δέσποτα; ἀκανόνιστα δογματίζεις. ἄλλα κατήγγειλα καὶ ἄλλα μετέρχῃ· ἄλλα ἤκουσεν ὁ διάβολος καὶ ἄλλα κατανοεῖ. βάπτισόν με τῷ πυρὶ τῆς θεότητος· τί περιμένεις τὸ ὕδωρ; φώτισον τῷ πνεύματι· τί προσανέχεις τῷ κτίσματι; βάπτισόν με τὸν βαπτιστήν, ἵνα γνωσθῇ σου ἡ ὑπεροχή. ἐγώ, δέσποτα, μετανοίας βαπτίζω βάπτισμα καὶ τοὺς προσερχομένους πρός με ἀμήχανον βαπτίσαι, ἐὰν μὴ τὰς ἁμαρτίας αὐτῶν ἐξομολογήσωνται. κείσθω ὅτι βαπτίζω σε, τί ἔχεις ἐξομολογήσασθαι; ἁμαρτιῶν ἀφαιρετὴς ὑπάρχεις καὶ τὸ τῆς μετανοίας θέλεις βαπτισθῆναι βάπτισμα; εἰ καὶ ἐγώ σε τολμήσω βαπτίσαι, ὁ Ἰορδάνης οὐ τολμᾷ πλησιάσαι. «ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι καὶ σὺ ἔρχῃ πρός με;» V. τί οὖν ὁ κύριος πρὸς αὐτόν; «ἄφες ἄρτι, οὕτω γὰρ πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην.[2]» «ἄφες ἄρτι», Ἰωάννη, οὐκ εἶ μου σοφώτερος. σὺ ὡς ἄνθρωπος βλέπεις, ἐγὼ ὡς θεὸς προγινώσκω. πρῶτόν με δεῖ ποιῆσαι καὶ οὕτω διδάξαι. οὐδὲν ἀπρεπὲς μετέρχομαι, εὐπρέπειαν γὰρ περιβέβλημαι. θαυμάζεις, ὦ Ἰωάννη, ὅτι οὐκ ἦλθον μετὰ τοῦ ἀξιώματός μου; ἰδιώτῃ μὲν γὰρ οὐ πρέπει βασιλικὴ ἁλουργίς, βασιλεῖ δὲ πρέπει στρατιωτικὸν σχῆμα. πρὸς τύραννον ἦλθον, μὴ γὰρ πρὸς φίλον; «ἄφες ἄρτι, οὕτω γὰρ πρέπον ἡμῖν ἐστιν πληρῶσαι πᾶσαν δικαιοσύνην.[3]» πληρωτής εἰμι νόμου, οὐδὲν βούλομαι ἐλλιπὲς καταλεῖψαι εἰς πᾶν τὸ πλήρωμα, ἵνα μετ' ἐμὲ βοήσῃ ὁ Παῦλος «πλήρωμα νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι.[4]» «ἄφες ἄρτι, οὕτω γὰρ πρέπον ἡμῖν ἐστιν πληρῶσαι πᾶσαν δικαιοσύνην.» βάπτισόν με, Ἰωάννη, ἵνα μηδεὶς βαπτίσματος καταφρονήσῃ. ὑπὸ σοῦ τοῦ δούλου βαπτίζομαι, ἵνα μηδεὶς βασιλέων ἢ ὑπερεχόντων διαπτύσῃ ὑπὸ πενιχροῦ ἱερέως βαπτισθῆναι. ἄφες ἐν τῷ Ἰορδάνῃ κατέλθω, ἵνα ἀκούσωσι τὴν πατρῴαν μαρτυρίαν καὶ ἐπιγνώσωνται τὴν τοῦ υἱοῦ δύναμιν. «ἄφες ἄρτι, οὕτω γὰρ πρέπον ἡμῖν ἐστιν πληρῶσαι πᾶσαν δικαιοσύνην. τότε λοιπὸν ἀφίησιν αὐτὸν ὁ Ἰωάννης. καὶ βαπτισθεὶς ὁ Ἰησοῦς εὐθέως ἀνέβη ἀπὸ τοῦ ὕδατος καὶ ἠνεῴχθησαν αὐτῷ οἱ οὐρανοί, καὶ ἰδοὺ τὸ πνεῦμα τοῦ θεοῦ κατέρχεται ἐν εἴδει περιστερᾶς καὶ ἔμεινεν ἐπ' αὐτὸν καὶ φωνὴν ἐκ τῶν οὐρανῶν λέγουσα Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα.[5]» VI. εἶδες, ἀγαπητέ, πόσων καὶ πηλίκων ἀγαθῶν ἐμέλλομεν ζημιοῦσθαι, εἰ εἶξεν ὁ κύριος τῇ τοῦ Ἰωάννου παρακλήσει καὶ παρῃτήσατο τὸ βάπτισμα. κεκλεισμένοι γὰρ ἦσαν πρὸ τούτου οἱ οὐρανοί, ἄβατον ἦν τὸ ἄνω χωρίον. ἐν τοῖς κάτω κατήειμεν, ἐν τοῖς ἄνω δὲ οὐκ ἀνή-

1. Ματθ. 3, 14. 2. Ματθ. 3, 15. 3. Ματθ. 3, 15. 4. Ῥωμ. 10, 4. Ματθ. 3, 15-17.

ειμεν. μόνον δὲ ὁ δεσπότης ἐβαπτίσθη καὶ τὸν «παλαιὸν ἄνθρωπον ἀνεκαίνισεν [1]» καὶ τὰ σκῆπτρα τῆς υἱοθεσίας αὐτῷ πάλιν ἐπίστευσεν. «εὐθέως γὰρ ἠνεῴχθησαν αὐτῷ οἱ οὐρανοί.» διαλλαγὴ γέγονε τῶν ὁρατῶν πρὸς τὰ ἀόρατα, ἐχαροποιήθησαν τὰ οὐράνια τάγματα, ἰάθη τὰ ἐπίγεια νοσήματα, ἐγνώσθη τὰ ἀπόρρητα πράγματα, ἐφιλιώθη τὰ ἐχθραίνοντα. ἤκουες γὰρ τοῦ εὐαγγελιστοῦ λέγοντος «ἠνεῴχθησαν αὐτῷ οἱ οὐρανοί.» τριῶν παραδόξων πραγμάτων χάριν. τοῦ γὰρ νυμφίου Χριστοῦ βαπτιζομένου ἔδει τὸν οὐράνιον θάλαμον τὰς λαμπροφόρους ἀνοῖξαι πύλας. ὡσαύτως δὲ καὶ τοῦ ἁγίου πνεύματος ἐν εἴδει περιστερᾶς κατιόντος καὶ τῆς πατρῴας φωνῆς πανταχοῦ διαδιδομένης, ἔδει τὰς ἐπουρανίους πύλας ἐπηρμένας ὑπάρχειν.[2] «καὶ ἰδοὺ ἠνεῴχθησαν αὐτῷ οἱ οὐρανοὶ καὶ φωνὴ ἐγένετο λέγουσα Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα.» VII. ἀγαπητὸς ἀγάπην γεννᾷ καὶ φῶς ἄϋλον «φῶς ἀπρόσιτον.[3]» «οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός», ὁ κάτω ἐπιφανεὶς καὶ τῶν πατρῴων κόλπων μὴ χωρισθείς. ἐπεφάνη, οὐκ ἐφάνη. ἄλλο γὰρ τὸ φανῆναι, ἐπειδὴ πρὸς τὸ φαινόμενον ὁ βαπτίζων τοῦ βαπτιζομένου προέχει. τούτου ἕνεκεν ὁ πατὴρ οὐρανόθεν τὸ ἅγιον πνεῦμα ἐπὶ τὸν βαπτιζόμενον κατέπεμπεν. ὥσπερ γὰρ ἐν τῇ κιβωτῷ τοῦ Νῶε διὰ περιστερᾶς μηνύεται «ἡ φιλανθρωπία τοῦ θεοῦ [4]», οὕτω καὶ νῦν τὸ ἐν εἴδει περιστερᾶς κατελθὸν πνεῦμα ὡς καρπὸν ἐλαίας βαστάσαν ἐπὶ τὸν μαρτυρούμενον κατέστη. διὰ τί; ἵνα καὶ τῆς πατρῴας φωνῆς τὸ βέβαιον γνωρισθῇ καὶ ἡ προφητικὴ πρόρρησις ἐκ πολλῶν τῶν χρόνων πιστωθῇ. ποία ταύτη; «φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ θεὸς τῆς δόξης ἐβρόντησεν, κύριος ἐπὶ ὑδάτων πολλῶν.[5]» ποία φωνή; «οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα.» οὗτός ἐστιν ὁ τοῦ Ἰωσὴφ ὀνομαζόμενος υἱός, καὶ ἐμὸς μονογενὴς κατὰ τὴν θεϊκὴν οὐσίαν. «οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός», ὁ πεινῶν καὶ τρέφων μυριάδας, καὶ κοπιῶν καὶ ἀναπαύων τοὺς κοπιῶντας, ὁ μὴ ἔχων ποῦ τὴν κεφαλὴν κλῖναι [6] καὶ πάντα ἐν τῇ χειρὶ βαστάζων, ὁ πάσχων καὶ τὰ πάθη ἰώμενος, ὁ ῥαπιζόμενος καὶ ἐλευθερίαν τῷ κόσμῳ δωρούμενος, ὁ τὴν πλευρὰν νυττόμενος καὶ τὴν πλευρὰν τοῦ Ἀδὰμ διορθούμενος. VIII. ἀλλὰ συντείνατέ μοι τὸν νοῦν, παρακαλῶ, μετὰ ἀκριβείας· βούλομαι γὰρ ἐπὶ τὴν πηγὴν τῆς ζωῆς ἀναδραμεῖν καὶ θεάσασθαι τὴν πηγὴν τῶν ἰαμάτων πηγάζουσαν. ὁ τῆς ἀθανασίας πατὴρ τὸν ἀθάνατον υἱὸν καὶ λόγον ἀπέστειλεν εἰς τὸν κόσμον, ὃς ἀφικόμενος εἰς τὸν ἄνθρωπον λούσασθαι ὕδατι καὶ πνεύματι, καὶ ἀναγεννήσας πρὸς ἀφθαρσίαν ψυχῆς τε καὶ σώματος, ἐνεφύσησεν ἡμῖν πνεῦμα ζωῆς, περιαμφιάσας ἡμᾶς ἀφθάρτῳ πανοπλίᾳ. εἰ οὖν ἀθάνατος γέγονεν ὁ ἄνθρωπος, ἔσται καὶ θεός. εἰ δὲ θεὸς δι᾽ ὕδατος καὶ πνεύματος ἁγίου μετὰ τὴν

1. Πρβλ. Κολ. 3, 9. 2. Πρβλ. Ψαλμ. 23, 7. 3. Α' Τιμ. 6, 16. 4. Τίτ. 3, 4. 5. Ψαλμ. 28, 3. 6. Πρβλ. Ματθ. 8, 20. Λουκ. 9, 58.

τῆς κολυμβήθρας ἀναγέννησιν γίνεται, εὑρίσκεται καὶ συγκληρονόμος Χριστοῦ [1] μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν. διὸ κηρύσσω λέγων Δεῦτε πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν ἐπὶ τὴν τοῦ βαπτίσματος ἀθανασίαν· ζωὴν ὑμῖν εὐαγγελίζομαι τοῖς ἐν τῷ ζόφῳ τῆς ἀγνωσίας ἐνδιατρίβουσιν· δεῦτε εἰς ἐλευθερίαν ἐκ δουλείας, εἰς βασιλείαν ἐκ τυραννίδος, εἰς ἀφθαρσίαν ἐκ τῆς φθορᾶς. καὶ πῶς, φησίν, ἐλευσόμεθα; πῶς; δι᾽ ὕδατος καὶ ἁγίου πνεύματος.[2] τοῦτο δέ ἐστιν τὸ ὕδωρ τὸ τῷ πνεύματι κοινωνοῦν, δι᾽ οὗ παράδεισος ποτίζεται, δι᾽ οὗ ἡ γῆ πιαίνεται, δι᾽ οὗ φυτὸν αὔξει, δι᾽ οὗ ζῷα τεκνογονεῖ καί, ἵνα πάντα συνελὼν εἴπω, δι᾽ οὗ ἀναγεννώμενος ζωογονεῖται ἄνθρωπος, ἐν ᾧ καὶ ὁ Χριστὸς ἐβαπτίσατο, ἐν ᾧ καὶ τὸ πνεῦμα κατήρχετο ἐν εἴδει περιστερᾶς. IX. τοῦτο δέ ἐστιν τὸ πνεῦμα τὸ ἀπ᾽ ἀρχῆς ἐπιφερόμενον ἐπάνω τῶν ὑδάτων [3], δι᾽ οὗ ὁ κόσμος κινεῖται, δι᾽ οὗ κτίσις ἵσταται καὶ τὰ σύμπαντα ζωογονεῖται, τὸ ἐν προφήταις ἐνεργῆσαν, τὸ ἐπὶ Χριστὸν καταπτάν. τοῦτό ἐστι τὸ πνεῦμα τὸ δοθὲν τοῖς ἀποστόλοις ἐν εἴδει πυρίνων γλωσσῶν.[4] τοῦτο τὸ πνεῦμα ἐζήτει Δαβὶδ λέγων «καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.[5]» περὶ τούτου καὶ Γαβριὴλ ἔλεγε τῇ παρθένῳ «πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι.[6]» διὰ τούτου τοῦ πνεύματος Πέτρος ἐφθέγξατο τὴν μακαρίαν ἐκείνην φωνὴν «σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος.[7]» διὰ τούτου τοῦ πνεύματος ἐστερεώθη ἡ πέτρα τῆς ἐκκλησίας. τοῦτό ἐστιν τὸ πνεῦμα ὁ παράκλητος τὸ διὰ σὲ πεμπόμενον, ἵνα δείξῃ σε τέκνον θεοῦ. X. δεῦρο τοίνυν, ἀναγεννήθητι, ἄνθρωπε, εἰς υἱοθεσίαν θεοῦ. καὶ πῶς; φησίν. ἐὰν μηκέτι μοιχεύσῃς μηδὲ φονεύσῃς μηδὲ εἰδωλολατρεύσῃς, ἐὰν μὴ κρατηθῇς ὑφ᾽ ἡδονῆς, ἐὰν μὴ πάθος ὑπερηφανίας κυριεύσῃ σου, ἐὰν ἀποξέσῃς τὸν ῥύπον τῆς ἀκαθαρσίας καὶ ἀπορρίψῃς τὸ φορτίον τῆς ἁμαρτίας, ἐὰν ἀποδύσῃ τὴν πανοπλίαν τοῦ διαβόλου καὶ «ἐνδύσῃ τὸν θώρακα τῆς πίστεως [8]», καθώς φησιν Ἡσαΐας «λούσασθε καὶ καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν καρδιῶν ὑμῶν· μάθετε καλὸν ποιεῖν· ἐκζητήσατε κρίσιν· ῥύσασθε ἀδικούμενον· κρίνατε ὀρφανῷ καὶ δικαιώσατε χήραν. καὶ δεῦτε καὶ διαλεχθῶμεν, λέγει κύριος. καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ. καὶ ἐὰν θέλητε καὶ τῆς φωνῆς μου ἀκούσητε, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε.[9]» εἶδες, ἀγαπητέ, πῶς προεῖπεν ὁ προφήτης τὸ τοῦ βαπτίσματος καθάρσιον. ὁ γὰρ καταβαίνων μετὰ πίστεως εἰς τὸ τῆς ἀναγεννήσεως λουτρὸν ἀποτάσσεται τῷ πονηρῷ, συντάσσεται δὲ τῷ Χριστῷ· ἀπαρνεῖται τὸν ἐχθρόν, ὁμολογεῖ δὲ τὸ θεὸν εἶναι τὸν Χριστόν· ἀποδύεται τὴν δου-

1. Πρβλ. Ῥωμ. 8, 17. 2. Πρβλ. Ἰω. 3, 5. 3. Γεν. 1, 2. 4. Πράξ. 2, 3. 5. Ψαλμ. 50, 12. 6. Λουκ. 1, 35. 7. Ματθ. 16, 16. 8. Α' Θεσσ. 5, 8. 9. Ἡσ. 1, 16-19.

λείαν, ἐνδύεται δὲ τὴν υἱοθεσίαν· ἀνέρχεται ἀπὸ τοῦ βαπτίσματος «λαμπρὸς ὡς ὁ ἥλιος[1]», ἀπαστράπτων τὰς τῆς δικαιοσύνης ἀκτῖνας. τὸ δὲ μέγιστον, ἄνεισιν υἱὸς θεοῦ καὶ συγκληρονόμος Χριστοῦ.[2] αὐτῷ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. ἀμήν.

1. Ματθ. 17, 2. 2. Πρβλ. Ῥωμ. 8, 17.

ΤΟΥ ΑΓΙΟΥ ΙΠΠΟΛΥΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΠΟΡΤΟΥ, ΗΓΟΥΝ ΤΟΥ ΛΙΜΕΝΟΣ ΡΩΜΗΣ ΚΑΙ ΜΑΡΤΥΡΟΣ ΤΗΣ ΑΛΗΘΕΙΑΣ

Ἐκ τοῦ κατὰ Βήρωνος καὶ Ἥλικος τῶν αἱρετικῶν Περὶ θεολογίας καὶ σαρκώσεως κατὰ στοιχεῖον λόγου, οὗ ἡ ἀρχή, «Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ, ἀσιγήτῳ φωνῇ βοῶντα τὰ Σεραφεὶμ τὸν Θεὸν δοξάζουσιν.» *

I. Ἀπειροδυνάμῳ γὰρ θελήσει τοῦ Θεοῦ καὶ γέγονε πάντα, καὶ σώζεται τὰ γενόμενα, κατὰ τοὺς ἑαυτῶν εὐκρινῶς ἕκαστα συντηρούμενα λόγους, αὐτῷ τῷ κατὰ φύσιν ἀπειροδυνάμῳ Θεῷ, καὶ ποιητῇ τῶν ὅλων· τῆς θείας αὐτοῦ θελήσεως, ἣ τὰ πάντα πεποίηκέ τε καὶ κινεῖ, τοῖς ἑαυτῶν ἕκαστα φυσικοῖς διεξαγόμενα νόμοις, ἀκινήτου συνδιαμενούσης. Τὸ γὰρ ἄπειρον κατ' οὐδένα τρόπον, ἢ λόγον, ἐπιδέχεται κίνησιν, οὐκ ἔχον ὅποι καὶ περὶ ὃ κινηθήσεται. Τροπὴ γὰρ τοῦ κατὰ φύσιν ἀπείρου, κινεῖσθαι μὴ πεφυκότος, ἡ κίνησις. Διὸ καὶ καθ' ἡμᾶς ἀληθῶς γενόμενος ἄνθρωπος χωρὶς ἁμαρτίας ὁ τοῦ Θεοῦ Λόγος, ἐνεργήσας τε καὶ παθὼν ἀνθρωπίνως ὅσα τῆς φύσεώς ἐστιν ἀναμάρτητα, καὶ φυσικῆς σαρκὸς περιγραφῆς ἀνασχόμενος δι' ἡμᾶς, τροπὴν οὐχ ὑπέμεινεν, μηδ' ἑνὶ παντελῶς ὃ ταὐτόν ἐστι τῷ Πατρί, γενόμενος ταὐτὸν τῇ σαρκὶ διὰ τὴν κένωσιν. Ἀλλ' ὥσπερ ἦν δίχα σαρκός, πάσης ἔξω περιγραφῆς μεμένηκε· καὶ διὰ σαρκὸς θεϊκῶς ἐνεργήσας ἅπερ θεότητός ἐστιν· ἀμφότερα δεικνὺς ἑαυτόν, δι' ὧν ἀμφοτέρως, θεϊκῶς δή φημι καὶ ἀνθρωπίνως, ἐνήργησε, κατ' αὐτὴν τὴν ὄντως ἀληθῆ καὶ φυσικὴν ὕπαρξιν· Θεὸν ἄπειρον ὁμοῦ καὶ περιγραπτὸν ἄνθρωπον ὄντα τε καὶ νοούμενον, τὴν οὐσίαν ἑκατέρου τελείως ἔχοντα, μετὰ τῆς αὐτῆς ἐνεργείας, ἤγουν φυσικῆς ἰδιότητος· ἐξ ὧν μένουσαν ἀεὶ κατὰ φύσιν δίχα τροπῆς τὴν αὐτῶν ἴσμεν διαφοράν. Ἀλλ' οὐχ ὥς τινές φασι κατὰ σύγκρισιν· ἵνα μὴ τὸν αὐτὸν ἑαυτῷ κατὰ τὸ αὐτό, παρ' ὃ δεῖ, μείζονα καὶ μείονα λέγωμεν. Ὁμοφυῶν γάρ, οὐχ ἑτεροφυῶν, αἱ συγκρίσεις. Θεῷ δὲ ποιητῇ τῶν ὅλων ποιητόν, ἀπείρῳ περατόν, καὶ ἀπειρίᾳ πέρας, κατ' οὐδένα συγκρίνεται λόγον, ἀεὶ κατὰ πάντα φυσικῶς, ἀλλ' οὐ συγκριτικῶς, ἀλλήλων διαφέροντα. Κἂν ἄρρητός τις καὶ ἄρρηκτος εἰς μίαν ὑπόστασιν ἀμφοτέρων γέγονεν ἕνωσις, πᾶσαν παντὸς γενητοῦ παντελῶς διαφεύγουσα γνῶσιν. Τὸ γὰρ θεῖον, ὡς ἦν πρὸ σαρκώσεως, ἐστὶ καὶ μετὰ σάρκωσιν, κατὰ φύσιν ἄπειρον, ἄσχετον ἀπαθές, ἀσύγκριτον, ἀναλλοίωτον, ἄτρεπτον, αὐτοσθενές, καὶ τὸ πᾶν εἰπεῖν, ὑφεστὼς οὐσιῶδες μόνον ἀπειροσθενὲς ἀγαθόν.

* Migne, τ. 10, σελ. 829 κ.ἑξ.

Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου. β'.

II. Γέγονεν οὖν ἀληθῶς, κατὰ τὰς Γραφάς, μὴ τραπεὶς ὁ τῶν ὅλων Θεός, ἄνθρωπος ἀναμάρτητος· ὡς οἶδεν αὐτὸς μόνος, ὑπάρχων τεχνίτης φυσικὸς τῶν ὑπὲρ ἔννοιαν· κατ' αὐτὴν ἅμα τὴν σωτήριον σάρκωσιν, τῆς ἰδίας θεότητος ἐμποιήσας τῇ σαρκὶ τὴν ἐνέργειαν, οὐ περιγραφομένην αὐτῇ διὰ τὴν κένωσιν· οὐδ' ὥσπερ τῆς αὐτοῦ θεότητος, οὕτω καὶ αὐτῆς φυσικῶς ἐκφυομένην· ἀλλ' ἐν οἷς ἂν σαρκωθεὶς θεϊκῶς ἐνήργησε, δι' αὐτῆς ἐκφαινομένην. Οὐ γὰρ γέγονε φύσει θεότης μεταβληθεῖσα τὴν φύσιν, ἡ σὰρξ γενομένη τῇ φύσει θεότητος σάρξ· ἀλλ' ὅπερ ἦν καὶ θεότητι συμφυεῖσα μεμένηκε τὴν φύσιν καὶ τὴν ἐνέργειαν· καθὼς εἶπεν ὁ Σωτήρ· «Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής·[1]» καθ' ἣν ἐνεργήσας τε καὶ παθὼν ἅπερ ἦν ἀναμαρτήτου σαρκός, τὴν ὑπὲρ ἡμῶν ἐπιστώσατο κένωσιν θεότητος, θαύμασι καὶ σαρκὸς παθήμασι φυσικῶς βεβαιουμένην. Διὰ γὰρ τοῦτο γέγονεν ἄνθρωπος ὁ τῶν ὅλων Θεός, ἵνα σαρκὶ μὲν παθητῇ πάσχων, ἅπαν ἡμῶν τὸ τῷ θανάτῳ πραθὲν λυτρώσηται γένος· ἀπαθεῖ δὲ θεότητι διὰ σαρκὸς θαυματουργῶν, πρὸς τὴν ἀκήρατον αὐτοῦ καὶ μακαρίαν ἐπαναγάγῃ ζωήν, ἧς ἀπέπεσεν τῷ διαβόλῳ πειθόμενος· καὶ τὰ κατ' οὐρανοὺς ἅγια τάγματα τῶν νοερῶν οὐσιῶν στομώσῃ πρὸς ἀτρεψίαν τῷ μυστηρίῳ τῆς αὐτοῦ σωματώσεως· ἧς ἔργον ἡ τῶν ὅλων ἐστὶν εἰς αὐτὸν ἀνακεφαλαίωσις. Μεμένηκεν οὖν καὶ σαρκωθεὶς κατὰ τὴν φύσιν Θεὸς ὑπεράπειρος, τὴν ἑαυτῷ συγγενῆ καὶ κατάλληλον ἔχων ἐνέργειαν· τῆς μὲν θεότητος οὐσιωδῶς ἐκφυομένην· διὰ δὲ τῆς αὐτοῦ παναγίας σαρκὸς ἐν τοῖς θαύμασιν οἰκονομικῶς ἐκφαινομένην· ἵνα πιστευθῇ Θεὸς εἶναι, δι' ἀσθενοῦς φύσει σαρκὸς αὐτουργῶν τὴν τοῦ παντὸς σωτηρίαν.

Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου. γ'.

III. Κἀμοὶ γάρ, ἵνα τρανώσω παραδείγματι τὸ περὶ Σωτῆρος λεχθέν, ὁ φυσικός μου λόγος συγγενής ἐστι καὶ κατάλληλος ὄντι λογικῷ τε καὶ νοερῷ τὴν ψυχήν· ἧς κατὰ φύσιν ἐστὶν αὐτοκίνητος ἐνέργειά τε καὶ πρώτη δύναμις, ἀεικίνητος, ὁ λόγος φυσικῶς αὐτῆς πηγαζόμενος. Ὃν ῥηματίσας τε καὶ γραμμαῖς εὖ χαράξας, γλώσσῃ μὲν ὀργανικῶς, ὅτε χρὴ προφέρω, καὶ γράμμασι τεχνικῶς διὰ τῶν ἀνομοίων μὲν ὑπάρχοντα καὶ διὰ τῶν ἀνομοίων μὴ τραπέντα δεικνὺς αὐτὸν ἐξακουόμενον. Οὐ γὰρ γλώσσης καὶ γραμμάτων ὁ φυσικός μου λόγος ἐστί, κἂν δι' αὐτῶν αὐτοῦ ποιοῦμαι τὴν προφοράν· ἀλλ' ἐμοῦ τοῦ κατὰ φύσιν λαλοῦντος, καὶ δι' ἀμφοῖν αὐτὸν ὡς ἐμὸν ἐκφωνοῦντος· τῆς μὲν νοερᾶς μου ψυχῆς φυσικῶς ἀεὶ πηγαζόμενον· διὰ δὲ τῆς σωματικῆς μου γλώσσης ὀργανικῶς, ὡς ἔφην, ὅτε χρὴ

1. Ματθ. 26, 42.

προφερόμενον. Ὥσπερ οὖν ἐφ' ἡμῶν, ὅσον εἰκάσαι τὸ παντελῶς ἀνείκαστον, διὰ τῆς σωματικῆς ἡμῶν γλώσσης ἀτρέπτως ἡ κατὰ φύσιν τῆς ψυχῆς λογικὴ προφέρεται δύναμις· οὕτω καὶ ἐπὶ τῆς ὑπερφυοῦς τοῦ Θεοῦ σωματώσεως, διὰ τῆς αὐτοῦ παναγίας σαρκός, ἐν οἷς ἂν θεϊκῶς ἐνήργησε, δίχα τροπῆς ἡ παντοκρατορική, καὶ τῶν ὅλων ποιητικὴ τῆς ὅλης θεότητος ἐνέργεια διαδείκνυται, πάσης ἐκτὸς κατὰ φύσιν περιγραφῆς διαμένουσα, κἂν διὰ σαρκὸς διέλαμψε φύσει πεπερασμένης. Οὐ γὰρ πέφυκε περιγράφεσθαι γενητῇ φύσει τὸ κατὰ φύσιν ἀγένητον· κἂν συνέφυ αὐτῷ κατὰ σύλληψιν πάντα περιγράφουσαν νοῦν· οὔτε μὴν εἰς τ' αὐτὸν αὐτῷ φέρεσθαι φύσεώς ποτε καὶ φυσικῆς ἐνεργείας, ἕως ἂν ἑκάτερον τῆς ἰδίας ἐντὸς μένει φυσικῆς ἀτρεψίας. Ὁμοφυῶν γὰρ μόνων ἡ ταυτουργός ἐστι κίνησις σημαίνουσα τὴν οὐσίαν, ἧς φυσικὴ καθέστηκε δύναμις, ἑτεροφυοῦς ἰδιότητος οὐσίας εἶναι κατ' οὐδένα λόγον, ἢ γενέσθαι δίχα τροπῆς δυναμένην.

Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου. δ'.

IV. Τὸ γὰρ μυστήριον τῆς θείας σαρκώσεως, ἀποστόλοις τε, καὶ προφήταις, καὶ διδασκάλοις, διττὴν καὶ διαφορὰν ἔχον διέγνωσται τὴν ἐν πᾶσι φυσικὴν θεωρίαν· ἀνελλιποῦς ὑπάρχον θεότητος, καὶ πλήρους ἐνδεικτικὸν ἀνθρωπότητος ὄν. Ἕως ἂν οὐχ εἷς κατὰ τὴν οὐσίαν γνωρίζεται Λόγος μιᾶς ἐνεργείας, οὐδέποτε καθ' ὁτιοῦν ἀμφοτέρων γνωσθήσεται κίνησις. Ὁ γὰρ ἀεὶ κατὰ φύσιν ὑπάρχων Θεός, ὑπεραπείρῳ δυνάμει γενόμενος ὡς ἠθέλησεν ἄνθρωπος ἀναμάρτητος, ὅπερ ἦν ἐστι, μεθ' ὅσων νοεῖται Θεός· καὶ ὅπερ γέγονεν, ἐστὶ μεθ' ὅσων νοεῖται καὶ γνωρίζεσθαι πέφυκεν ἄνθρωπος· ἑαυτοῦ καθ' ἑκάτερον ἀεὶ μένων ἀνέκπτωτος, οἷς θεϊκῶς ὁμοῦ καὶ ἀνθρωπίνως ἐνήργησε, τέλειον κατὰ τὸν ἑκατέρου λόγον σῴζων ἑαυτοῦ φυσικῶς ἀναλλοίωτον.

Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου. ε'.

V. Βήρων γάρ τις ἔναγχος, μεθ' ἑτέρων τινῶν, τὴν Βαλεντίνου φαντασίαν ἀφέντες, χείρονι κακῷ κατεπάρησαν, λέγοντες, τὴν μὲν προσληφθεῖσαν τῷ Λόγῳ σάρκα γενέσθαι ταυτουργὸν τῇ θεότητι, διὰ τὴν πρόσληψιν· τὴν θεότητα δὲ γενέσθαι ταυτοπαθῆ τῇ σαρκί, διὰ κένωσιν· τροπὴν ὁμοῦ, καὶ φύρσιν, καὶ σύγχυσιν, καὶ τὴν εἰς ἀλλήλους ἀμφοτέρων μεταβολὴν δογματίζοντες. Εἰ γὰρ προσληφθεῖσα ἡ σὰρξ γέγονε ταυτουργὸς τῇ θεότητι, δηλονότι καὶ φύσει Θεὸς μεθ' ὅσων φυσικῶς νοεῖται Θεός· καὶ εἰ γέγονε κενωθεῖσα τῇ σαρκὶ ταυτοπαθὴς ἡ θεότης, δηλονότι καὶ φύσει σάρξ, μεθ' ὅσων φυσικῶς γνωρίζεσθαι πέφυκε σάρξ. Τὰ γὰρ ἀλλήλοις ὁμοεργῆ, καὶ ταυτουργά, καὶ ὁμόφυλα πάντως, καὶ ταυτοπαθῆ, διαφορὰν οὐκ ἐπιδέχεται φύσεως· καὶ φύσεων αὐτοῖς συγκεχυμένων, ἔσται δυὰς ὁ Χριστός, καὶ προσώπων μεμερισμένων τετράς, τὸ φευκτότατον. Καὶ πῶς αὐτοῖς εἷς

καὶ ὁ αὐτός, Θεὸς ὁμοῦ φύσει καὶ ἄνθρωπος, ὁ Χριστός; ποίαν δὲ κατ' αὐτοὺς ἕξει τὴν ὕπαρξιν, μεταβολῇ θεότητος γενόμενος ἄνθρωπος, καὶ σαρκὸς μεταποιήσει Θεός; Ἡ γὰρ εἰς ἀλλήλας τούτων μετάπτωσις, παντελής ἐστιν ἀμφοτέρων ἀναίρεσις. Σκοπείσθω δὴ πάλιν ἡμῖν ἑτέρως ὁ λόγος.

Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου. ς'.

VI. Εὐσεβὲς κεκύρωται δόγμα Χριστιανοῖς, κατ' αὐτήν τε φύσιν, καὶ τὴν ἐνέργειαν, καὶ πᾶν ἕτερον αὐτῷ προσφυές, ἴσον ἑαυτῷ καὶ ταὐτὸν εἶναι τὸν Θεόν· μηδὲν ἑαυτῷ τῶν ἑαυτοῦ παντελῶς ἄνισον ἔχοντα, καὶ ἀκατάλληλον. Εἰ τοίνυν κατὰ Βήρωνα τῆς αὐτῆς αὐτῷ προσληφθεῖσα φυσικῆς ἐνεργείας γέγονεν ἡ σάρξ, δηλονότι καὶ τῆς αὐτῆς αὐτῷ γέγονε φύσεως μεθ' ὅσων ἡ φύσις, ἀναρχίας, ἀγενησίας, ἀπειρίας, ἀϊδιότητος, ἀκαταληψίας, καὶ τῶν ὅσα τούτων καθ' ὑπεροχὴν ὁ θεολογικὸς ὑπερφυῶς ἐνορᾷ τῇ θεότητι λόγος· καὶ τροπὴν ἀμφότερα πέπονθεν, μηδετέρου τὸν τῆς ἰδίας φύσεως οὐσιώδη λόγον ἔτι σωζόμενον ἔχοντος. Ὁ γὰρ ἑτεροφυῶν εἰδὼς ταυτουργίαν, σύγχυσιν ὁμοῦ φυσικήν, καὶ διαίρεσιν αὐτῶν εἰσηγεῖται προσωπικήν· ἀδιαγνώστου παντελῶς τῇ τῶν ἰδιωμάτων μεταβολῇ τῆς φυσικῆς αὐτῶν γενομένης ὑπάρξεως.

Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου. ζ'.

VII. Εἰ δὲ τῆς αὐτῆς αὐτῷ μὴ γέγονε φύσεως, οὐδὲ τῆς αὐτῆς αὐτῷ ποτε γενήσεται φυσικῆς ἐνεργείας· ἵνα μὴ δειχθῇ τῇ φύσει τὴν ἐνέργειαν ἄνισον ἔχων, καὶ ἀκατάλληλον· καὶ τῆς αὐτοῦ δι' ὅλων τῶν ἑαυτοῦ φυσικῆς ἔξω γεγονὼς ἰσότητος, καὶ ταυτότητος· ὅπερ ἀσεβές.

Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου. η'.

VIII. Εἰς ταύτην δὲ τὴν πλάνην κατήχθησαν, κακῶς πεισθέντες ἰδίαν γενέσθαι τῆς σαρκὸς τὴν δι' αὐτῆς ἐκφανθεῖσαν ἐν τοῖς θαύμασι θείαν ἐνέργειαν· ᾗ τὸ πᾶν ὁ Χριστὸς οὐσιώσας καθ' ὃ νοεῖται Θεός, συνέχει κρατούμενον. Οὐ γὰρ ἔγνωσαν, ἀδύνατον εἶναι θείας ἐνέργειαν φύσεως ἑτεροφανοῦς οὐσίας ἰδίωμα γενέσθαι δίχα τροπῆς· οὐδὲ συνῆκαν, ὡς οὐ παντὸς ἴδιόν ἐστι σαρκός, τὸ δι' αὐτῆς μὲν ἐκφαινόμενον, οὐκ αὐτῆς δὲ φυσικῶς ἐκφυόμενον· καίτοι σαφοῦς αὐτοῖς οὔσης, καὶ προφανοῦς τῆς ἀποδείξεως. Ἐγὼ γὰρ γλώσσῃ λαλῶν, καὶ χειρὶ γράφων, μίαν καὶ αὐτὴν δι' ἀμφοῖν τῆς νοερᾶς μου ψυχῆς ἐκφαίνω διάνοιαν, ἐνέργειαν αὐτῆς ὑπάρχουσαν φυσικήν· μηδενὶ λόγῳ δείξας αὐτὴν γλώσσης, ἢ χειρός, φυσικῶς ἐκφυομένην· μήτε μὴν γενομένην αὐτῶν ἢ λεγομένην διάνοιαν, διὰ τὴν δι' ἀμφοῖν αὐτῆς ἔκφανσιν. Γλῶσσαν γάρ, ἢ χεῖρα, διανοητικὴν συνετὸς οἶδεν οὐδείς· ὥσπερ οὐδὲ τὴν παναγίαν τοῦ Θεοῦ σάρκα, διὰ τὸ προσληφθῆναι, καὶ τὸ δι' αὐτῆς ἐκφανθῆναι τὴν θείαν ἐνέργειαν, γενομένην κατ' αὐτὸν φύσει δημιουργόν. Ἀλλ' εὐσεβῶς ὁμολογεῖ πιστεύων, ὅτι διὰ τὴν ἡμῶν σωτηρίαν, καὶ τὸ δῆσαι πρὸς ἀτρεψίαν τὸ πᾶν, ὁ τῶν ὅλων δημιουργὸς ἐκ τῆς παναγίας ἀειπαρθένου Μαρίας, κατὰ σύλληψιν ἄχραντον, δίχα τροπῆς, ἐνουσιώσας ἑαυτῷ ψυχὴν νοερὰν μετὰ αἰσθητικοῦ σώματος, γέγονεν ἄνθρωπος φύσει κακίας ἀλλότριος· ὅλος Θεὸς ὁ αὐτός, καὶ ὅλος ἄνθρωπος ὁ αὐτός· ὅλος Θεὸς ὁμοῦ, φύσει καὶ ἄνθρωπος ὁ αὐτός. Θεότητι μὲν τὰ θεῖα διὰ τῆς αὐτοῦ παναγίας σαρκός, οὐκ ὄντα φύσει τῆς σαρκὸς ἐνεργῶν· ἀνθρωπότητι δὲ τὰ ἀνθρώπινα, οὐκ ὄντα φύσει θεότητος, ἀνοχῇ πάσχων θεότητος. Μηδὲν θεῖον γυμνὸν σώματος ἐνεργήσας· μηδὲ ἀνθρώπινον ὁ αὐτὸς ἄμοιρον δράσας θεότητος· τηρῶν ἑαυτῷ καὶ καθ' ὃν ἐνήργησεν ἀμφότερα καινοπρεπῆ τρόπον, τὸ κατ' ἄμφω φυσικῶς ἀναλλοίωτον· εἰς πίστωσιν τῆς ἑαυτοῦ τελείας ἐνανθρωπήσεως, τῆς ὄντως ἀληθοῦς, καὶ μηδὲν ἐχούσης φαυλότητος. Ὁ μὲν οὖν Βήρων, οὕτως ἔχων, ὡς ἔφην, ἐνεργείας μονάδι τὴν θεότητα τοῦ Χριστοῦ καὶ τὴν ἀνθρωπότητα συγχέας ὁμοῦ φυσικῶς, καὶ προσωπικῶς μερίζων, καταλύει τὸν βίον· ἀγνοήσας μόνης τῆς τῶν ὁμοφυῶν προσώπων ὁμοφυοῦς ταυτότητος τὴν ταυτουργίαν εἶναι δηλωτικήν.

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΙΠΠΟΛΥΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ ΛΟΓΟΣ ΠΕΡΙ ΤΗΣ ΣΥΝΤΕΛΕΙΑΣ ΤΟΥ ΚΟΣΜΟΥ ΚΑΙ ΠΕΡΙ ΤΟΥ ΑΝΤΙΧΡΙΣΤΟΥ ΚΑΙ ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΑΡΟΥΣΙΑΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ*

I. Ἐπειδὴ γὰρ οἱ μακάριοι προφῆται ὀφθαλμοὶ ἡμῶν γεγόνασιν, τῶν ἀποκρύφων τὴν δήλωσιν ἡμῖν ἐμφανιζόμενοι διά τε βίου διά τε ἐμφανείας καὶ ἐπιφοιτήσεως τοῦ ἁγίου πνεύματος καὶ τὰ μήπω γεγονότα διαλεγόμενοι, ὅθεν καὶ πάσαις ταῖς μετέπειτα γενεαῖς μεγίστην θεωρίαν καὶ πρᾶξιν ἀνεζωγράφησαν, διὸ δὴ καὶ τὴν τοῦ θεοῦ διὰ σαρκὸς ἐπιδημίαν τῷ κόσμῳ κηρύξαντες, τὴν ἐκ τῆς παναχράντου καὶ θεοτόκου Μαρίας, γεννήσεώς τε καὶ αὐξήσεως καὶ τῆς μετὰ ἀνθρώπων ἀναστροφῆς καὶ βιώσεως, καὶ τὴν διὰ βαπτίσματος ἀνάδειξιν αὐτοῦ καὶ πᾶσιν ἀνθρώποις γενησομένην ἀναγέννησιν διὰ «λουτροῦ παλιγγενεσίας [1]», τὴν τῶν θαυμάτων πληθύν, καὶ τὸ ἐπὶ σταυροῦ μακάριον πάθος καὶ τὰ ἐν αὐτῷ ἐμπαίγματα, ἅπερ παρὰ τῶν Ἰουδαίων ὑπέμεινεν, τὴν ταφὴν αὐτοῦ, τὴν εἰς ᾅδου κατάβασιν καὶ τῶν ἀπ' αἰώνων ψυχῶν ἀνάβασίν τε καὶ ἀπολύτρωσιν, τὴν τοῦ θανάτου φθορὰν τήν τε ἐκ νεκρῶν αὐτοῦ ζωοποιὸν ἔγερσιν καὶ παντὸς τοῦ κόσμου ἀνάπλασιν καὶ τὴν εἰς οὐρανοὺς ἀναλήψεως ἄνοδον καὶ τὴν τοῦ πνεύματος ὑποδοχήν, ἧσπερ οἱ ἀπόστολοι κατηξιώθησαν, καὶ πάλιν τὴν δευτέραν παρουσίαν τὴν μέλλουσαν ἐκθροεῖν τὰ σύμπαντα. ἀναγκαίως γάρ, «βλέποντες [2]» καλούμενοι, προϋπέδειξαν καὶ προεῖπον. II. διὸ καὶ τῆς συντελείας ἡμῖν τὴν ἡμέραν ἐνεφάνισαν, τὴν ἐν τοῖς ἐσχάτοις καιροῖς, τὴν τοῦ ἀποστάτου ἐμφάνειαν καὶ πλάνην τοῖς ἀνθρώποις καὶ τῆς βασιλείας αὐτοῦ τὴν ἔναρξιν καὶ συμπλήρωσιν καὶ τὴν τοῦ κριτοῦ ἔλευσιν καὶ τὴν τῶν δικαίων ζωὴν καὶ τὴν τῶν ἁμαρτωλῶν τιμωρίαν προϋπέφηναν, ἵνα πάντες ἡμεῖς ἐν νῷ φέροντες ταῦτα καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ὡς τέκνα τῆς ἐκκλησίας γινώσκωμεν ὅτι «ἰῶτα ἓν ἢ μία κεραία ἐξ αὐτῶν οὐκ ἀπολυθήσεται [3]», καθὼς ὁ σωτήριος λόγος ὑπέφηνεν. ἀναγκαίως οὖν πάντες ἀνοίξατε τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν ὑμῶν καὶ τὰ ὦτα τῆς ψυχῆς ὑμῶν καὶ ὑποδέξασθε ὃν μέλλομεν λέγειν λόγον, πάσης γὰρ φρίκης καὶ φόβου μεστὸν διήγημα μέλλω ἐμφανίσαι σήμερον, τὴν συντέλειαν ἤγουν τὴν παγκόσμιον τοῦ ἐχθροῦ καὶ διαβόλου πλάνην καὶ μετὰ ταῦτα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis ἔνθ' ἀνωτ.
1. Τίτ. 3, 5. 2. Α' Βασ. 9, 9. 3. Ματθ. 5, 18.

δευτέραν παρουσίαν. III. πόθεν οὖν, φιλόχριστοι, λάβω ἀρχὴν καὶ τί ἀπάρξομαι ἢ τί διηγήσομαι; τίνα μάρτυρα τοῖς λεγομένοις παρέξω; ἀλλ' ὅθεν τὸν λόγον ἠρξάμεθα, τούτους εἰς μέσον παραγάγωμεν πιστοὺς μάρτυρας, βεβαιοῦντας τῶν λεγομένων τὴν δήλωσιν, καὶ μετέπειτα καὶ τῶν ἀποστόλων τὴν διδαχήν, μᾶλλον δὲ προφητείαν, πῶς πανταχοῦ τῆς οἰκουμένης σαλπίζουσι τῆς συντελείας τὴν ἡμέραν. ἐπειδὴ οὖν καὶ οὗτοι τὰ μήπω γενησόμενα προϋπέδειξαν καὶ τῶν μελλόντων ἀναφανῆναι πονηρῶν ἀνθρώπων σκαιωρίαν καὶ κακοβουλίαν ἐνεφάνισαν· φέρε οὖν, τὸν προφήτην Ἡσαΐαν ὡς πρῶτον μάρτυρα μέσον εἰσαγάγωμεν, περὶ τῶν χρόνων τῆς συντελείας ἡμῖν ἐκδιδάσκοντα. τί οὖν φησιν; «ἡ γῆ ὑμῶν ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι· τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν· ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ, ὡς πόλις πολιορκουμένη.[1]» εἶδες τοῦ προφήτου, ἀγαπητέ, τὴν ἔκλαμψιν, ἣν πρὸ πόσων γενεῶν τὸν καιρὸν προεθέσπισεν. οὐ γὰρ περὶ τῶν Ἰουδαίων τοῦτον τὸν λόγον προϋπέφηνεν οὐδὲ περὶ τῆς Σιὼν τῆς πόλεως, ἀλλὰ περὶ τῆς ἐκκλησίας. Σιὼν γὰρ τὴν ἐξ ἐθνῶν προσαχθεῖσαν νύμφην πάντες οἱ προφῆται ἐδήλωσαν. IV. διὸ καὶ πρὸς δεύτερον μάρτυρα τὸν λόγον ὑφαπλώσωμεν. ποῖον δὴ τοῦτον; ἄκουσον καὶ τοῦ Ὠσηὲ τοιαῦτα φωνοῦντος μεγαλοφώνως. «ἐν ταῖς ἡμέραις ἐκείναις ἐπάξει κύριος ἄνεμον καύσωνος ἐκ τῆς ἐρήμου ἐπ' αὐτοὺς καὶ ἀναξηρανεῖ τὰς φλέβας αὐτῶν καὶ ἐξερημώσει τὰς πηγὰς αὐτῶν, καὶ πάντα τὰ σκεύη τὰ ἐπιθυμητὰ ἀφανισθήσονται· ὅτι ἀντέστησαν πρὸς τὸν θεόν, ἐν ῥομφαίᾳ πεσοῦνται καὶ αἱ ἐν γαστρὶ αὐτῶν ἔχουσαι διαρραγήσονται.[2]» τίς γὰρ ἄλλος «ἄνεμος καύσωνος ἐκ τῆς ἐρήμου» ἀλλ' ἢ ὁ ἀντίχριστος ὁ μέλλων ἀφανίσαι καὶ ἀναξηρᾶναι τὰς φλέβας τῶν ὑδάτων καὶ τοὺς καρποὺς τῶν δένδρων ἐν τοῖς χρόνοις αὐτοῦ, ὅτι ἐπεθύμησαν ἐν τοῖς ἔργοις αὐτοῦ οἱ ἄνθρωποι. διὸ καὶ ἀφανίσει αὐτοὺς καὶ δουλεύσουσιν αὐτὸν ἐν τῇ ἀκαθαρσίᾳ αὐτοῦ. V. ὅρα συμφωνίαν προφήτου πρὸς προφήτην. μάθε καὶ ἕτερον τὰ ὅμοια διαλεγόμενον. Ἀμὼς γὰρ τὰ αὐτὰ συμφώνως προεφήτευσεν «τάδε λέγει κύριος Διὰ τοῦτο ἀνθ' ὧν κατεκονδυλίσατε πτωχὸν καὶ δῶρα ἐκλεκτὰ ἐδέξασθε παρ' αὐτοῦ, οἴκους γὰρ ᾠκοδομήσατε καὶ οὐ μὴ κατοικήσητε ἐν αὐτοῖς, ἀμπελῶνας ἐπιθυμητοὺς ἐφυτεύσατε καὶ οὐ μὴ πίητε τὸν οἶνον αὐτῶν, ὅτι ἔγνων πολλὰς ἀσεβείας, καταπατοῦντες τὸν δίκαιον, καὶ λαμβάνοντες ἀντάλλαγμα καὶ πένητας ἐν πύλαις ἐκκλίνοντες. διὰ τοῦτο ὁ συνιὼν ἐν τῷ καιρῷ ἐκείνῳ σιωπήσεται, ὅτι καιρὸς πονηρός ἐστιν.[3]» μάθε, ἀγαπητέ, τῶν τότε ἀνθρώπων τὴν πονηρίαν, πῶς καθαρπάζουσιν οἰκίας καὶ ἀγρούς, καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες. ὅταν γὰρ ταῦτα γένηται, ἵνα ἴδῃς ὅτι τέλος ἐστίν. διὸ ἔγνως τὴν σοφίαν τοῦ προφήτου καὶ τὴν ἀποκάλυψιν τὴν μέλλουσαν ἔσεσθαι ἐν ταῖς ἡμέραις

1. Ἡσ. 1, 7-9. 2. Ὠσ. 13, 15-14, 1. 3. Ἀμ. 5, 11-13.

ἐκείναις. καὶ πάντες οἱ προφῆται, ὡς προείπομεν, ὡς τὰ ἀρχαῖα ἐνεφάνισαν, οὕτω καὶ τὰ ἐν τοῖς ὑστέροις καιροῖς γενήσεσθαι μέλλοντα διαπρυσίως ἐθέσπισαν. VI. ἀλλ' ἵνα μὴ τὸν λόγον ἁπάντων τῶν προφητῶν τοῖς ῥήμασιν ἀναλώσωμεν, ἑνὸς μνησθέντες, ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. τί δὲ καὶ Μιχαίας προαγορεύει; «τάδε λέγει κύριος ἐπὶ τοὺς προφήτας τοὺς πλανῶντας τὸν λαόν μου, τοὺς δάκνοντας ἐν τοῖς ὀδοῦσιν αὐτῶν καὶ κηρύσσοντας ἐπ' αὐτὸν εἰρήνην· καὶ εἰ οὐκ ἐδόθη εἰς τὸ στόμα αὐτῶν, ἡγίασαν ἐπ' αὐτὸν πόλεμον. διὰ τοῦτο νὺξ ὑμῖν ἔσται ἐξ ὁράσεως καὶ σκοτία ὑμῖν ἔσται ἐκ μαντείας καὶ δύσεται ὁ ἥλιος ἐπὶ τοὺς προφήτας καὶ συσκοτάσει ἐπ' αὐτοὺς ἡ ἡμέρα, καὶ καταισχυνθήσονται οἱ ὁρῶντες τὰ ἐνύπνια καὶ καταγελασθήσονται οἱ μάντεις.[1]» ταῦτα προϊστορήσαμεν, ἵνα γνῶτε τὴν ἐπ' ἐσχάτων γενησομένην ὀδύνην καὶ ταραχὴν καὶ πάντων ἀνθρώπων τὴν πρὸς ἀλλήλους ἀναστροφὴν καὶ φθόνον καὶ μῖσος καὶ ἔριν, τὴν τῶν ποιμένων ἐπὶ τῶν προβάτων ἀμέλειαν καὶ τοῦ λαοῦ πρὸς τοὺς ἱερεῖς ἀνυπότακτον διάθεσιν. VII. διὸ πάντες τῷ ἰδίῳ θελήματι ἐμπεριπατήσουσιν, καὶ τὰ τέκνα τοῖς γονεῦσιν ἐπιβαλοῦνται χεῖρας. γυνὴ τὸν ἴδιον ἄνδρα παραδώσει εἰς θάνατον καὶ ἀνὴρ τὴν ἑαυτοῦ γυναῖκα ἐπὶ κριτήριον ἄξει ὡς ὑπεύθυνον, δεσπόται εἰς τοὺς ἰδίους δούλους ἀπάνθρωποι αὐθεντήσονται καὶ δοῦλοι πρὸς τοὺς δεσπότας ἀνυπότακτον διάθεσιν περιβαλοῦνται. πρεσβυτέρου πολιὰν οὐδεὶς αἰδεσθήσεται καὶ νεωτέρου κάλλος οὐδεὶς οἰκτειρήσεται. οἱ ναοὶ τοῦ θεοῦ ὡς οἶκοι ἔσονται καὶ καταστροφαὶ τῶν ἐκκλησιῶν πανταχοῦ γενήσονται. αἱ γραφαὶ καταφρονηθήσονται καὶ τοῦ ἐχθροῦ τὰ ᾄσματα πανταχοῦ ἐξᾄσουσιν. πορνεῖαι καὶ μοιχεῖαι καὶ ἐπιορκίαι [τὴν γῆν πληρώσουσιν· φαρμακεῖαι] καὶ ἐπαοιδίαι καὶ μαντεῖαι ὀπίσω τούτων σφοδρῶς καὶ προθύμως ἐξακολουθήσουσι καὶ καθ' ὅλου ὑπὸ τῶν δοκούντων εἶναι χριστιανοὶ τότε ἐγερθήσονται ψευδοπροφῆται, ψευδαπόστολοι, γόητες, ἄνθρωποι φθοροποιοί, κακοποιοί, ψευδόμενοι κατ' ἀλλήλων, μοιχοί, πόρνοι, ἅρπαγες, πλεονέκται, ἐπίορκοι, κατάλαλοι [ἀλλήλους μισοῦντες]. οἱ ποιμένες ὡς λύκοι γενήσονται. [οἱ ἱερεῖς τὸ ψεῦδος ἀσπάσονται.] οἱ μοναχοὶ τὰ τοῦ κόσμου ποθήσουσιν. οἱ πλούσιοι ἀσπλαγχνίαν ἐνδύσονται. οἱ ἄρχοντες πτωχῷ οὐ βοηθήσουσιν. οἱ δυνάσται οἰκτιρμοὺς ἀποβαλοῦνται. οἱ κριταὶ τὸ δίκαιον ἐκ τοῦ δικαίου ἀροῦσι καὶ τοῖς δώροις ἐκτυφλούμενοι ἀδικίαν ἐπισπάσονται. VIII. καὶ τί λέγω ἀπὸ ἀνθρώπων, ὅπου καὶ αὐτὰ τὰ στοιχεῖα τὴν οἰκείαν τάξιν ἀρνήσονται; σεισμοὶ [κατὰ πᾶσαν πόλιν, λοιμοὶ] ἐπὶ πᾶσαν χώραν, βρονταὶ ἄνεμοι καὶ φοβεραὶ ἀστραπαὶ οἴκους καὶ ἀγροὺς κατακαίουσαι, καταιγίδες ἀνέμων τὴν γῆν καὶ τὴν θάλασσαν ἀμέτρως ἐκταράσσουσαι, τῆς γῆς ἀκαρπίαι, θαλάσσης ἦχος καὶ σάλος ἀφόρητος ἀπὸ ψυχῶν καὶ ἀπωλείας ἀνθρώπων. σημεῖα ἐν ἡλίῳ, σημεῖα ἐν σελήνῃ, ἄστρων παρα-

1. Μιχ. 3, 5-7.

τροπαί, συνοχαὶ ἐθνῶν, ἀέρων ἀκρασίαι, χαλάζης βολίδες ἐπὶ προσώπου τῆς γῆς, χειμῶνος ἀταξίαι, παγετοὶ διάφοροι, καύσωνες ἀπαραμύθητοι, κεραυνοὶ αἰφνίδιοι, ἐμπρησμοὶ ἀδόκητοι, καὶ ἁπαξαπλῶς πάσης τῆς γῆς θρῆνος καὶ κοπετός, παραμυθίαν μὴ ἐχούσης. «ἐκ γὰρ τοῦ πληθυνθῆναι τὴν ἁμαρτίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν.[1]» διὰ τούτων ἁπάντων τὴν ζάλην, τὴν ἀταξίαν, ὁ κύριος τοῦ παντὸς διὰ τοῦ εὐαγγελίου βοᾷ λέγων «βλέπετε μὴ πλανηθῆτε. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες ὅτι ἐγώ εἰμι καὶ ὁ καιρὸς ἤγγικεν. μὴ οὖν πλανηθῆτε ὀπίσω αὐτῶν. ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκαταστασίας, μὴ πτοηθῆτε. δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον, ἀλλ' οὐκ εὐθὺς τὸ τέλος.[2]» μάθωμεν τοῦ σωτῆρος τὸν λόγον, πῶς διὰ παντὸς ἀσφαλίζων ἡμᾶς παρήγγειλε «βλέπετε μὴ πλανηθῆτε. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες ὅτι ἐγώ εἰμι.» IX. καὶ γὰρ μετὰ τὸ ἀναληφθῆναι αὐτὸν πρὸς τὸν πατέρα ἀνέστησάν τινες λέγοντες ὅτι ἐγώ εἰμι ὁ Χριστός, καθὼς Σίμων ὁ μάγος καὶ οἱ λοιποί, ὧν οὐκ ἔστι καιρὸς ἄρτι τὰ ὀνόματα μνημονεῦσαι. διὸ καὶ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς συντελείας δεῖ πάλιν ἀναστῆναι ψευδοχρίστους ἄνδρας λέγοντας ὅτι ἐγώ εἰμι ὁ Χριστός. καὶ πολλοὺς πλανήσουσι καὶ πολλοὶ τῶν ἀνθρώπων δραμοῦσιν ἀπὸ ἀνατολῶν ἕως δυσμῶν καὶ ἀπὸ βορρᾶν ἕως θαλάσσης, λέγοντες Ποῦ ὧδε ὁ Χριστός; ποῦ ἐκεῖ ὁ Χριστός; ἀλλὰ μάταιον φρόνημα κεκτημένοι καὶ τὰς γραφὰς ἐμμελῶς οὐκ ἀναγινώσκοντες, οὐκ ὀρθὰ φρονοῦντες ζητήσουσιν ὄνομα, ὅπερ εὑρεῖν οὐ δυνήσονται. «δεῖ γὰρ πρῶτον ταῦτα γενέσθαι» καὶ οὕτως ὀφθῆναι τὸν υἱὸν τῆς ἀπωλείας ἤγουν τὸν διάβολον. X. καὶ οἱ θεηγόροι ἀπόστολοι βεβαιοῦντες τὴν τοῦ κυρίου Ἰησοῦ Χριστοῦ παρουσίαν, ἕκαστος αὐτῶν ὑπέδειξε τῶν ἐναγῶν καὶ φθοροποιῶν ἀνθρώπων τὴν ἀνάδειξιν τούτων καὶ ἐκήρυξαν ἀναφανδὸν τὰς τούτων ἀθεμίτους πράξεις. πρῶτος ὁ Πέτρος, ἡ πέτρα τῆς πίστεως, ὃν ἐμακάρισε Χριστὸς ὁ θεὸς ἡμῶν[3], ὁ διδάσκαλος τῆς ἐκκλησίας, ὁ πρῶτος μαθητής, ὁ τὰς κλεῖς τῆς βασιλείας ἔχων, ἐδίδαξεν ἡμᾶς λέγων «τοῦτο πρῶτον γινώσκετε, τέκνα, ὅτι ἐλεύσονται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμπαῖκται κατὰ τὰς ἰδίας ἐπιθυμίας αὐτῶν πορευόμενοι[4]» καὶ «ἐν ἡμῖν ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας.[5]» μετὰ τοῦτον συνῳδὰ Ἰωάννης ὁ θεολόγος καὶ ἠγαπημένος τοῦ Χριστοῦ βοᾷ «φανερά ἐστι τὰ τέκνα τοῦ διαβόλου[6]», «καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν, ἀλλὰ μὴ πλανηθῆτε ὀπίσω αὐτῶν. μὴ παντὶ πνεύματι πιστεύετε, ὅτι πολλοὶ ψευδοπροφῆται ἐληλύθασιν εἰς τὸν κόσμον.[7]» εἶτα ὁ Ἰούδας Ἰακώβου τὰ ὅμοια τούτων λέγει «ἐπ' ἐσχάτων τῶν χρόνων ἔσονται ἐμπαῖκται κατὰ τὰς ἰδίας ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν.[8]»

1. Ματθ. 24, 12. 2. Λουκ. 21, 8-9. 3. Πρβλ. Ματθ. 16, 17 ἑξ. 4. Β' Πέτρ. 3, 3. 5. Β' Πέτρ. 2, 1. 6. Α' Ἰω. 3, 10. 7. Α' Ἰω. 2, 18. 4, 1. 8. Ἰούδ. 18.

οὗτοί εἰσιν οἱ ἀφόβως ἑαυτοὺς ποιμαίνοντες. ἔγνως τῶν θεολόγων καὶ ἀποστόλων τὴν συμφωνίαν καὶ ὁμόνοιαν τῆς διδαχῆς αὐτῶν. XI. ἄκουε λοιπὸν καὶ Παύλου λέγοντος παρρησίᾳ, πῶς τούτους φανερῶς ἀποκαλύπτει. «βλέπετε τοὺς κακοὺς ἐργάτας. βλέπετε τὴν κατατομήν.[1]» «βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης.[2]» «βλέπετε, πῶς ἀκριβῶς περιπατεῖτε, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν.[3]» λοιπὸν τίς ἕξει ἀπολογίαν, ἀκούων ταῦτα ἐν τῇ ἐκκλησίᾳ, παρά τε τῶν προφητῶν καὶ ἀποστόλων καὶ παρ' αὐτοῦ τοῦ κυρίου, καὶ οὐ φροντίσει τῆς ψυχῆς αὐτοῦ τὴν ἐπιμέλειαν καὶ τὸν καιρὸν τῆς συντελείας καὶ τὴν ὥραν ἐκείνην, ἣν μέλλομεν παρίστασθαι ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ. XII. ἀλλὰ τῆς συντελείας τοῦ λόγου [πέρας δώσαντες] τρέψομεν τὴν διήγησιν ἐπὶ τὰ ἀκόλουθα ὡς ἡμῖν μέλλοντα ῥηθήσεσθαι. παράγω δὲ εἰς μέσον ἀξιόπιστον μάρτυρα, τὸν προφήτην Δανιήλ, ὃς τὸ ἐνύπνιον τοῦ Ναβουχοδονόσορ διέλυσε καὶ ἀπὸ τῆς ἀρχῆς τῶν βασιλέων ἕως τῆς συντελείας ὑπέδειξεν ἀπαράτροπον ὁδὸν τοῖς ὁδεῦσαι θέλουσιν, τῆς ἀληθείας τὴν δήλωσιν. τί γάρ φησιν ὁ προφήτης; ἀριδήλως πρὸς τὸν Ναβουχοδονόσορ προήγγειλεν «ἐθεώρεις, ὦ βασιλεῦ, καὶ ἰδοὺ εἰκὼν μεγάλη ἑστῶσα πρὸ προσώπου σου, ἧς ἡ κεφαλὴ χρυσίου, οἱ βραχίονες αὐτῆς καὶ οἱ ὦμοι ἀργυροῖ, ἡ κοιλία καὶ οἱ μηροὶ χαλκοῖ, αἱ κνῆμαι σιδηραῖ, οἱ πόδες μὲν μέρος τι σιδηροῦν καὶ μέρος τι ὀστράκινον. ἐθεώρεις ἕως οὗ ἀπετμήθη λίθος ἄνευ χειρὸς καὶ ἐπάταξε τὴν εἰκόνα ἐπὶ τοὺς πόδας τοὺς σιδηροῦς καὶ ὀστρακίνους καὶ ἐλέπτυνεν εἰς τέλος. τότε ἐλεπτύνθησαν εἰσάπαξ τὸ ὄστρακον καὶ ὁ σίδηρος καὶ ὁ χαλκός, ὁ ἄργυρος καὶ ὁ χρυσός, καὶ ἐγένοντο ὡσεὶ κονιορτὸς ἀπὸ ἅλωνος θερινῆς, καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα ἐγένετο εἰς ὄρος μέγα καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν.[4]» XIII. διὸ συνάψαντες τούτοις καὶ τὰς τοῦ Δανιὴλ ὁράσεις μίαν ἐν ἀμφοτέροις τὴν διήγησιν ποιησόμεθα, ἐπιδεικνύντες πῶς σύμφωνα καὶ ἀληθῆ ἦσαν τοῦ προφήτου τὰ ὁραθέντα, ἅπερ καὶ ὁ Ναβουχοδονόσορ προεώρακεν. λέγει γὰρ οὕτως ὁ προφήτης «ἐγὼ Δανιὴλ ἐθεώρουν καὶ ἰδοὺ οἱ τέσσαρες οἱ ἄνεμοι τοῦ οὐρανοῦ προσέβαλον εἰς τὴν θάλασσαν τὴν μεγάλην, καὶ τέσσαρα θηρία μεγάλα ἀνέβαινον ἐκ τῆς θαλάσσης, διαφέροντα ἀλλήλων. τὸ πρῶτον θηρίον ὡσεὶ λέαινα καὶ πτερὰ αὐτῆς ὡς ἀετοῦ. ἐθεώρουν ἕως οὗ ἐξετίλη τὰ πτερὰ αὐτῆς καὶ ἐξήρθη ἀπὸ τῆς γῆς καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῷ. καὶ ἰδοὺ θηρίον δεύτερον ὅμοιον ἄρκτῳ. καὶ εἰς μέρος ἓν ἐστάθη καὶ τρία πλευρὰ ἐν τῷ στόματι αὐτῆς ἀνὰ μέσον τῶν ὀδόντων αὐτῆς. καὶ οὕτως ἔλεγον αὐτῇ Ἀνάστηθι, φάγε σάρκας πολλάς. ὀπίσω αὐτοῦ ἐθεώρουν καὶ ἰδοὺ θηρίον τρίτον ὡσεὶ πάρδαλις καὶ αὐτῇ πτερὰ τέσσαρα πετεινοῦ ὑπεράνω αὐτῆς. τέσσαρες κεφαλαὶ τῷ θηρίῳ. ὀπίσω τούτου ἐθεώρουν καὶ ἰδοὺ τέταρτον θηρίον φοβερὸν καὶ ἔκθαμβον καὶ ἰσχυρὸν περισσῶς, οἱ

1. Φιλιππ. 3, 2. 2. Κολ. 2, 8. 3. Ἐφ. 5, 15. 4. Δαν. 2, 31-35.

ὀδόντες αὐτοῦ σιδηροῖ μεγάλοι καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ, ἐσθίον καὶ λεπτῦνον καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει. καὶ αὐτὸ διαφέρον περισσῶς παρὰ πάντα τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ καὶ κέρατα δέκα αὐτῷ. προσενόουν τοῖς κέρασιν αὐτοῦ καὶ ἰδοὺ μικρὸν κέρας ἀνέβη ἐν μέσῳ αὐτῶν καὶ τρία κέρατα ἔμπροσθεν αὐτοῦ ἐξερριζώθη ἀπὸ προσώπου αὐτοῦ, καὶ ἰδοὺ ὀφθαλμοὶ ὡσεὶ ὀφθαλμοὶ ἀνθρώπου ἐν τῷ κέρατι τούτῳ καὶ στόμα λαλοῦν μεγάλα.[1]» XIV. ἐπεὶ οὖν δυσνόητα πᾶσι δοκεῖ ταῦτα τὰ μυστικῶς εἰρημένα παρὰ τοῦ προφήτου, οὐδὲν τούτων ἀποκρύψωμεν τοῖς ὑγιῆ τὸν νοῦν κεκτημένοις. τὸ πρῶτον θηρίον εἰπὼν ὁ Δανιὴλ ἤγουν τὴν λέαιναν τὴν ἐκ τῆς θαλάσσης ἀναβαίνουσαν, τὴν τῶν Βαβυλωνίων γεγενημένην βασιλείαν ἐν τῷ κόσμῳ σημαίνει, ταύτην οὖσαν τῆς εἰκόνος τὴν χρυσῆν κεφαλήν. τὸ δὲ λέγειν «πτερὰ αὐτῆς ὡς ἀετοῦ», ὅτι ὑψώθη ὁ βασιλεὺς Ναβουχοδονόσορ καὶ κατὰ τοῦ θεοῦ ἐπήρθη. εἶτα, φησίν, «ἐξετίλη τὰ πτερὰ αὐτῆς», ὅτι καθῃρέθη αὐτοῦ ἡ δόξα. ἐδιώχθη γὰρ ἐκ τῆς βασιλείας αὐτοῦ. τὸ δὲ εἰπεῖν «καρδία ἀνθρώπου ἐδόθη αὐτῷ καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη» ὅτι μετενόησεν, ἐπιγνοὺς ἑαυτὸν ὅτι ἄνθρωπός ἐστιν, καὶ ἔδωκε δόξαν τῷ θεῷ. ἰδοὺ ἀπέδειξε τοῦ πρώτου θηρίου τὴν ὁμοίωσιν. XV. μετὰ οὖν τὴν λέαιναν δεύτερον ὁρᾷ θηρίον ὁ προφήτης, ὅμοιον ἄρκτῳ, ὅπερ ἦσαν Πέρσαι. μετὰ γὰρ Βαβυλωνίους Πέρσαι ἐκράτησαν. τὸ δὲ λέγειν «τρία πλευρὰ ἐν τῷ στόματι αὐτῆς ἐθεώρουν» τρία ἔθνη ἔδειξεν, Πέρσας Μήδους καὶ Βαβυλωνίους, ὅπερ δέδεικται μετὰ τοῦ χρυσίου ὁ ἄργυρος ἐν τῇ εἰκόνι. ἰδοὺ καὶ τὸ δεύτερον θηρίον ἀπεδείξαμεν. ἔπειτα τὸ τρίτον ἡ πάρδαλις, οἵτινες ἦσαν Ἕλληνες· μετὰ γὰρ Πέρσας Ἀλέξανδρος ὁ τῶν Μακεδόνων ἐκράτησεν, καθελὼν τὸν Δαρεῖον· ὃ δέδεικται ἐν τῇ εἰκόνι ὁ χαλκός. τὸ δὲ λέγειν «πτερὰ τέσσαρα πετεινοῦ καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ» σαφέστατα ἔδειξε πῶς διεμερίσθη εἰς τέσσαρα μέρη ἡ βασιλεία τοῦ Ἀλεξάνδρου. τέσσαρας γὰρ κεφαλὰς εἶχεν, τοὺς τέσσαρας βασιλεῖς ἐξ αὐτῆς ἀναστάντας. τελευτῶν γὰρ ὁ Ἀλέξανδρος διεῖλε τὴν βασιλείαν αὐτοῦ εἰς τέσσαρα μέρη. ἰδοὺ καὶ τὸ τρίτον εἴπομεν. XVI. ἔπειτα, φησίν, «τέταρτον θηρίον φοβερὸν καὶ ἔκθαμβον. οἱ ὀδόντες αὐτοῦ σιδηροῖ καὶ οἱ ὄνυχες χαλκοῖ.» τίνες οὗτοι ἀλλ' ἢ ἡ Ῥωμαίων βασιλεία, ὅπερ ἐστὶν ὁ σίδηρος ἐν ᾧ συνθλάσει τὰ πρὸ αὐτῆς πάντα βασίλεια καὶ κατακυριεύσει πάσης τῆς γῆς. μετὰ οὖν τοῦτο τί περιλείπεται ἑρμηνεῦσαι ἡμῖν ὧν ἑώρακεν ὁ προφήτης ἀλλ' ἢ τὰ ἴχνη τῶν ποδῶν τῆς εἰκόνος, ἐν οἷς καὶ μέρος μέν τι σιδηροῦν, μέρος δὲ ὀστράκινον, ἅμα μεμιγμένον εἰς ἓν τὰ ἀμφότερα. μυστικῶς γὰρ ἐδήλωσε διὰ τῶν δέκα δακτύλων τῶν ποδῶν τῆς εἰκόνος τοὺς δέκα βασιλεῖς τοὺς ἐξ αὐτοῦ ἐγειρομένους, ἅπερ ἑρμήνευσεν ὁ Δανιήλ. «προσενόουν γὰρ τὸ θηρίον» ἤγουν τὸ τέταρτον «καὶ ἰδοὺ δέκα κέρατα ὀπίσω αὐτοῦ, ἐν οἷς ἀνέβη ἕτερον κέρας ὡς παραφυάδιον καὶ τρία πρὸ αὐτοῦ

1. Δαν. 7, 2-8.

ἐκριζώσει.» ὅπερ δέδεικται κέρας τὸ παραφυάδιον ἄλλον μὴ εἶναι εἰ μὴ ὁ ἀντίχριστος ὁ μέλλων ἀναστῆσαι τὴν τῶν Ἰουδαίων βασιλείαν. τρία δὲ κέρατα, ἃ μέλλει παρ' αὐτοῦ ἐκριζοῦσθαι, τρεῖς βασιλεῖς δεικνύει, Αἰγύπτου Λιβύων τε καὶ Αἰθιόπων, οὓς ἀνελεῖ παρατάξει πολέμου ὡς κρατήσας ἁπάντων, δεινὸς ὢν τύραννος, θλῖψιν καὶ διωγμὸν ἐπὶ τοὺς ἁγίους ποιήσει, ἐπαιρόμενος κατ' αὐτῶν. XVII. ὁρᾷς, πῶς ὁ Δανιὴλ τῶν βασιλειῶν τὴν διακράτησιν τῷ Ναβουχοδονόσορ διηρμήνευσεν. βλέπεις, πῶς τῆς εἰκόνος τὴν μορφὴν πᾶσι τοῖς πέρασιν ἐδήλωσεν. ἔγνως, τῶν τεσσάρων θηρίων τὴν ἐκ τῆς θαλάσσης ἀνάβασιν πῶς ἡμῖν προϋπέδειξεν. λοιπόν ἐστι τὰ μερικῶς πραχθέντα ὑπὸ τοῦ ἀντιχρίστου ὑμῖν μὴ ἀποκρύψωμεν, ἀλλ' ὅσον ἐφικτὸν διά τε προφητῶν διά τε γραφῶν αὐτοῦ ἀνακηρύξωμεν τὴν ἐπὶ πᾶσαν τὴν γῆν πλάνην καὶ παράνομον ἔλευσιν. XVIII. τοῦ μὲν κυρίου Ἰησοῦ Χριστοῦ κατὰ σάρκα ἐπιδημήσαντος ἐκ τῆς ἁγίας ἀχράντου παρθένου καὶ τὴν τοῦ Ἰούδα φυλὴν ἀναλαβομένου καὶ ἐξ αὐτῆς προελθόντος, τὸ βασιλικὸν τῆς συγγενείας ἐδήλωσε κατὰ τὸν Ἰακώβ, τὸν ἐν ταῖς εὐλογίαις ἀναφωνοῦντα πρὸς τὸν ἑαυτοῦ υἱὸν «Ἰούδα, σὲ αἰνέσουσιν οἱ ἀδελφοί σου. αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου. προσκυνήσουσί σε οἱ υἱοὶ πατρός σου. σκύμνος λέοντος Ἰούδα. ἐκ βλαστοῦ μου, υἱέ, ἀνέβης. ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν; οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ καὶ αὐτὸς προσδοκία ἐθνῶν.[1]» ἴδε τοῦ Ἰακὼβ τὰ ῥήματα, πρὸς τὸν Ἰούδαν λεγόμενα, ἐπὶ τοῦ κυρίου πληρωθέντα. τὸ αὐτὸ δὴ καὶ ἐπὶ τοῦ ἀντιχρίστου ὁ πατριάρχης βοᾷ. διὸ ὥσπερ εἰς τὸν Ἰούδαν προεφήτευσεν, οὕτω καὶ ἐπὶ τὸν υἱὸν αὐτοῦ Δάν. ὁ γὰρ Ἰούδας υἱὸς αὐτοῦ ὑπῆρχε τέταρτος, ὁ δὲ Δὰν καὶ αὐτὸς υἱὸς αὐτοῦ ἕβδομος. τί γὰρ ἐπ' αὐτοῦ ἐβόησεν; «γενηθήτω Δὰν ὄφις ἐφ' ὁδοῦ καθήμενος, δάκνων πτέρναν ἵππου.[2]» ὄφις τίς ἦν ἀλλ' ἢ ὁ ἀπ' ἀρχῆς πλάνος, ὁ ἐν τῇ γενέσει εἰρημένος, ὁ πλανήσας τὴν Εὔαν καὶ πτερνίσας τὸν Ἀδάμ; XIX. ἀλλ' ἐπειδὴ διὰ πλειόνων δεῖ ἀποδεῖξαι τὰ λεγόμενα, οὐκ ὀκνήσομεν. ὅτι μὲν γὰρ οὗτος ἐκ τῆς φυλῆς τοῦ Δὰν μέλλει γεννᾶσθαι καὶ ἀντιτάσσεσθαι, τύραννος ὤν, βασιλεύς, κριτὴς δεινὸς καὶ διάβολος, ὥς φησιν ὁ προφήτης «Δὰν κρινεῖ τὸν ἑαυτοῦ λαόν, ὡσεὶ καὶ μία φυλὴ ἐν Ἰσραήλ.[3]» ἀλλ' ἐρεῖ τις ὅτι τοῦτο ἐπὶ τοῦ Σαμψὼν εἴρηται, ὃς ἐκ τῆς φυλῆς τοῦ Δὰν γεννηθεὶς ἔκρινε τὸν λαὸν αὐτοῦ εἴκοσιν ἔτη. τὸ μὲν ἐπὶ τοῦ Σαμψὼν μερικὸν γεγένηται, τὸ δὲ καθ' ὅλου πληρωθήσεται ἐπὶ τὸν ἀντίχριστον. λέγει γὰρ καὶ Ἱερεμίας οὕτως· «[σπουδὴν] ἐκ Δὰν ἀκουσώμεθα ὀξύτητος ἵππων αὐτοῦ, ἀπὸ φωνῆς χρεμετισμοῦ ἱππασίας ἵππων αὐτοῦ ἐσείσθη πᾶσα ἡ γῆ.[4]» καὶ πάλιν Μωϋσῆς φησιν «σκύμνος λέοντος Δὰν καὶ ἐκπηδήσεται ἐκ τοῦ Βασάν.[5]» ἀλλ' ἵνα μή τις σφαλῇ

1. Γεν. 49, 8-10. 2. Γεν. 49, 17. 3. Γεν. 49, 16. 4. Ἱερ. 8, 16
5. Δευτ. 33, 22.

περὶ τοῦ σωτῆρος εἰρῆσθαι τὸ ῥητὸν τοῦτο, ἐπιστησάτω τὸν νοῦν. «Δάν» φησι «σκύμνος λέοντος». τὴν φυλὴν ὀνομάσας τοῦ Δάν, ἐσαφήνισε τὸ προκείμενον, ἐξ ἧς μέλλει ὁ διάβολος γεννᾶσθαι. ὥσπερ γὰρ ἐκ τῆς φυλῆς Ἰούδα γεννᾶται ὁ Χριστός, οὕτως ἐκ τῆς Δὰν φυλῆς γεννήσεται ὁ ἀντίχριστος. τοῦ μὲν κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ υἱοῦ τοῦ θεοῦ διὰ τὸ βασιλικὸν καὶ ἔνδοξον λέοντος προκεκηρυγμένου, τῷ αὐτῷ τρόπῳ καὶ τὸν διάβολον ὁμοίως λέοντα προανηγόρευσεν ἡ γραφὴ διὰ τὸ τυραννικὸν αὐτοῦ καὶ βίαιον. XX. κατὰ πάντα γὰρ ἐξομοιοῦσθαι βούλεται ὁ πλάνος τῷ υἱῷ τοῦ θεοῦ. λέων ὁ Χριστὸς καὶ λέων ὁ ἀντίχριστος. βασιλεὺς ὁ Χριστὸς τῶν οὐρανίων καὶ ἐπιγείων καὶ βασιλεὺς γενήσεται ἐπὶ γῆς ὁ ἀντίχριστος. ἐδείχθη ὁ σωτὴρ ὡς ἀρνίον [καὶ αὐτὸς φανήσεται ὡς ἀρνίον, λύκος ὢν ἔνδοθεν. ἐμπερίτομος ὁ σωτὴρ γέγονε] καὶ αὐτὸς ὁμοίως ἐν περιτομῇ γενήσεται. ἀπέστειλεν ὁ Χριστὸς τοὺς ἀποστόλους εἰς πάντα τὰ ἔθνη καὶ αὐτὸς ὁμοίως πέμψει ψευδαποστόλους. συνήγαγε τὰ ἐσκορπισμένα πρόβατα ὁ Χριστὸς καὶ αὐτὸς ὁμοίως συνάξει τὸν ἐσκορπισμένον λαὸν τῶν Ἑβραίων. ἔδωκεν ὁ Χριστὸς τοῖς εἰς αὐτὸν πιστεύουσι τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν καὶ αὐτὸς ὁμοίως δώσει τὸ ἑαυτοῦ σημεῖον. ἐν σχήματι ἀνθρώπου ἐφάνη ὁ κύριος καὶ αὐτὸς ὁμοίως ἐν σχήματι ἀνθρώπου ἐξελεύσεται. ἐκ τῶν Ἑβραίων ὁ Χριστὸς ἀνέτειλε καὶ αὐτὸς ἐξ Ἰουδαίων γεννήσεται. ἀνέδειξεν ὁ Χριστὸς τὴν ἰδίαν σάρκα ὡς ναὸν καὶ ἀνέστησε τριήμερον καὶ αὐτὸς ἀναστήσει τὸν ἐν Ἱεροσολύμοις λίθινον ναόν. καὶ ταῦτα μὲν τὰ πλάνα αὐτοῦ τεχνάσματα ἐν τοῖς ἑξῆς δηλωθησομένοις ἐμφανῆ γενήσονται τοῖς νουνεχῶς ἡμῶν ἀκούουσιν. XXI. καὶ γὰρ δύο παρουσίας τοῦ Χριστοῦ καὶ σωτῆρος διὰ τῶν γραφῶν ἐδιδάχθημεν. καὶ ἡ μὲν πρώτη κατὰ σάρκα γεγενημένη ἄτιμος διὰ τὸ ταπεινὸν δειχθῆναι αὐτόν. οὕτω καὶ ἡ δευτέρα αὐτοῦ παρουσία κεκήρυκται ἐν δόξῃ, ὡς πάρεστιν ἀπὸ οὐρανῶν μετὰ δυνάμεως καὶ ἀγγέλων καὶ πατρικῆς δόξης. ἡ μὲν πρώτη αὐτοῦ παρουσία Ἰωάννην τὸν βαπτιστὴν εἶχε πρόδρομον, ἡ δὲ δευτέρα αὐτοῦ, ἐν ᾗ μέλλει ἔρχεσθαι ἐν δόξῃ, Ἐνὼχ καὶ Ἠλίαν καὶ Ἰωάννην τὸν θεολόγον ἀναδείξει. καὶ ὅρα τοῦ δεσπότου τὴν φιλανθρωπίαν, ὅτι καὶ ἐν τοῖς ὑστέροις χρόνοις πῶς τοῦ τῶν βροτῶν γένους κήδεται καὶ ἐλεεῖ, ὅτι οὐδὲ τότε χωρὶς προφητῶν ἡμᾶς καταλιμπάνει, ἀλλὰ πέμψει αὐτοὺς πρὸς διδαχὴν ἡμῶν καὶ πληροφορίαν καὶ ἐπιστροφὴν τῆς τοῦ ἀντικειμένου παρουσίας, καθὼς καὶ ἐν τούτῳ Δανιὴλ προϋπέφηνεν. λέγει γὰρ «διαθήκην θήσομαι μιᾶς ἑβδομάδος καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεταί μου θυσία καὶ σπονδή.[1]» μίαν γὰρ ἑβδομάδα τῶν ἑπτὰ ἐτῶν τὴν ἀνάδειξιν σημαίνει, ἥπερ ἐν ὑστέροις καιροῖς γενήσεται. καὶ τὸ ἥμισυ τῆς ἑβδομάδος λήψονται οἱ δύο προφῆται μετὰ Ἰωάννου τοῦ κηρῦξαι εἰς τὸν σύμπαντα κόσμον περὶ τοῦ ἀντιχρίστου τὴν παρουσίαν, τουτέστιν «ἡμέ-

1. Δαν. 9, 27.

ρας χιλίας διακοσίας ἑξήκοντα περιβεβλημένοι σάκκους.[1]» οἳ καὶ ποιήσουσι σημεῖα καὶ τέρατα εἰς τὸ κἂν οὕτω δυσωπῆσαι καὶ ἐπιστρέψαι τοὺς ἀνθρώπους πρὸς μετάνοιαν διὰ τὴν ὑπερβάλλουσαν αὐτῶν ἀνομίαν καὶ ἀσέβειαν. «καὶ εἴ τις θέλει αὐτοὺς ἀδικῆσαι, πῦρ ἐκπορεύσεται ἐκ τοῦ στόματος αὐτῶν καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν. οὗτοι ἔχουσιν ἐξουσίαν κλεῖσαι τὸν οὐρανόν, ἵνα μὴ ὑετὸν βρέξῃ τὰς ἡμέρας τῆς παρουσίας τοῦ ἀντιχρίστου καὶ τὰ ὕδατα στρέψαι εἰς αἷμα καὶ πατάξαι τὴν γῆν ἐν πάσῃ πληγῇ, ὁσάκις ἐὰν θελήσωσιν.[2]» καὶ ὅταν κηρύξωσι ταῦτα πάντα, παρὰ τοῦ διαβόλου ἐν ῥομφαίᾳ πεσοῦνται. καὶ πληρώσουσι τὴν μαρτυρίαν αὐτῶν, καθὼς φησι καὶ τοῦτο Δανιήλ, προεωρακὼς ὅτι τὸ θηρίον τὸ ἀναβαῖνον ἐκ τῆς ἀβύσσου ποιήσει μετ' αὐτῶν πόλεμον, ἤγουν μετὰ Ἐνώχ, Ἠλία καὶ Ἰωάννου, καὶ νικήσει αὐτοὺς καὶ ἀποκτενεῖ αὐτοὺς διὰ τὸ μὴ θέλειν αὐτοὺς δόξαν δοῦναι τῷ διαβόλῳ τουτέστι τὸ ἀναφανὲν μικρὸν κέρας, ὃς ἐπαρθεὶς τῇ καρδίᾳ λοιπὸν ἄρχεται ἑαυτὸν ὑψοῦν καὶ δοξάζειν ὡς θεόν, διώκων τοὺς ἁγίους καὶ βλασφημῶν τὸν Χριστόν. XXII. ἀλλ' ἐπειδὴ πρὸς τὸν εἱρμὸν τῆς διηγήσεως ἠναγκάσθημεν ἐλθεῖν ἐπὶ τὰς ἡμέρας τῆς βασιλείας τοῦ ἀντικειμένου, ἀναγκαῖόν ἐστιν εἰπεῖν πρῶτον τὰ περὶ τῆς γεννήσεως αὐτοῦ καὶ αὐξήσεως καὶ τότε ἐπὶ τὴν διήγησιν ταύτην παραγαγεῖν τὸν λόγον. καθὼς προείπομεν ὅτι εἰς πάντα ἐξισοῦσθαι μέλλει τῷ σωτῆρι ἡμῶν ὁ διάβολος καὶ υἱὸς τῆς ἀνομίας· οὕτω καὶ δηλοῖ ἡμῖν ἡ ἀπόδειξις, ἐπειδὴ ὁ σωτὴρ τοῦ κόσμου, βουλόμενος τὸ γένος τῶν ἀνθρώπων σῶσαι, ἐκ τῆς ἀχράντου καὶ παρθένου Μαρίας ἐτέχθη καὶ ἐν σχήματι σαρκὸς τὸν ἐχθρὸν κατεπάτησεν ἐν ἰδίᾳ δυνάμει τῆς αὐτοῦ θεότητος· τὸν αὐτὸν τρόπον καὶ ὁ διάβολος ἐκ μιαρᾶς γυναικὸς ἐξελεύσεται ἐπὶ τῆς γῆς, τίκτεται δὲ ἐν πλάνῃ ἐκ παρθένου. ὁ γὰρ θεὸς ἡμῶν σαρκικῶς ἡμῖν ἐπεδήμησε κατὰ τὴν σάρκα τὴν ἡμετέραν, ἣν αὐτὸς ἐποίησε τῷ Ἀδὰμ καὶ πᾶσι τοῖς ἐξ Ἀδὰμ χωρὶς ἁμαρτίας, ὁ δὲ διάβολος εἰ καὶ σάρκα ἀναλάβοι, ἀλλὰ ταῦτα ἐν δοκήσει. πῶς γὰρ ἣν οὐκ ἐποίησε σάρκα ἀλλὰ καὶ πολεμεῖ καθ' ἑκάστην ταύτην φορέσειεν; ταύτην δὲ οἶμαι, ἠγαπημένοι, φανταστικὴν τῆς σαρκὸς αὐτοῦ οὐσίαν ἀναλήψεται ὄργανον. διὰ τοῦτο καὶ ἐκ παρθένου τίκτεται ὥσπερ πνεῦμα, καὶ σὰρξ τοῖς λοιποῖς ἐμφανισθήσεται τότε. τὸ γὰρ παρθένον τεκεῖν μόνην τὴν παναγίαν ἔγνωμεν, σαρκοφόρον ἀπλανῶς γεννήσαντα τὸν σωτῆρα, ἐπεὶ Μωϋσῆς λέγει «πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ κυρίῳ κληθήσεται.[3]» οὐ μὴν οὐδαμῶς, ἀλλ' ὥσπερ ὁ ἐχθρὸς οὐ διανοίξει μήτραν, οὕτως οὐδὲ σάρκα τρανὴν ἀναλήψεται. καὶ περιτμηθήσεται, καθὼς καὶ ὁ Χριστὸς περιετμήθη. καὶ καθὼς ὁ Χριστὸς τοὺς ἀποστόλους ἐξελέξατο, οὕτω καὶ ἐκεῖνος δῆμον ὁλόκληρον μαθητῶν προσλήψεται, ὁμοίους τῆς αὐτοῦ κακουργίας ὑπάρχοντας. XXIII. ἐν πρώτοις δὲ τὸ τῶν Ἰουδαίων ἔθνος ἀγαπήσει. μετὰ δὲ τούτων ἁπάντων σημεῖα ἐπι-

1. Ἀποκ. 11, 3. 2. Ἀποκ. 11, 5-6. 3. Ἔξ. 13. 2. 34, 19. Ἀριθ. 8, 16.

τελέσει καὶ θαύματα φοβερά, ἀλλ' οὐκ ἀληθῆ, ἀλλ' ἐν πλάνῃ, ὅπως πλανήσῃ τοὺς ὁμοίους αὐτῷ ἀσεβεῖς. εἰ δυνατὸν γὰρ καὶ τοὺς ἐκλεκτοὺς ἀποστήσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ. ἀλλὰ τὰ πρῶτα αὐτοῦ γενήσεται πραΰς, ἀγαπητικός, ἥσυχος, εὐλαβής, εἰρηνοποιός, μισῶν ἀδικίαν, βδελυττόμενος δῶρα, εἰδωλολατρείαν μὴ προσιέμενος, τὰς γραφάς φησιν ἀγαπῶν, ἱερεῖς αἰδούμενος, πολιὰς τιμῶν, πορνείαν μὴ καταδεχόμενος, μοιχείαν βδελυττόμενος, καταλαλιαῖς μὴ προσέχων, ὅρκους μὴ καταδεχόμενος, φιλόξενος, φιλόπτωχος, ἐλεήμων. εἶτα καὶ τέρατα ποιήσει, λεπροὺς καθαρίζων, παραλύτους ἐγείρων, δαίμονας ἀπελαύνων, περὶ τῶν πόρρω ὡς ἐνεστῶτα διαγγέλλων, νεκροὺς ἀνιστῶν, χήραις ἐπικουρῶν, ὀρφανῶν προϊστάμενος, ἀγαπῶν πάντας, τοὺς μαχομένους ἀνθρώπους καταλλάττων εἰς ἀγάπην καὶ λέγων «μὴ ἐπιδυέτω ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν.[1]» χρυσὸν οὐ κτήσεται, ἀργύριον οὐκ ἀγαπήσει, πλοῦτον οὐ προσίεται. XXIV. καὶ ταῦτα πάντα ποιεῖ ὕπουλος ὢν καὶ δόλιος καὶ πάντας θέλων ἐξαπατῆσαι πρὸς τὸ ποιῆσαι αὐτὸν βασιλέα. ὅταν γὰρ ἴδωσιν οἱ λαοὶ καὶ οἱ δῆμοι τοσαύτας ἀρετὰς καὶ τοσαύτας αὐτοῦ δυνάμεις πάντες ἐπὶ τὸ αὐτὸ μιᾷ γνώμῃ συναχθήσονται ἐπὶ τὸ ποιῆσαι αὐτὸν βασιλέα, μάλιστα ὅτι τὸ τῶν Ἑβραίων γένος ἀγαπηθήσεται ὑπὲρ πάντας ὑπ' αὐτοῦ τοῦ τυράννου, λέγοντες πρὸς ἀλλήλους Μὴ ἄρα εὑρίσκεται τοιοῦτος ἀγαθὸς ἄνθρωπος καὶ δίκαιος ἐν τῇ γενεᾷ ἡμῶν; ἐξαιρέτως, ὡς προεῖπον, τὸ τῶν Ἰουδαίων γένος, νομίζοντες ὅτι βασιλέα αὐτὸν θεάσονται ἐν τῇ τοιαύτῃ ἀρχῇ, καὶ προσελθόντες αὐτῷ, λέγοντες Πάντες σοι πειθόμεθα, πάντες σοι πεποίθαμεν, σὲ γνωρίζομεν δίκαιον ἐπὶ πᾶσαν τὴν γῆν. πάντες διὰ σοῦ σωθῆναι ἐλπίζομεν καὶ διὰ τοῦ στόματός σου ἐλάβομεν κρίσιν δικαίαν καὶ ἀδωροδόκητον. XXV. καὶ τὰ πρῶτα μὲν ὑπούλως χρώμενος ὁ ψεύστης καὶ ἄνομος παραιτήσεται τὴν δόξαν αὐτήν, οἱ δὲ ἄνθρωποι προσμένοντες καὶ παρακαλοῦντες αὐτὸν ἀναδείξουσι βασιλέα. καὶ μετὰ ταῦτα ὑψοῦται τῇ καρδίᾳ καὶ ὁ πραῢς πρότερον γενήσεται σοβαρὸς καὶ ὁ ἀγάπην διώκων γενήσεται ἀνελεήμων. ὁ ταπεινὸς τῇ καρδίᾳ γενήσεται ὑψηλὸς καὶ ἀπάνθρωπος, καὶ ὁ μισῶν ἀδικίαν τοὺς δικαίους καταδιώξει. ἔπειτα ἀνυψούμενος εἰς τὴν ἑαυτοῦ βασιλείαν παρατάξει πόλεμον καὶ τρεῖς βασιλεῖς μεγάλους πατάξει ἐν θυμῷ, Αἰγυπτίων, Λιβύων καὶ Αἰθιόπων. καὶ μετὰ ταῦτα ποιήσει τὸν ναὸν τὸν ἐν Ἱεροσολύμοις καὶ ἀναστήσει αὐτὸν ἐν τάχει καὶ ἀποδώσει αὐτὸν τοῖς Ἰουδαίοις. εἶτα ὑψωθήσεται τῇ καρδίᾳ κατὰ παντὸς ἀνθρώπου, οὐ μὴν ἀλλὰ καὶ κατὰ τοῦ θεοῦ βλάσφημα λαλήσει, δοκῶν ὁ δόλιος ὅτι τὸ λοιπὸν βασιλεύς ἐστιν ἐπὶ τῆς γῆς ἕως τοῦ αἰῶνος, μὴ γινώσκων ὁ ταλαίπωρος ὅτι ἡ βασιλεία αὐτοῦ ἐν τάχει καταργεῖται καὶ ἀπολήψεται τὸ ἡτοιμασμένον πῦρ αὐτῷ ἐν τάχει σὺν πᾶσι τοῖς πειθομένοις αὐτῷ καὶ δουλεύσασιν αὐτῷ. τοῦ γὰρ Δανιὴλ εἰπόντος «ἑβδομάδα μίαν θήσομαι τὴν διαθήκην μου.[2]» τὰ

1. Ἐφ. 4, 26. 2. Δαν. 9, 27.

ἑπτὰ ἔτη ἐδήλωσεν, τὸ ἥμισυ τῆς ἑβδομάδος τοῦ κηρῦξαι τοὺς προφήτας καὶ τὸ ἥμισυ τῆς ἑβδομάδος ἤγουν τὰ τρία ἥμισυ ἔτη βασιλεύσει ὁ ἀντίχριστος ἐπὶ τῆς γῆς. καὶ μετὰ τοῦτο ἀρθήσεται ἡ βασιλεία αὐτοῦ καὶ ἡ δόξα. ὁρᾶτε, φιλόθεοι, οἵα θλῖψις ἐν ταῖς ἡμέραις ἐκείναις γενήσεται, [οἵα οὐ γέγονεν ἀπὸ καταβολῆς κόσμου οὐδ᾽ οὐ μὴ γένηται] ἀλλ᾽ ἐν ταύταις ταῖς ἡμέραις μόνον. τότε ὁ ἄνομος ἐπαρθεὶς τῇ καρδίᾳ συνάξει τοὺς ἑαυτοῦ δαίμονας ἐν σχήματι ἀνθρώπων καὶ τοὺς προσκαλουμένους αὐτὸν ἐπὶ τὴν βασιλείαν βδελύξεται καὶ πολλὰς ψυχὰς μιανεῖ. XXVI. ποιήσει γὰρ αὐτοῖς ἄρχοντας ἐκ τῶν δαιμόνων καὶ οὐκέτι ὡς εὐλαβής, ἀλλὰ πάντα ἐν πᾶσιν αὐστηρός, ἀπότομος, ὀργίλος, θυμώδης, δεινός, ἀκατάστατος, φοβερός, ἀηδής, μισητός, βδελυκτός, ἀνήμερος, ἀλάστωρ, πονηρός. καὶ σπουδάζων ἐμβαλεῖν εἰς βόθρον ἀπωλείας πᾶν τὸ γένος τῶν ἀνθρώπων πληθυνεῖ σημεῖα ψευδῆ. τῶν λαῶν γὰρ ἁπάντων ἀνευφημούντων διὰ τὰς φαντασίας κραυγάσει φωνὴν ἰσχυράν, ὥστε σαλευθῆναι τὸν τόπον, ἐν ᾧ οἱ ὄχλοι αὐτῷ παρειστήκεσαν· Γνῶτε, λαοὶ καὶ φυλαὶ καὶ ἔθνη, τὴν ἐμὴν μεγάλην ἐξουσίαν καὶ δύναμιν καὶ τὴν ἰσχὺν τῆς ἐμῆς βασιλείας. τίς δυνάστης μέγας ὡς ἐγώ; τίς θεὸς μέγας πλὴν ἐμοῦ; τίς τῇ ἐμῇ ἐξουσίᾳ ἀντιστήσεται; μεταστήσει ὄρη ἐν ὀφθαλμοῖς τῶν θεωρούντων, περιπατήσει τὴν θάλασσαν ἀβρόχοις ποσίν, κατάξει πῦρ ἐξ οὐρανοῦ, ποιήσει τὴν ἡμέραν σκότος καὶ τὴν νύκτα ἡμέραν, τὸν ἥλιον μεταστρέψει ὅπου βούλεται καὶ ἁπαξαπλῶς πάντα τὰ στοιχεῖα τῆς γῆς καὶ τῆς θαλάσσης ἐν δυνάμει τῆς φαντασίας αὐτοῦ ἐνώπιον τῶν θεωρούντων ἀναδείξει ὑπήκοα. εἰ γὰρ αὐτὸς μὴ φαινόμενος ἄρτι ὁ υἱὸς τῆς ἀπωλείας ὁρατὸν ἡμῖν πόλεμον πρὸς μάχας καὶ σφαγὰς ἐπάγει καὶ ἐρεθίζει, τότε αὐτὸς ὅταν μέλλῃ αὐτοπροσώπως ἔρχεσθαι καὶ θεωρεῖν αὐτὸν οἱ ἄνθρωποι ἐν ἀληθείᾳ, τίνας οὐκ εἰσπράξεται μηχανὰς καὶ δόλους καὶ φαντασίας πρὸς τὸ πάντας ἀνθρώπους πλανῆσαι καὶ ἀποστῆσαι ἐκ τῆς ὁδοῦ τῆς ἀληθείας καὶ ἐκ τῆς θύρας τῆς βασιλείας. XXVII. εἶτα μετὰ ταῦτα πάντα ὁ οὐρανὸς οὐ δώσει τὴν δρόσον αὐτοῦ, αἱ νεφέλαι οὐ δώσουσιν ὕδωρ, ἡ γῆ ἀρνήσεται τοὺς καρποὺς αὐτῆς, ἡ θάλασσα δυσωδίας πληρωθήσεται, οἱ ποταμοὶ ξηρανθήσονται, οἱ ἰχθύες τῆς θαλάσσης τεθνήξονται, οἱ ἄνθρωποι ἐκ τοῦ λιμοῦ καὶ τῆς δίψης τελευτήσουσιν, καὶ πατὴρ τὸν υἱὸν περιπλακεὶς ἅμα ἀποθανοῦνται, καὶ μήτηρ θυγατέρα ὁμοίως, καὶ οὐκ ἔστιν ὁ θάπτων, ἀλλ᾽ ἡ γῆ πᾶσα ἐκ τῶν σωμάτων τῶν ἐρριμμένων θνησιμαίων δυσωδίας πληρωθήσεται. καὶ ἡ θάλασσα μὴ δεχομένη τῶν ποταμῶν τὰ ῥεύματα βορβόρου δίκην γενήσεται καὶ ὀσμῆς ἀπείρου καὶ δυσωδίας πληρωθήσεται. τότε λοιμὸς ἰσχυρὸς ἐπὶ πᾶσαν τὴν γῆν, τότε θρῆνος ἀπαραμύθητος, τότε κλαυθμὸς ἄμετρος, τότε στεναγμοὶ ἄπαυστοι, τότε μακαρίσουσιν οἱ ἄνθρωποι τοὺς προτεθνηκότας, λέγοντες πρὸς αὐτούς· Ἀνοίξατε τοὺς τάφους ὑμῶν καὶ δέξασθε ἡμᾶς τοὺς ἀθλίους· ἀνοίξατε τὰς θήκας ὑμῶν πρὸς ὑποδοχὴν τῶν ἐλεεινῶν συγγενῶν ὑμῶν καὶ γνωστῶν. μακάριοι ὑμεῖς ὅτι οὐκ ἐθεάσασθε τὰς ἡμέρας ταύτας.

μακάριοι ὑμεῖς ὅτι τὸν βίον τοῦτον τὸν ὀδυνηρὸν οὐκ ἐφθάσατε ἰδεῖν οὐδὲ τὸν λοιμὸν τοῦτον τὸν ἀπαραμύθητον οὐδὲ τὴν ἀνάγκην ταύτην τὴν μετέχουσαν τὰς ἡμετέρας ψυχάς. XXVIII. εἶτα ἐντάλματα ὁ μιαρὸς πέμψει κατὰ πᾶσαν ἐπαρχίαν διά τε δαιμόνων διά τε τῶν αἰσθητῶν ἀνθρώπων λεγόντων ὅτι βασιλεὺς μέγας γέγονεν ἐπὶ τῆς γῆς, δεῦτε πάντες εἰς προσκύνησιν αὐτοῦ. δεῦτε πάντες θεάσασθαι τὴν ἰσχὺν τῆς δυνάμεως αὐτοῦ. ἰδοὺ γὰρ ὑμῖν καὶ σῖτον παρέξει καὶ οἶνον ὑμῖν χαρίσεται καὶ πλοῦτον πολυτελῆ καὶ ἀξίας μεγάλας. τῷ γὰρ κελεύσματι αὐτοῦ πᾶσα ἡ γῆ καὶ θάλαττα ὑπακούει. δεῦτε πάντες πρὸς αὐτόν. καὶ πάντες διὰ τὴν στέρησιν τῶν βρωμάτων ἐπ᾽ αὐτὸν ἐλεύσονται καὶ προσκυνήσουσιν αὐτὸν καὶ δώσει αὐτοῖς χάραγμα ἐν τῇ χειρὶ τῇ δεξιᾷ καὶ ἐν τῷ μετώπῳ, ἵνα μή τις τὸν τίμιον σταυρὸν ποιήσῃ ἐν τῷ μετώπῳ τῇ δεξιᾷ αὐτοῦ χειρί, [ἀλλὰ δέδεται αὐτοῦ ἡ χείρ] καὶ ἀπὸ τότε οὐχ ἕξει ἐξουσίαν σφραγίσαι τι τῶν μελῶν αὐτοῦ, ἀλλὰ τῷ πλάνῳ προστεθήσεται καὶ αὐτῷ δουλεύσει καὶ μετάνοια ἐν αὐτῷ οὐκ ἔστιν. ἀλλὰ ὁ τοιοῦτος ἀπώλετο καὶ ἀπὸ θεοῦ καὶ ἀπὸ ἀνθρώπων καὶ δώσει αὐτοῖς ὁ πλάνος βραχέα βρώματα διὰ τὴν σφραγῖδα αὐτοῦ τὴν μιαράν. ἡ δὲ σφραγὶς αὐτοῦ ἐπὶ τοῦ μετώπου καὶ ἐπὶ τῆς δεξιᾶς χειρός ἐστι ψῆφος χξς.[1] καὶ ὡς οἶμαι οὐδὲ ἀκριβῶς ἐπίσταμαι τοῦτο, ἐν τῇ γραφῇ γὰρ πολλὰ ἐν τῷ ψήφῳ τούτῳ ὀνόματα εὕρηνται, ἀλλὰ λέγομεν ἴσως γράφειν τὴν αὐτὴν σφραγῖδα ΑΡΝΟΥΜΕ, ἐπειδὴ καὶ πρώην διὰ τῶν ὑπηρετῶν αὐτοῦ ὁ ἀντίδικος ἐχθρός, ἤγουν τῶν εἰδωλολατρῶν, τοῖς μάρτυσι τοῦ Χριστοῦ προέτρεπον οἱ ἄνομοι Ἄρνησαι, φησίν, τὸν θεόν σου τὸν ἐσταυρωμένον. XXIX. τοιοῦτον γενήσεται καὶ ἐπὶ τοῦ μισοκάλου ἡ σφραγίς, λέγουσα Ἀρνοῦμαι, φησίν, τὸν ποιητὴν οὐρανοῦ τε καὶ γῆς· ἀρνοῦμαι τὸ βάπτισμα, ἀρνοῦμαι τὴν λατρείαν μου καὶ σοὶ προστίθεμαι καὶ σὲ πιστεύω. τοῦτο γὰρ οἱ προφῆται κηρύξουσιν Ἐνὼχ καὶ Ἠλίας ὅτι Μὴ πεισθῆτε τῷ μέλλοντι ἐλεύσεσθαι καὶ ὀφθῆναι ἐχθρῷ, ὅτι ἀντίδικός ἐστι καὶ φθορεὺς καὶ υἱὸς τῆς ἀπωλείας καὶ πλανᾷ ὑμᾶς καὶ διὰ τοῦτο ὑμᾶς ἀποκτενεῖ καὶ ἐν ῥομφαίᾳ πατάξει αὐτούς. βλέπετε τὴν πλάνην τοῦ ἐχθροῦ, γινώσκετε τὰς μηχανὰς τοῦ δολίου, πῶς διὰ παντὸς σκοτίσαι βούλεται τὸν νοῦν τῶν ἀνθρώπων. τοὺς γὰρ δαίμονας αὐτοῦ ἀποδείξει ὡς ἀγγέλους φωτεινοὺς καὶ στρατιὰς ἀσωμάτων παρεισάξει ὧν οὐκ ἔστιν ἀριθμός, καὶ ἔμπροσθεν πάντων ἀναδεικνύει αὐτὸν εἰς τὸν οὐρανὸν ἀναλαμβανόμενον μετὰ σαλπίγγων καὶ ἤχων καὶ κραυγῆς ἰσχυρᾶς εὐφημούντων αὐτὸν ἀδιηγήτοις ὕμνοις καὶ ἐκλάμπων ὥσπερ φῶς ὁ τῆς σκοτίας κληρονόμος, καὶ ποτὲ μὲν εἰς οὐρανοὺς ἀνιπτάμενος, ποτὲ δὲ ἐπὶ τῆς γῆς κατερχόμενος ἐν δόξῃ μεγάλῃ, ποτὲ δὲ καὶ ὡς ἀγγέλους τοὺς δαίμονας ἐπιτάσσων τοῦ ποιεῖν τὰ θελήματα αὐτοῦ μετὰ πολλοῦ φόβου καὶ τρόμου. τότε ἀποστελεῖ ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς τῶν δαιμόνων τὰς φάλαγγας πρὸς

1. Πρβλ. Ἀποκ. 13, 18.

τὸ ἐρευνῆσαι τοὺς ἀποκρυβέντας ἐκ τῶν ὀφθαλμῶν αὐτοῦ καὶ προσαγαγεῖν αὐτοὺς εἰς προσκύνησιν αὐτοῦ καὶ τοὺς μὲν πειθομένους αὐτῷ σφραγίσει τῇ σφραγῖδι αὐτοῦ, τοὺς δὲ μὴ βουλομένους αὐτῷ ὑπακοῦσαι τιμωρίας ἀνεικάστους καὶ βασάνους πικροτάτους καὶ μηχανὰς ἀναλώσει, οἷα οὐδὲ ἐγένοντο οὐδὲ εἰς ἀκοὴν ἀνθρώπου ἠκούσθη οὔτε ὀφθαλμὸς βροτῶν ἐθεάσατο. XXX. μακάριοι οἱ τότε νικήσαντες τὸν τύραννον, ὅτι παρὰ τοὺς πρώτους μάρτυρας ἐνδοξότεροι καὶ ὑψηλότεροι ἔχουσιν ἀναδειχθῆναι. οἱ γὰρ μάρτυρες πρώην τοὺς αὐτοῦ ὑπασπιστὰς ἐνίκησαν, οὗτοι δὲ αὐτὸν τὸν διάβολον υἱὸν τῆς ἀπωλείας καταπαλαίσαντες καὶ νικηταὶ γενόμενοι ποίων οὖν ἐγκωμίων καὶ στεφάνων οὐ κατακοσμηθήσονται παρὰ τοῦ βασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ. XXXI. ἀλλὰ ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. ὅταν γὰρ λάβωσι τότε οἱ ἄνθρωποι τὴν σφραγῖδα καὶ οὐχ εὕρωσι τροφὰς οὔτε ὕδωρ, προσέρχονται αὐτῷ μετὰ ὀδυνηρᾶς φωνῆς λέγοντες Δὸς ἡμῖν φαγεῖν καὶ πιεῖν ὅτι πάντες ἐκ τοῦ λιμοῦ καὶ ἀπὸ πάσης ἀνάγκης ἐκλείπομεν καὶ ἐπίταξον τὸν οὐρανὸν τοῦ δοῦναι ἡμῖν ὕδωρ καὶ ἀπέλασον τὰ ἀνθρωποφάγα θηρία. τότε ὁ δόλιος ἀποκριθήσεται μυκτηρίζων αὐτοὺς ἐν πολλῇ ἀπανθρωπίᾳ λέγων Ὁ οὐρανὸς οὐ βούλεται δοῦναι ὑετόν, ἡ γῆ πάλιν οὐ βλαστάνει τὰ γεννήματα αὐτῆς· πόθεν ὑμῖν δώσω ἐγὼ βρώματα; τότε ἀκούσαντες τῶν ῥημάτων τοῦ δολίου τούτου οἱ ἄθλιοι νοήσουσιν ὅτι οὗτός ἐστιν ὁ πονηρὸς διάβολος, καὶ κόψονται ὀδυνηρῶς καὶ κλαύσονται μεγάλως καὶ τὸ πρόσωπον ταῖς χερσὶν αὐτῶν τύψουσι καὶ τὰς τρίχας αὐτῶν διαρρήξουσι καὶ ταῖς ὄνυξι τὰς παρειὰς καταξανοῦσι λέγοντες πρὸς ἀλλήλους Ὢ τῆς συμφορᾶς, ὢ τῆς ὀδυνηρᾶς πραγματείας, ὢ τοῦ δολίου συναλλάγματος, ὢ τοῦ μεγίστου πτώματος. πῶς ἐπλανήθημεν τῷ πλάνῳ, πῶς προσηνέχθημεν αὐτῷ, πῶς τοῖς τούτου δικτύοις ἐζωγρεύθημεν, πῶς τῇ μιαρᾷ αὐτοῦ σαγήνῃ συνειλκύσθημεν. πῶς ἀκούοντες τῶν γραφῶν οὐ συνῶμεν. καὶ γὰρ τότε οἱ δεδεμένοι ἐν πράγμασι βιωτικοῖς καὶ τῇ ἐπιθυμίᾳ τοῦ αἰῶνος τούτου, οὗτοι εὐχερῶς προσαχθήσονται τῷ διαβόλῳ καὶ σφραγισθήσονται. XXXII. οἱ δὲ ἀκροώμενοι τῶν θείων γραφῶν καὶ ἐπὶ χεῖρας ἔχοντες καὶ ἐν νῷ ταύτας ἐννοοῦντες πολλοὶ ἀποδράσονται ἐκ τῆς αὐτοῦ πλάνης. νοήσουσι γὰρ τῆς ἐπιβουλῆς αὐτοῦ τὴν ἐμφάνειαν καὶ τῆς πλάνης αὐτοῦ τὴν ἀλαζονείαν καὶ ἐκφεύξουσιν ἐκ τῶν χειρῶν αὐτοῦ καὶ ἐπὶ τὰ ὄρη καὶ ταῖς ὀπαῖς τῆς γῆς κατακρυβήσονται καὶ μετὰ δακρύων καὶ συντετριμμένης καρδίας ζητήσουσι τὸν φιλάνθρωπον, καὶ αὐτὸς ἐκσπάσει αὐτοὺς ἐκ τῶν βρόχων αὐτοῦ καὶ διασώσει ἐκ τῶν σκανδάλων αὐτοῦ τῶν χαλεπῶν καὶ ἀοράτως σκεπάσει αὐτοὺς τῇ χειρὶ αὐτοῦ τῇ δεξιᾷ τοὺς ἀξίως αὐτῷ καὶ δικαίως προσπίπτοντας. XXXIII. ὁρᾷς οἵαν νηστείαν καὶ προσευχὴν ἐκτελέσουσι τότε οἱ ἅγιοι. μάθε καὶ τοὺς ἐν τῇ πόλει καὶ χώρᾳ οἷος χαλεπὸς καιρὸς καὶ ἡμέραι γενήσονται. [τότε ἀπὸ ἀνατολῶν εἰς δυσμὰς ἀχθήσονται] καὶ ἀπὸ δυσμῶν ἕως ἀνατολῶν παραγενήσονται καὶ κλαύσουσι μεγάλως

καὶ κόψονται ἰσχυρῶς καὶ τῆς ἡμέρας διαφαυσκούσης ἐκδέξονται τὴν νύκτα, ἵνα ἀναπαύσωνται ἐκ τῶν ἔργων αὐτῶν. καταλαβούσης δὲ τῆς νυκτὸς ἐκ τῶν ἐπαλλήλων σεισμῶν καὶ ἐκ τῶν καταιγίδων τῶν ἀέρων ζητήσουσιν, ἵνα κἂν θεωρῶσι τὸ φῶς τῆς ἡμέρας καὶ πῶς μέλλουσι λοιπὸν χαλεπῷ θανάτῳ προσέρχεσθαι. τὸν ὀδυνηρὸν βίον πενθεῖ τότε πᾶσα ἡ γῆ, πενθεῖ καὶ ἡ θάλασσα καὶ ὁ ἀήρ, πενθεῖ καὶ ὁ ἥλιος, πενθεῖ καὶ τὰ ἄγρια ζῷα σὺν πετεινοῖς, πενθοῦσιν ὄρη καὶ βουνοὶ καὶ τὰ ξύλα τοῦ πεδίου διὰ τὸ γένος τῶν ἀνθρώπων, ὅτι πάντες ἐξέκλιναν ἀπὸ θεοῦ ἁγίου καὶ τῷ πλάνῳ ἐπίστευσαν, δεξάμενοι τὸν χαρακτῆρα τοῦ μιαροῦ καὶ θεομάχου ἀντὶ τοῦ ζωοποιοῦ σταυροῦ τοῦ σωτῆρος. XXXIV. πενθοῦσι δὲ καὶ αἱ ἐκκλησίαι πένθος μέγα, διότι οὔτε προσφορὰ οὔτε θυμίαμα ἐκτελεῖται οὔτε λατρεία θεάρεστος, ἀλλὰ τὰ ἱερὰ τῶν ἐκκλησιῶν ὡς «ὀπωροφυλάκιον [1]» γενήσονται καὶ τὸ τίμιον σῶμα καὶ αἷμα τοῦ Χριστοῦ ἐν ταῖς ἡμέραις ἐκείναις οὐκ ἀναφανήσεται. λειτουργία σβεσθήσεται, ψαλμῳδία παυθήσεται, ἀνάγνωσις τῶν γραφῶν οὐκ εἰσακουσθήσεται. ἀλλὰ σκότος ἔσται τοῖς ἀνθρώποις καὶ θρῆνος ἐπὶ θρῆνον καὶ οὐαὶ ἐπὶ οὐαί. ῥίψεται τότε ὁ ἄργυρος καὶ ὁ χρυσὸς ἐν ταῖς πλατείαις καὶ οὐδεὶς συνάξει αὐτούς, ἀλλὰ πάντα βδελυκτὰ καθεστήκασιν. πάντες γὰρ τοῦ ἐκφυγεῖν καὶ κρυβῆναι σπουδάσουσι καὶ οὐδαμοῦ δυνήσονται λαθεῖν ἐκ τῶν παθῶν τοῦ ἀντικειμένου, ἀλλὰ τὸ σημεῖον αὐτοῦ περιφέροντες εὔδηλοι καὶ γνωστοὶ αὐτοῦ ἀναδειχθήσονται. ἔξωθεν φόβος καὶ ἔσωθεν τρόμος καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ. ἐν πλατείᾳ καὶ ἐν τοῖς οἴκοις θνησιμαῖα, ἐν πλατείαις καὶ ἐν οἴκοις πεῖνα καὶ δίψα. ἐν πλατείαις θόρυβοι, ἐν οἴκοις κοπετοί. μεμάρανται τὸ κάλλος τῆς ὄψεως τοῦ προσώπου· γίνονται γὰρ ἰδέαι αὐτῶν ὡσεὶ νεκρῶν. καὶ τὸ κάλλος τῶν γυναικῶν μαρανθήσεται καὶ ἡ ἐπιθυμία τῶν ἀνθρώπων πάντων ἀφαιρεθήσεται. XXXV. οὐδὲ γὰρ τότε ὁ εὔσπλαγχνος καὶ φιλάνθρωπος θεὸς καταλείψει τῶν ἀνθρώπων τὸ γένος ἀπαραμύθητον, ἀλλὰ καὶ «κολοβώσει [2]» τὰς ἡμέρας ἐκείνας καὶ τὸν χρόνον τῶν τριῶν ἥμισυ ἐτῶν καὶ ποιήσει αὐτὰ σύντομα διὰ τὸ κατάλειμμα τῶν ἐν ὄρεσι καὶ σπηλαίοις κατακρυφθέντων, ἵνα μὴ πάντων τῶν ἁγίων ἐκείνων ἡ φάλαγξ ἐκλείψῃ. ἀλλὰ μετὰ σπουδῆς αἱ ἡμέραι αὗται διαδραμοῦνται καὶ ἀρθήσεται ἡ βασιλεία τοῦ πλάνου καὶ ἀντιχρίστου ἐν τάχει καὶ λοιπὸν «ἐν ῥιπῇ ὀφθαλμοῦ [3]» «παρέλθῃ τὸ σχῆμα τοῦ κόσμου τούτου [4]» καὶ τῶν ἀνθρώπων ἡ ἐξουσία καταργηθήσεται : κὶ τὰ ὁρώμενα ταῦτα πάντα ἀφανισθήσονται. XXXVI. τούτων οὖν ἐσομένων, ἀγαπητοί, ὧν προείπομεν, καὶ τῆς μιᾶς ἑβδομάδος εἰς δύο μερισθείσης καὶ τοῦ βδελύγματος τῆς ἐρημώσεως τότε ἀναφανέντος καὶ τῶν προδρόμων τοῦ κυρίου τὸν ἴδιον δρόμον τελεσάντων καὶ τοῦ σύμπαντος κόσμου λοιπὸν εἰς συντέλειαν ἐρχομένου· τί περιλείπεται ἀλλ' ἢ [ἡ] ἐπιφάνεια τοῦ

1. Ἠσ. 1, 8. 2. Ματθ. 24, 22. 3. Α' Κορ. 15, 52. 4. Α' Κορ. 7, 31.

κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ ἀπ' οὐρανῶν εἰς ὃν ἠλπίσαμεν; ὃς ἐξάξει τὴν πύρωσιν καὶ τὴν δικαιοκρισίαν πᾶσαν τοῖς ἀπειθήσασιν αὐτῷ. λέγει γὰρ ὁ κύριος «ὃν τρόπον γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοί[1]», τὸ γὰρ σημεῖον τοῦ σταυροῦ ἀπὸ ἀνατολῶν ἕως δυσμῶν ἀνατελεῖ ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου καὶ μηνύσει τοῦ κριτοῦ τὴν ἔλευσιν καὶ τὴν ἐμφάνειαν τοῦ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. περὶ γὰρ τῆς ἀναστάσεως τῶν ἁπανταχῇ καὶ τῆς βασιλείας τῶν ἁγίων λέγει Δανιὴλ «καὶ πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἐξεγερθήσονται, οὗτοι εἰς ζωὴν αἰώνιον καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ εἰς αἰσχύνην αἰώνιον.[2]» Ἡσαΐας δὲ λέγει «ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ.[3]» ὁ δὲ κύριος ἡμῶν λέγει «πολλοὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ καὶ οἱ ἀκούσαντες ζήσονται.[4]» XXXVII. τότε γὰρ ἡ σάλπιγξ ἠχήσει καὶ ἐξυπνήσει τοὺς κεκοιμημένους ἐκ τῶν κατωτάτων τῆς γῆς[5], δικαίους καὶ ἁμαρτωλούς. καὶ πᾶσα φύσις καὶ γλῶσσα καὶ ἔθνος καὶ φυλὴ ἀναστήσονται «ἐν ῥιπῇ ὀφθαλμοῦ[6]» καὶ παραστήσονται ἐπὶ προσώπου τῆς γῆς, ἐκδεχόμενοι τὴν τοῦ δικαίου καὶ φοβεροῦ κριτοῦ ἔλευσιν ἐν φόβῳ καὶ ἐν τρόμῳ ἀδιηγήτῳ. ὁ γὰρ πύρινος ποταμὸς ἐξερχόμενος μετὰ θυμοῦ ὥσπερ ἀγρία θάλασσα, καὶ κατακαύσει ὄρη καὶ βουνοὺς καὶ τὴν θάλασσαν ἀφανίσει καὶ τὸν αἰθέρα διαλύσει ἐκ τῆς πυρώσεως ὥσπερ κηρόν. τὰ ἄστρα τοῦ οὐρανοῦ πεσοῦνται, «ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς αἷμα.[7]» ὁ οὐρανὸς ὡς βιβλίον εἱλίσσεται, ἡ γῆ πᾶσα κατακαυθήσεται[8] διὰ τὰ ἐν αὐτῇ ἔργα, ἅπερ διέφθειραν οἱ ἄνθρωποι ἐν πορνείαις, ἐν μοιχείαις καὶ ἐν ψεύδεσι καὶ ἀκαθαρσίαις καὶ ἐν εἰδωλολατρίαις καὶ ἐν φόνοις καὶ ἐν μάχαις. γενήσεται γὰρ «ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή.[9]» XXXVIII. τότε οἱ ἅγιοι ἄγγελοι ἐπιθρέξουσιν «ἐπισυνάγοντες[10]» πάντα τὰ ἔθνη, οὓς ἐξυπνήσει ἡ φοβερὰ ἐκείνη φωνὴ τῆς σάλπιγγος, καὶ παραστήσονται τῷ βήματι τοῦ Χριστοῦ οἱ ποτὲ βασιλεῖς, οἱ ἄρχοντες, οἱ ἀρχιερεῖς, οἱ ἱερεῖς, καὶ περὶ τῆς ἰδίας πολιτείας ἀπολογίαν διδόντες καὶ περὶ τοῦ ποιμνίου, οἵτινες δι' ἀμελείας αὐτῶν ἀπώλεσαν πρόβατον ἐκ τῆς ποίμνης αὐτῶν. τότε ἀχθήσονται οἱ στρατιῶται οἱ μὴ «ἀρκούμενοι τοῖς ὀψωνίοις αὐτῶν[11]», ἀλλ' ἐπηρεάζοντες χήρας καὶ ὀρφανοὺς καὶ πτωχούς. τότε παραστήσονται οἱ φορολόγοι, οἱ παρὰ τὸ κείμενον πλέον ἁρπάζοντες τὸν πένητα καὶ ποιοῦντες τὸν δόκιμον χρυσὸν ὡς κίβδηλον ἵνα ζημιώσωσι τὸν πτωχὸν ἔν τε ἀγροῖς ἔν τε οἴκοις καὶ ἐν ταῖς ἐκκλη-

1. Ματθ. 24, 27. 2. Δαν. 12, 2. 3. Ἡσ. 26, 19. 4. Ἰω. 5, 25. 5. Πρβλ. Α' Θεσσ. 4, 16. 6. Α' Κορ. 15, 22. 7. Πράξ. 2, 20. 8. Πρβλ. Β' Πέτρ. 3, 12. 9. Ἀποκ. 21, 1. 10. Ματθ. 24, 31. 11. Λουκ. 3, 14.

σίαις. τότε ἀναστήσονται ἀνδρόγυνοι μετ' αἰσχύνης, οἵτινες οὐκ ἐφύλαξαν τὴν κοίτην αὐτῶν ἀμίαντον, ἀλλὰ πᾶν τὸ κάλλος τῆς σαρκὸς ἀπατώμενοι καὶ ἐν ταῖς ἰδίαις ἐπιθυμίαις πορευόμενοι. τότε ἀναστήσονται οἱ τὴν ἀγάπην τοῦ κυρίου μὴ φυλάξαντες, κατηφεῖς καὶ σκυθρωποί, ὅτι τὴν ἐλαφρὰν ἐντολὴν τοῦ σωτῆρος ἠθέτησαν τὴν λέγουσαν «ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν.[1]» τότε κλαύσουσιν οἱ τὸν ζυγὸν αὐτὸν ἄδικον κεκτημένοι καὶ σταθμοὺς καὶ μέτρα καὶ μόδια ἄδικα, ἐκδεχόμενοι τὸν δίκαιον κριτήν. XXXIX. καὶ τί ἐπιφέρομεν πολλοὺς λόγους τῶν παραστησομένων; «τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος[2]», οἱ δὲ ἁμαρτωλοὶ κατηφεῖς καὶ σκυθρωποὶ ἀναδειχθήσονται. ἀμφότεροι γάρ, οἵ τε δίκαιοι καὶ ἁμαρτωλοί, ἄφθαρτοι ἀναστήσονται. οἱ γὰρ δίκαιοι, ἵνα αἰωνίως τιμηθῶσι καὶ κατατρυφήσωσι τὰ ἀθάνατα, οἱ δὲ ἁμαρτωλοί, ἵνα ἐν τῇ κρίσει αἰωνίως κολασθήσωνται. ἕκαστος γὰρ ἐνθυμηθεῖτε τὸ τί δώσει ἀπολογίαν τῷ δικαίῳ κριτῇ εἴτε ἀγαθὰ εἴτε φαῦλα· αἱ γὰρ πράξεις πάντων τῶν ἀνθρώπων ἕκαστον περικυκλώσει εἴτε ἀγαθὸν εἴτε πονηρόν. «αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται[3]» καὶ πάντα φόβος καὶ τρόμος κατέδεται, τὸν οὐρανόν, τὴν γῆν καὶ τὰ καταχθόνια. «καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται[4]» αὐτὸν καὶ ὁμολογήσει τὸν ἐρχόμενον κρῖναι κριτήριον δίκαιον, θεὸν ἰσχυρὸν καὶ ποιητὴν τῶν ἁπάντων. τότε μετὰ δειλίας καὶ θάμβους ἐλεύσονται ἄγγελοι, «θρόνοι, ἐξουσίαι, ἀρχαί, κυριότητες[5]», πολυόμματα ἑξαπτέρυγα Χερουβὶμ τε καὶ Σεραφίμ, ἐν ἰσχύι κεκραγότα «ἅγιος ἅγιος ἅγιος κύριος Σαβαὼθ παντοκράτωρ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου.[6]» καὶ ἀποκαλυφθήσεται ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων καὶ κριτὴς ἀπροσωπόληπτος καὶ δικαστὴς τὸ δίκαιον ἀπονέμων ἑκάστῳ ἐπὶ θρόνου φοβεροῦ καὶ ἐπηρμένου, καὶ πᾶσα σὰρξ τῶν βροτῶν κατίδη αὐτοῦ τὸ πρόσωπον μετὰ φόβου καὶ δειλίας μεγάλης, καὶ δίκαιος καὶ ἁμαρτωλός. XL. τότε ἀχθήσεται ὁ υἱὸς τῆς ἀπωλείας ἤγουν ὁ διάβολος μετὰ τῶν δαιμόνων αὐτοῦ καὶ μετὰ τῶν ὑπηρετῶν αὐτοῦ ὑπὸ ἀγγέλων αὐστηρῶν καὶ ἀποτόμων καὶ παραδοθήσονται τῷ πυρὶ τῷ ἀσβέστῳ καὶ τῷ σκώληκι τῷ ἀκοιμήτῳ καὶ τῷ σκότει τῷ ἐξωτέρῳ. τῶν γὰρ Ἑβραίων ὁ δῆμος «ὄψεται αὐτὸν[7]» ἐν σχήματι ἀνθρώπου, καθὼς αὐτοῖς ὤφθη ἐκ τῆς ἁγίας παρθένου διὰ σαρκὸς καὶ καθὼς αὐτὸν ἐσταύρωσαν. καὶ δείξει αὐτοῖς τῶν χειρῶν καὶ τῶν ποδῶν τοὺς ἥλους καὶ τὴν πλευρὰν αὐτοῦ νενυγμένην διὰ τῆς λόγχης καὶ τὴν κάραν τὴν ἐξ ἀκανθῶν στεφανωθεῖσαν καὶ τὸν τίμιον σταυρὸν καὶ ἅπαξ πάντα θεάσονται ὁ τῶν Ἑβραίων δῆμος καὶ κόψονται καὶ κλαύσονται, καθὼς βοᾷ ὁ προφήτης «ὄψονται εἰς ὃν ἐξεκέντησαν[8]», καὶ οὐδεὶς ἐστιν ὁ βοηθῶν αὐτοῖς ἢ ὁ ἐλεῶν αὐτούς, ὅτι οὐ μετενόησαν ἢ ἀπε-

1. Ματθ. 19, 19. 2. Ματθ. 13, 43. 3. Ματθ. 24, 29. 4. Φιλιππ. 2, 11. 5. Κολ. 1, 16. 6. Ἡσ. 6, 3. 7. Ἀποκ. 1, 7. 8. Ζαχ. 12, 10. Ἰω. 19, 37.

στράφησαν ἐκ τῆς ὁδοῦ τῆς πονηρᾶς. καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον μετὰ τῶν δαιμόνων καὶ τοῦ διαβόλου. XLI. εἶτα ἐπισυνάξει πάντα τὰ ἔθνη, καθὼς τὸ ἅγιον εὐαγγέλιον διαπρυσίως βοᾷ. τί γὰρ λέγει Ματθαῖος ὁ εὐαγγελιστής, μᾶλλον δὲ αὐτὸς ὁ κύριος διὰ τοῦ εὐαγγελίου; «ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη. καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων. καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. τότε ἐρεῖ τοῖς ἐκ δεξιῶν αὐτοῦ Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.[1]» δεῦτε οἱ προφῆται οἱ διὰ τὸ ὄνομά μου ἐκδιωχθέντες. δεῦτε οἱ πατριάρχαι οἱ πρὸ τῆς ἐμῆς παρουσίας πειθαρχήσαντές μοι καὶ ποθήσαντες τὴν ἐμὴν βασιλείαν. δεῦτε οἱ ἀπόστολοι οἱ συγκακοπαθήσαντές μοι ἐν τῇ ἐνανθρωπήσει, ἐν τῷ εὐαγγελίῳ. δεῦτε μάρτυρες οἱ ὁμολογήσαντές μοι ἐνώπιον τυράννων καὶ βασάνους πολλὰς καὶ τιμωρίας ὑπομείναντες. δεῦτε οἱ ἱεράρχαι οἱ λειτουργήσαντές μοι ἀμώμως ἡμέρας καὶ νυκτὸς καὶ τὸ τίμιον σῶμα καὶ αἷμά μου καθ' ἑκάστην θύοντες. XLII. δεῦτε οἱ ὅσιοι οἱ «ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς[2]» ἀσκήσαντες, οἱ δι' ἐγκρατείας καὶ εὐχῆς καὶ παρθενίας θεραπεύσαντές μου τὸ ὄνομα. δεῦτε νεάνιδες αἱ τὸν νυμφῶνά μου ποθήσασαι καὶ πλὴν ἐμοῦ τοῦ νυμφίου ἄλλον μὴ ἀγαπήσασαι, αἱ διὰ μαρτυρίου καὶ ἀσκήσεως ἐμοὶ συναφθεῖσαι τῷ ἀθανάτῳ καὶ ἀφθάρτῳ «νυμφίῳ.[3]» δεῦτε φιλόπτωχοι, φιλόξενοι. δεῦτε οἱ τὴν ἀγάπην μου φυλάξαντες, καθὼς ἐγὼ ἀγάπη εἰμί. δεῦτε οἱ τῆς εἰρήνης μετέχοντες· ἐγὼ γάρ εἰμι ἡ εἰρήνη. «δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν, οἱ τὸν πλοῦτον μὴ τιμήσαντες, οἱ ἐλεήσατε τὸν πένητα, οἱ τοῖς ὀρφανοῖς βοηθήσαντες, οἱ ταῖς χήραις ἐπικουρήσαντες, οἱ τοὺς διψῶντας ποτίσαντες, οἱ τοὺς πεινῶντας διαθρέψαντες, οἱ τοὺς ξένους ἐπισυναγαγόντες, οἱ τοὺς γυμνοὺς ἐνδύσαντες, οἱ τοὺς ἀσθενεῖς ἐπισκέψαντες, οἱ τοὺς ἐν φυλακαῖς παραμυθήσαντες, οἱ τοῖς τυφλοῖς ἐπικουρήσαντες, οἱ τὴν σφραγῖδα τῆς πίστεως ἄθραυστον διαφυλάξαντες, οἱ ταῖς ἐκκλησίαις ἐπισυντρέχοντες, οἱ τῶν γραφῶν μου ἀκούοντες, οἱ τοῖς λόγοις μου ποθήσαντες, οἱ τὸν νόμον μου τηρήσαντες ἡμέρας καὶ νυκτός, οἱ συγκακοπαθήσαντές μοι καλοὶ στρατιῶται, ἐμοὶ τῷ οὐρανίῳ βασιλεῖ ἀρέσαι βουλόμενοι. «δεῦτε κληρονομήσατε ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου .» ἰδοὺ ἡ βασιλεία μου ηὐτρέπισται. ἰδοὺ ἡ παράδεισος ἠνεῴχθη. ἰδοὺ ἡ ἀθανασία μου κεκαλλώπισται. «δεῦτε πάντες κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου .» XLIII. τότε ἀποκριθήσονται

1. Ματθ. 25, 31-34. 2. Ἑβρ. 11, 38. 3 Ματθ. 9, 15. 25, 1.

οἱ δίκαιοι, ἐκπληττόμενοι τῷ μεγέθει τοῦ θαύματος, ὅτι ὃν οὐ δύνανται βλέπειν τρανῶς ἀγγέλων τὰ τάγματα ὡς φίλους αὐτοὺς προσκαλεῖται, καὶ βοήσουσι πρὸς αὐτὸν «κύριε, πότε σε ἴδομεν πεινῶντα καὶ ἐθρέψαμεν; δέσποτα, πότε σε ἴδομεν διψῶντα καὶ ἐποτίσαμεν;[1]» φοβερέ, πότε σε ἴδομεν γυμνὸν καὶ περιεβάλομεν; ἀθάνατε, πότε σε ἴδομεν ξένον καὶ συνηγάγομεν; φιλάνθρωπε, πότε σε ἴδομεν ἀσθενῆ ἢ ἐν φυλακῇ καὶ ἤλθομεν πρός σέ.[2] σὺ εἶ ὁ ἀεὶ ὤν. σὺ εἶ ὁ συνάναρχος τῷ πατρὶ καὶ συναΐδιος τῷ πνεύματι. σὺ εἶ ὁ ἐκ μὴ ὄντων τὰ πάντα ποιήσας. σὺ εἶ ὁ τῶν ἀγγέλων βασιλεύς. σὺ εἶ ὃν τρέμουσιν ἄβυσσοι, «σὺ εἶ ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.[3]» σὺ εἶ ὁ ποιήσας ἡμᾶς καὶ πλάσας ἀπὸ γῆς. σὺ εἶ ὁ τὰ ἀόρατα δημιουργήσας. σοῦ ἀπὸ προσώπου φεύγει πᾶσα ἡ γῆ. καὶ πῶς ἡμεῖς ἐξενοδοχήσαμεν τὴν σὴν βασιλείαν καὶ κυριότητα; XLIV. τότε ἀποκριθήσεται πάλιν ὁ βασιλεὺς τῶν βασιλευόντων, λέγων πρὸς αὐτοὺς «ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.[4]» ἐφ' ὅσον οὓς προεῖπον ὑμῖν ἐξενοδοχήσατε, ἐνεδύσατε καὶ ἐθρέψατε καὶ ἐποτίσατε τὰ μέλη μου, τοὺς πτωχούς, ἐμοὶ ἐποιήσατε. ἀλλὰ δεῦτε εἰς τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἀπολαύσατε εἰς αἰῶνα αἰῶνος παρὰ τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς καὶ τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος. ποῖον ἄρα στόμα ἐκδιηγήσεται τὰ ἀγαθὰ ἐκεῖνα «ἃ ὀφθαλμὸς οὐκ οἶδεν οὔτε οὖς οὐκ ἤκουσεν οὔτε ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.» XLV. ἔγνωτε χαρὰν ἀδιάδοχον, ἔγνωτε βασιλείαν ἀσάλευτον, ἔγνωτε τρυφὴν ἀγαθῶν τέλος μὴ ἔχουσαν. μάθετε καὶ τὴν τῶν ἐξ εὐωνύμων ὀδυνηρὰν φωνήν, ἣν πρὸς αὐτοὺς ἀποφθέγξεται ὁ δίκαιος κριτὴς καὶ θεὸς ὁ πρᾶος ἐν θυμῷ ἀμέτρῳ καὶ ὀργῇ «ἀπέλθετε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.[5]» ὑμεῖς δὲ ἑαυτοῖς ταῦτα προεξενήσατε. δέξασθε ἑαυτοῖς καὶ τὴν ἀπόλαυσιν. «ἀπέλθετε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ σκότος τὸ ἐξώτερον καὶ εἰς τὸ πῦρ τὸ ἄσβεστον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.» ἐγὼ ἔπλασα καὶ ἄλλῳ προσηνέχθητε. ἐγώ εἰμι ὁ ἐκ μήτρας ἐξαγαγὼν ὑμᾶς κἀμὲ ἠθετήσατε. ἐγώ εἰμι ὁ ἐκ γῆς διαπλάσας προστάξει μου καὶ ἄλλῳ προσηνέχθητε. ἐγώ εἰμι ὁ διαθρέψας ὑμᾶς καὶ ἄλλῳ ἐδουλεύσατε. ἐγὼ τὴν γῆν καὶ τὴν θάλασσαν πρὸς διατροφὴν ὑμῶν καὶ συμπέρασμα βίου προσέταξα, ὑμεῖς δὲ τὰς ἐντολάς μου παρηκούσατε. ἐγὼ τὸ φῶς ὑμῖν ἐποίησα πρὸς ἀπόλαυσιν τῆς ἡμέρας καὶ τὴν νύκτα πρὸς ἀνάπαυσιν, ὑμεῖς δὲ τοῖς ἔργοις τοῖς πονηροῖς ἐμὲ παρεπικράνατε καὶ ἠθετήσατε καὶ τοῖς πάθεσι θύραν ἠνοίξατε. «ἀποχωρεῖτε ἀπ' ἐμοῦ, ἐργάται τῆς ἀδικίας.» οὐκ οἶδα ὑμᾶς, οὐ γνωρίζω ὑμᾶς. ἄλλου κυρίου ἐργάται ἐγένεσθε,

1. Ματθ. 25, 37. 2. Ματθ. 25, 38-39. 3. Ψαλμ. 103, 2. 4. Ματθ. 25, 40. 5. Ματθ. 25, 41.

τουτέστι τοῦ διαβόλου. μετ' αὐτοῦ τὸ σκότος κληρονομήσατε καὶ τὸ ἄσβεστον πῦρ καὶ τὸν σκώληκα τὸν ἀκοίμητον καὶ τὸν βρυγμὸν τῶν ὀδόντων. XLVI. «ἐπείνασα γὰρ καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα καὶ οὐκ ἐποτίσατέ με. ξένος ἤμην καὶ οὐ συνηγάγετέ με. γυμνὸς καὶ οὐ περιεβάλετέ με. ἠσθένησα καὶ οὐκ ἐπεσκέψασθέ με, ἐν φυλακῇ ἤμην καὶ οὐκ ἤλθετε πρός με.[1]» τὰς ἀκοὰς ὑμῶν ἐποίησα πρὸς τὸ ἀκούειν ὑμᾶς τῶν γραφῶν, ὑμεῖς δὲ ταύτας ηὐτρεπίσατε εἰς ᾄσματα δαιμονικὰ καὶ κιθάρας καὶ γελοῖα. τοὺς ὀφθαλμοὺς ὑμῶν ἐποίησα πρὸς τὸ καθορᾶν τὸ φῶς τῶν ἐντολῶν μου καὶ ἐκτελεῖν αὐτάς, ὑμεῖς δὲ προσκαλεῖτε πορνείας καὶ ἀσελγείας καὶ τῇ λοιπῇ ἀκαθαρσίᾳ αὐτοὺς διηνοίξατε. τὸ στόμα ὑμῶν πρὸς δοξολογίαν καὶ αἶνον καὶ «ψαλμοὺς καὶ ᾠδὰς πνευματικὰς[2]» ηὐτρέπισα λαλεῖν καὶ μελετᾶν διὰ παντὸς τὴν ἀνάγνωσιν, ὑμεῖς δὲ πρὸς λοιδορίας καὶ ὅρκους καὶ βλασφημίας αὐτὸ ἡτοιμάσατε, καθήμενοι καταλαλοῦντες τοὺς πλησίους ὑμῶν. τὰς χεῖρας ὑμῶν πρὸς προσευχὰς καὶ δεήσεις ἐποίησα τοῦ ἐκπετάσαι, ὑμεῖς δὲ πρὸς ἁρπάγματα καὶ φόνους καὶ ἀλληλοφονίας ἐξετείνατε. τοὺς πόδας ὑμῶν ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης καὶ ἐν ἐκκλησίαις καὶ τοῖς οἴκοις τῶν ἁγίων μου διεταξάμην ὁδεύειν, ὑμεῖς δὲ εἰς μοιχείας καὶ εἰς πορνείας καὶ θέατρα καὶ ὀρχήσεις καὶ μετεωρισμοὺς ἐδιδάξατε τρέχειν. XLVII. ἐλύθη λοιπὸν ἡ πανήγυρις, ἐπαύθη τοῦ βίου τὸ θέατρον, παρῆλθεν ἡ πλάνη αὐτοῦ καὶ ἡ φαντασία. ἐμοὶ προσηνέχθητε, ᾧ «κάμπτει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων·[3]» πάντες γὰρ οἱ ἀμελήσαντες οὐδὲ οἰκτειρήσαντες ἐν εὐποιΐαις ἐνταῦθα οὐδὲν χρεωστοῦνται ἀλλ' ἢ τὸ πῦρ τὸ ἄσβεστον. φιλάνθρωπος γὰρ εἰμί, ἀλλὰ καὶ δικαιοκρίτης. πᾶσι γὰρ τὰς κατ' ἀξίαν ἀποδώσω τὰς ἀμοιβάς, πᾶσι κατὰ τὸν ἑκάστου κάματον παρέξω τὸν μισθόν, πᾶσι πρὸς τὸν ἴδιον ἀγῶνα δώσω καὶ τὰς ἀμοιβάς. ἐλεῆσαι βούλομαι, ἀλλ' ἔλαιον ἐν τοῖς ἀγγείοις ὑμῶν οὐ καθορῶ. οἰκτειρῆσαι θέλω, ἀλλ' ὅλως ἄνευ οἰκτιρμῶν τὸν βίον μετήλθετε. σπλαγχνισθῆναι σπεύδω, ἀλλ' αἱ λαμπάδες ὑμῶν σκοτειναί εἰσιν ἐκ τῆς ἀσπλαγχνίας. «ἀπέλθετε ἀπ' ἐμοῦ.[4]» «ἡ γὰρ κρίσις ἀνίλεως ἐστι τῷ μὴ ποιήσαντι ἔλεος.[5]» XLVIII. τότε ἀποκριθήσονται καὶ αὐτοὶ πρὸς τὸν φοβερὸν κριτὴν καὶ ἀπροσωπόληπτον «κύριε, πότε σε ἴδομεν πεινῶντα ἢ διψῶντα ἢ ξένον ἢ γυμνὸν ἢ ἀσθενῆ ἢ ἐν φυλακῇ καὶ οὐ διηκονήσαμέν σοι;[6]» κύριε, οὐ γνωρίζεις ἡμᾶς; σὺ ἡμᾶς ἔπλασας, σὺ ἐδημιούργησας, σὺ ἐκ τεσσάρων στοιχείων ἡμᾶς συνήρμοσας, σὺ πνεῦμα καὶ ψυχὴν ἔθηκας, σοὶ ἐπιστεύσαμεν, σοῦ τὴν σφραγῖδα μετέσχομεν. σοῦ τὸ βάπτισμα ἐλάβομεν. σὲ ὡμολογήσαμεν θεόν, σὲ ἔγνωμεν κτιστήν. ἐν σοὶ σημεῖα πεποιήκαμεν. διὰ σοῦ δαίμονας ἀπηλάσαμεν. διὰ σὲ τὴν σάρκα ἐτήξαμεν, διὰ σὲ παρθενίαν ἐφυλάξαμεν, διὰ σὲ

1. Ματθ. 25, 35-36. 2. Ἐφ. 5, 19. 3. Φιλιππ. 2, 10. 4. Ματθ. 7, 23. 5. Ἰακ. 2, 13. 6. Ματθ. 25, 44.

ἁγνείαν ἐπεσπασάμεθα, διὰ σὲ πάροικοι τῆς γῆς ἐγενήθημεν. καὶ λέγεις «οὐκ οἶδα ὑμᾶς, ἀπέλθετε ἀπ' ἐμοῦ;[1]» τότε ἀποκριθήσεται καὶ αὐτοῖς λέγων Ὡμολογήσατέ με δεσπότην, ἀλλὰ τοῖς λόγοις μου οὐκ ἐπειθαρχήσατε. τὴν σφραγῖδα τοῦ σταυροῦ μου ἐσημειώθητε, ἀλλὰ ταύτην ἀσπλαγχνίᾳ ἠφανίσατε. τὸ βάπτισμά μου ἐλάβετε, ἀλλὰ τὰς ἐντολάς μου οὐκ ἐφυλάξατε. [τὸ σῶμα τῇ παρθενίᾳ κατεδαμάσατε, ἀλλὰ τὴν ἐλεημοσύνην οὐκ ἐφυλάξατε,] ἀλλὰ τὴν μισαδελφίαν ἐκ τῶν ὑμετέρων ψυχῶν οὐκ ἐσοβήσατε. «οὐ γὰρ πᾶς ὅστις λέγει μοι Κύριε κύριε, σωθήσεται, ἀλλ' ὁ ποιῶν τὸ θέλημά μου.[2]» «καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.[3]» XLIX. ἠκούσατε, ἀγαπητοί, τοῦ κυρίου τὴν ἀπόκρισιν, ἔγνωτε τοῦ κριτοῦ τὴν ἀπόφασιν, ἐμάθετε οἷον κριτήριον φοβερὸν ἡμᾶς ἀναμένει καὶ ἡμέρα καὶ ὥρα. ταύτης φροντίσωμεν καθ' ἑκάστην, ταύτης μελετήσωμεν ἡμέρας καὶ νυκτὸς καὶ ἐν τοῖς οἴκοις καὶ ἐν πλατείαις καὶ ἐν ταῖς ἐκκλησίαις, ἵνα μὴ εἰς τὴν δίκην ἐκείνην τὴν φοβερὰν καὶ ἀπροσωπόληπτον παρασταθῶμεν κατακεκριμένοι, ταπεινοὶ καὶ σκυθρωποί, ἀλλὰ μετὰ καθαρᾶς πράξεως καὶ βίου καὶ πολιτείας καὶ ἐξομολογήσεως, ἵνα εἴπῃ καὶ πρὸς ἡμᾶς ὁ εὔσπλαγχνος καὶ φιλάνθρωπος θεὸς «ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην[4]» καὶ τὸ «εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ πολλῶν σε καταστήσω, εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου[5]», ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ πρέπει δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

1. Ματθ. 7, 23. 2. Ματθ. 7, 21. 3. Ματθ. 25, 46. 4. Λουκ. 7, 50. 5. Ματθ. 25, 23.

ΙΠΠΟΛΥΤΟΥ ΠΕΡΙ ΤΩΝ ΙΒ' ΑΠΟΣΤΟΛΩΝ

*Ποῦ ἕκαστος αὐτῶν ἐκήρυξεν, καὶ ποῦ ἐτελειώθη.**

Πέτρος μὲν ἐν Πόντῳ, καὶ Γαλατίᾳ, καὶ Καππαδοκίᾳ, καὶ Βηθανίᾳ, καὶ Ἰταλίᾳ, καὶ Ἀσίᾳ, κηρύξας τὸ Εὐαγγέλιον, ὕστερον ὑπὸ Νέρωνος ἐν Ῥώμῃ σταυροῦται κατὰ κεφαλῆς οὕτως αὐτοῦ ἀξιώσαντος παθεῖν.

Ἀνδρέας, Σκύθαις, Θρᾴκαις κηρύξας, ἐσταυρώθη ἐν Πάτραις τῆς Ἀχαΐας ἐπὶ ἐλαίας ὄρθιος, καὶ θάπτεται ἐκεῖ.

Ἰωάννης δὲ ἐν Ἀσίᾳ ὑπὸ Δομετιανοῦ τοῦ βασιλέως ἐξορισθεὶς ἐν Πάτμῳ τῇ νήσῳ, ἐν ᾗ καὶ τὸ Εὐαγγέλιον συνεγράψατο, καὶ τὴν ἀποκάλυψιν ἐθεάσατο, ἐπὶ Τραϊανοῦ ἐκοιμήθη ἐν Ἐφέσῳ· οὗ τὸ λείψανον ζητηθὲν οὐχ εὑρέθη.

Ἰάκωβος ἀδελφὸς αὐτοῦ ἐν τῇ Ἰουδαίᾳ κηρύσσων, ὑπὸ Ἡρώδου τοῦ τετράρχου ἀναιρεῖται μαχαίρᾳ, καὶ θάπτεται ἐκεῖ.

Φίλιππος ἐν Φρυγίᾳ κηρύξας, ἐν Ἱεραπόλει ἐσταυρώθη κατὰ κεφαλῆς ἐπὶ Δομετιανοῦ, καὶ θάπτεται ἐκεῖ.

Βαρθολομαῖος δὲ Ἰνδοῖς, οἷς καὶ τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἐκδεδωκώς, ἐσταυρώθη κατὰ κεφαλῆς, καὶ θάπτεται ἐν Ἀλλανῷ τῆς μεγάλης Ἀρμενίας.

Ματθαῖος δέ, τὸ Εὐαγγέλιον Ἑβραϊστὶ γράψας, δέδωκεν ἐν Ἱερουσαλήμ, καὶ ἐκοιμήθη ἐν Ἱερέει τῆς Παρθείας.

Θωμᾶς δὲ Πάρθοις, Μήδοις, Πέρσαις, Ὑρκανοῖς, Βακτροῖς, Μάργοις κηρύξας, ἐλακήδη [ἐλάτῃ ἢ ἐλάνῃ;] ἐλογχιάσθη τοῖς τέταρσι μέρεσιν αὐτοῦ ἐν πόλει Καλαμήνῃ, τῆς Ἰνδικῆς, καὶ θάπτεται ἐκεῖ.

Ἰάκωβος δὲ Ἀλφαίου, κηρύσσων ἐν Ἱερουσαλήμ, ὑπὸ Ἰουδαίων καταλευσθείς, ἀναιρεῖται, καὶ θάπτεται ἐκεῖ παρὰ τῷ ναῷ.

Ἰούδας, ὁ καὶ Λεββαῖος, Αἰδεσινοῖς καὶ πάσῃ Μεσοποταμίᾳ κηρύξας, ἐκοιμήθη ἐν Βηρύτῳ, καὶ θάπτεται ἐκεῖ.

Σίμων ὁ Κανανίτης ὁ τοῦ Κλωπᾶ, ὁ καὶ Ἰούδας, μετὰ Ἰάκωβον τὸν Δίκαιον ἐπίσκοπος γενόμενος Ἱεροσολύμων, ἐκοιμήθη, καὶ θάπτεται ἐκεῖ, ζήσας ἔτη ρκ'.

Ματθίας δὲ εἷς ὢν τῶν ο', συγκαταριθμεῖται τοῖς ια' ἀποστόλοις, καὶ κηρύσσων ἐν Ἱερουσαλήμ, ἐκοιμήθη καὶ θάπτεται ἐκεῖ.

Παῦλος δὲ μετ' ἐνιαυτὸν ἕνα τῆς τοῦ Χριστοῦ ἀναλήψεως εἰσῆλθεν εἰς τὴν ἀποστολήν, καὶ ἀρξάμενος ἀπὸ Ἱερουσαλήμ, προῆλθεν ἕως τοῦ Ἰλλυρικοῦ καὶ Ἰταλίας καὶ Σπανίας κηρύσσων τὸ Εὐαγγέλιον ἔτη λε'. Ἐπὶ δὲ Νέρωνος, ἐν Ῥώμῃ τὴν κεφαλὴν ἀποτμηθείς, θάπτεται ἐκεῖ.

---

* Migne, τ. 10, σελ. 952-953.

ΤΟΥ ΑΥΤΟΥ ΙΠΠΟΛΥΤΟΥ
ΠΕΡΙ ΤΩΝ Ο' ΑΠΟΣΤΟΛΩΝ *

Ἰάκωβος ὁ ἀδελφόθεος, ἐπίσκοπος Ἱεροσολύμων.

Κλεώπας ἐπίσκοπος Ἱεροσολύμων.

Ματθίας ὁ ἀναπληρώσας τὸν τόπον τῶν ια' ἀποστόλων.

Θαδδαῖος ὁ τὴν ἐπιστολὴν Αὐγάρῳ κομίσας.

Ἀνανίας ὁ βαπτίσας Παῦλον, ἐπίσκοπος Δαμασκοῦ.

Στέφανος ὁ πρωτομάρτυρ.

Φίλιππος ὁ τὸν εὐνοῦχον βαπτίσας.

Πρόχορος ἐπίσκοπος Νικομηδείας, ὁ καὶ πρῶτος ἐξελθών, πιστεύσας μετὰ τῶν θυγατέρων αὐτοῦ.

Νικάνωρ ἀπέθανεν, ὅτε Στέφανος ἐμαρτύρησεν.

Τίμων ἐπίσκοπος Βόστρης.

Παρμενᾶς ἐπίσκοπος Σόλων.

Νικόλαος ἐπίσκοπος Σαμαρείας.

Βαρνάβας ἐπίσκοπος Μεδιολάνου.

Μάρκος ὁ εὐαγγελιστής, ἐπίσκοπος Ἀλεξανδρείας.

Λουκᾶς ὁ εὐαγγελιστής.

Οὗτοι οἱ β' τῶν ο' τυγχανόντων διασκορπισθέντων ἐπὶ τῷ ῥήματι ὃ εἶπεν ὁ Χριστός· «Ἐὰν μή τις φάγῃ μου τὴν σάρκα, καὶ πίνῃ μου τὸ αἷμα, οὐκ ἔστιν μου ἄξιος.[1]» Ἀλλ' ὁ μὲν διὰ Πέτρου, ὁ δὲ διὰ Παύλου πάλιν συνανακάμψαντες πρὸς Κύριον, εὐαγγελίζεσθαι καταξιοῦνται, ὑπὲρ οὗ καὶ ἐμαρτύρησαν, ὁ μὲν πυρποληθείς, ὁ δὲ σταυρωθεὶς ἐπὶ ἐλαίας.

Σίλας ἐπίσκοπος Κορίνθου.

Σιλουανὸς ἐπίσκοπος Θεσσαλονίκης.

Κρίσκης ἐπίσκοπος Καρχηδόνης ἐν Γαλλίαις.

Ἐπαίνετος ἐπίσκοπος Καρθαγένης.

Ἀνδρόνικος ἐπίσκοπος Παννονίας.

Ἀμπλίας ἐπίσκοπος Ὀδυσσοῦ.

Οὐρβανὸς ἐπίσκοπος Μακεδονίας.

Στάχυς ἐπίσκοπος τοῦ Βυζαντίου.

Βαρνάβας ἐπίσκοπος Ἡρακλείας.

Φύγελλος ἐπίσκοπος Ἐφέσου, καὶ τὰ Σίμωνος ἐφρόνησεν.

Ἑρμογένης· οὗτος ὁμόφρων αὐτοῦ γέγονεν.

Δημᾶς, καὶ οὗτος ἱερεὺς εἰδώλων γέγονεν.

---

* Migne, τ. 10, σελ. 953-957.

1. Ἰω. 6, 53.

Ἀπελλῆς ἐπίσκοπος Σμύρνης.
Ἀριστόβουλος ἐπίσκοπος Βρετανίας.
Νάρκισσος ἐπίσκοπος Ἀθηνῶν.
Ἡρωδίων ἐπίσκοπος Ταρσοῦ.
Ἄγαβος προφήτης.
Ῥοῦφος ἐπίσκοπος Θηβῶν.
Ἀσύγκριτος ἐπίσκοπος Ὑρκανίας.
Φλέγων ἐπίσκοπος Μαραθῶνος.
Ἑρμῆς ἐπίσκοπος Δαλματίας.
Πατρόβουλος ἐπίσκοπος Ποτεόλων.
Ἑρμᾶς ἐπίσκοπος Φιλίππων.
Λῖνος ἐπίσκοπος Ῥώμης.
Γάϊος ἐπίσκοπος Ἐφέσου.
Φιλόλογος ἐπίσκοπος Σινώπης.
Ὀλυμπᾶς καὶ Ῥοδίων, ἐν Ῥώμῃ ἐμαρτύρησαν.
Λούκιος ἐπίσκοπος Λαοδικείας Συρίας.
Ἰάσων ἐπίσκοπος Ταρσοῦ.
Σωσίπατρος ἐπίσκοπος Ἰκονίου.
Τέρτιος ἐπίσκοπος Ἰκονίου.
Ἔραστος ἐπίσκοπος Πανελλάδος.
Κουάρτος ἐπίσκοπος Βηρύτου.
Ἀπολλῶς ἐπίσκοπος Καισαρείας.
Κηφᾶς.
Σωσθένης ἐπίσκοπος Κολοφωνίας.
Τυχικὸς ἐπίσκοπος Κολοφωνίας.
Ἐπαφρόδιτος ἐπίσκοπος Ἀνδριακῆς.
Καῖσαρ ἐπίσκοπος Δυρραχίου.
Μάρκος ἀνεψιὸς Βαρνάβα, ἐπίσκοπος Ἀπολλωνίας.
Ἰοῦστος ἐπίσκοπος Ἐλευθερουπόλεως.
Ἀρτεμᾶς ἐπίσκοπος Λύστρας.
Κλήμης ἐπίσκοπος Σαρδινίας.
Ὀνησίφορος ἐπίσκοπος Κορώνης.
Τυχικὸς ἐπίσκοπος Χαλκηδόνος.
Κάρπος ἐπίσκοπος Βηρύτου τῆς Θράκης.
Εὔοδος ἐπίσκοπος Ἀντιοχείας.
Ἀρίσταρχος ἐπίσκοπος Ἀπαμείας.
Μάρκος, ὁ καὶ Ἰωάννης ὁμοίως, ἐπίσκοπος Βιβλουπόλεως.
Ζηνᾶς ἐπίσκοπος Διοσπόλεως.
Φιλήμων ἐπίσκοπος Γάζης.
Ἀρίσταρχος, Πούδης.
Ὁ Τρόφιμος, ὅστις σὺν τῷ Παύλῳ ἐμαρτύρησεν.

ΔΙΗΓΗΣΙΣ ΙΠΠΟΛΥΤΟΥ ΤΟΥ ΓΝΩΡΙΜΟΥ ΤΩΝ ΑΠΟΣΤΟΛΩΝ *

Ἐν ἄλλῳ βιβλίῳ παλαιοτάτῳ ἐπιγεγραμμένῳ Ἱππολύτου τοῦ γνωρίμου τῶν ἀποστόλων εὗρον διήγημα τοιοῦτον· ὅτι Εὐγενεστάτη τις καὶ ὡραιοτάτη παρθένος ὑπῆρχεν ἐν Κορίνθῳ πόλει ἀσκουμένη εἰς τὴν παρθενίαν. ταύτην κατ' ἐκεῖνο καιροῦ διέβαλλον τῷ τότε δικάζοντι Ἕλληνι ὄντι κατὰ τὸν καιρὸν τῶν διωκτῶν, ὡς βλασφημοῦσαν καὶ τοὺς καιροὺς καὶ τοὺς βασιλεῖς καὶ δυσφημοῦσαν τὰ εἴδωλα. προσεπῄνουν δὲ τὸ ταύτης κάλλος οἱ περὶ τὰ τοιαῦτα κάπηλοι. γυναικομανὴς οὖν ὑπάρχων ὁ δικαστὴς ἡδέως ἐδέξατο τὴν διαβολὴν τοῖς ἱππικοῖς ὠτίοις. καὶ ὡς πᾶσαν κατ' αὐτὴν μηχανὴν κινήσας πεῖσαι τὴν ἄνθρωπον οὐκ ἠδυνήθη, τότε ἀπομανεὶς πρὸς αὐτὴν τιμωρίᾳ μὲν οὐ παρέδωκε βασάνων, ἀλλὰ στήσας αὐτὴν εἰς πορνεῖον ἐνετείλατο τῷ νέμοντι ταύτην λέγων ὅτι Δέξαι ταύτην ἡμερέσιά μοι τρία νομίσματα φέρων ἐκ ταύτης. ὁ δὲ εἰσπραττόμενος τὸν χρυσὸν ἔκδοτον αὐτὴν παρεῖχε τοῖς βουλομένοις. ὡς οὖν ἔγνωσαν οἱ περὶ ταῦτα γυναικοϊέρακες παρήδρευσαν τῷ ἐργαστηρίῳ τῆς ἀπωλείας καὶ διδόντες τὸ κέρμα ὡμίλουν αὐτῇ τὰ πρὸς ἀπάτην. ἡ δὲ ἐκλιπαροῦσα αὐτοὺς παρεκάλει λέγουσα ὅτι· Ἕλκος ἔχω τι εἰς κεκρυμμένον τόπον, ὅπερ ἐσχάτως ὄζει, καὶ δέδοικα, μὴ εἰς μῖσός μου ἔλθητε. ἔκδοτε οὖν μοι ὀλίγας ἡμέρας καὶ ἐξουσίαν μου ἔχετε καὶ δωρεάν με ἔχειν.

Δεήσεσιν οὖν τὸν θεὸν ἱκέτευεν ἐν ἐκείναις ταῖς ἡμέραις. ὅθεν καὶ θεασάμενος ὁ θεὸς αὐτῆς τὴν σωφροσύνην νεανίσκῳ τινὶ Μαγιστριανῷ καλῷ τὴν γνώμην καὶ τῷ εἴδει ἐνέθηκε ζῆλον πυριφαγῆ θανάτου. καὶ ἀπελθὼν τῷ σχήματι τῆς ἀκολασίας εἰσέρχεται βαθεῖαν ἑσπέραν πρὸς τὸν τρέφοντα ταύτας καὶ δίδωσιν αὐτῷ πέντε νομίσματα καὶ λέγει αὐτῷ· Συγχώρησόν μοι μεῖναι τὴν νύκτα ταύτην μετ' αὐτῆς. εἰσελθὼν οὖν εἰς τὸν ἀπόκρυφον οἶκον λέγει αὐτῇ· Ἀνάστα, σῶσον σεαυτήν. καὶ ἐκδύσας καὶ μεταμφιάσας αὐτὴν τοῖς ἰδίοις ἱματίοις τοῖς τε καμισίοις καὶ τῇ χλαμύδι καὶ τοῖς ἀνδρείοις πᾶσι λέγει αὐτῇ· Τῷ ἄκρῳ τῆς χλαμύδος περικαλυψαμένη ἔξελθε. καὶ οὕτω σφραγισαμένη καὶ ἐξελθοῦσα ἄφθορος καὶ ἀμίαντος διασέσωσται. τῇ οὖν ἄλλῃ ἡμέρᾳ γνωσθέντος τοῦ δράματος παρεδόθη ὁ Μαγιστριανὸς τῷ δικαστῇ καὶ ἐβλήθη θηρίοις, ἵνα καὶ ἐν τούτῳ ὁ δαίμων καταισχυνθῇ, ὅτι διπλοῦς ἐγένετο μάρτυς καὶ ὑπὲρ ἑαυτοῦ καὶ ὑπὲρ τῆς μακαρίας καὶ φιλοπαρθένου ἐκείνης.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ H. Achelis ἔνθ' ἀνωτ

ΜΑΡΤΥΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ ΚΥΡΙΑΚΟΥ, ΙΠΠΟΛΥΤΟΥ, ΜΑΞΙΜΟΥ, ΧΡΥΣΗΣ ΚΑΙ ΤΩΝ ΛΟΙΠΩΝ *

Α΄. Ἐν ταῖς ἡμέραις Κλαυδίου (τοῦ παρανόμου) βασιλέως, παρόντος βικαρίου Οὐλπίου Ῥωμύλου, μέγιστος ἀνήφθη διωγμὸς τοῖς (τηνικαῦτα οὖσιν) Χριστιανοῖς. Ἦν οὖν τις ἀνὴρ Κενσουρῖνος προηγούμενος τῆς τοῦ μαγιστορίου ἐξουσίας καὶ ἐν τῷ λεληθότι Χριστιανός, καὶ φοβούμενος τὸν Θεόν. Οὗτος ἀπὸ τῆς καταπρόσωπον βασιλέως Κλαυδίου θέας οὐχ ὑπεχώρει, ἀλλ' εἴπερ τινὰς ἐκ τῶν Χριστιανῶν ἑώρακε πρὸς ἀναίρεσιν ἑλκομένους, ἢ καὶ πρὸς δημοσίαν εἱρκτὴν ἀπαγομένους, λεληθότως τούτους ἐνίσχυε, καὶ ὅσον αὐτῷ εὐπορεῖτο τροφὰς τοῖς ἐν φυλακαῖς τυγχάνουσι, καὶ τοῖς ἐν δεσμοῖς, καίτοι ῥήσεσιν κατηχουμένοις διηκόνει. Τοῦτο ἀκούσας ὁ (δυσσεβέστατος) καῖσαρ Κλαύδιος καὶ ὀργισθείς, κελεύει αὐτὸν κρατηθέντα ἐνώπιον αὐτοῦ παραστῆναι. Καὶ τούτου παραστάντος οὕτως πως διεσάφησε λέγων· Σὺ εἶ ὁ ἀνὴρ ἐκεῖνος ὁ τῶν θεῶν θρησκευτής, καὶ τῆς ἡμετέρας ἐξουσίας ἀεὶ διαλαλήσας; Ἰδοὺ ἡ ἡμετέρα ἡμερότης οὐδένα δουλεύοντα αὐτῇ ἀπεσείσατο πώποτε, ἀλλὰ εἰς τὴν τούτων θεραπείαν διαπαντὸς ἡμεῖς τὴν πολιτείαν πηδαλιουχοῦντες κατορθοῦμεν. Τότε ὁ Κενσουρῖνος ἀπεκρίθη λέγων· Ἐγὼ μαρτυρίαν λέξω περὶ τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ, διότι αὐτός ἐστι Θεὸς ἀληθινός, ὁ σταυρωθείς, καὶ ταφείς, καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ θεωμένων τῶν σταυρωσάντων αὐτόν. Ὃς καὶ μετὰ τὸ ἀναστῆναι ἐμφανισθεὶς τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς, βλεπόντων αὐτῶν ἀνῆλθεν εἰς τοὺς οὐρανούς. Οὗτος ἐν τοῖς ἡμετέροις καιροῖς κατηξίωσεν παραγίνεσθαι ἀπὸ τοῦ Πατρὸς αὐτοῦ, καὶ προελθεῖν ἐκ γαστρὸς Παρθένου. Οὗτος μέντοι κατῆλθεν διὰ φιλανθρωπίαν ἐπὶ τῆς γῆς, τοὺς οὐρανοὺς μὴ καταλιπών. Τότε ὀργισθεὶς (ὁ δυσσεβέστατος) Κλαύδιος ἔφη· Μαίνεαι, Κενσουρῖνε, καὶ παραχρῆμα ἐκέλευσεν αὐτὸν διὰ τῆς στρατιᾶς ἀπενεχθῆναι κατὰ τὴν Ὀστησίαν πόλιν, καὶ πρὸς τὸ δεσμωτήριον παραφυλάττεσθαι ἐκεῖ. Τότε ἐν αὐτῷ τῷ τόπῳ, οὐ μακρὰν ἀπὸ τοῦ ἄστεως Ῥώμης, ἀλλ' ὡς ἀπὸ μιλίων πεντεκαίδεκα ἐν φρουρᾷ καὶ δεσμοῖς κατεχόμενος, τῷ Θεῷ τοὺς αἴνους ἡμέρας καὶ νυκτὸς ἀνέπεμπεν.

Β΄. Ἐν αὐτῷ τοιγαροῦν τῷ τόπῳ πλησίον τῆς αὐτῆς Ὀστησίας πόλεως ἦν τις συγκλητικὴ οἰκοδέσποινα, ἐκ γένους τῆς βασιλικῆς ἐξουσίας ὑπάρχουσα, ὀνόματι Χρυσῆ, ἥτις πολλοὺς διωγμοὺς ὑπο-

* Migne, τ. 10, σελ. 552 κ. ἑξ.

μείνασα, καὶ καταδικασθεῖσα, μετὰ ἀνδρῶν εὐλαβῶν, καὶ παρθένων ἐν τῷ ἰδίῳ αὐτῆς χωρίῳ ἐτύγχανε σχολάζουσα. Αὕτη ἐφ' ἑκάστης ἡμέρας τῷ ἁγίῳ Κενσουρίνῳ οἴκοθεν αὐτῆς τὰς τροφὰς ἐχορήγει· οὗτινος τὰ δεσμὰ ταῖς οἰκείαις χερσὶν ὕδατι ἀποπλυνοῦσα, τοὺς ὀφθαλμοὺς καὶ τὸ πρόσωπον ἀπείληφεν. Ἐν αὐτῷ τῷ τόπῳ ὑπῆρχον ὅ τε ἁγιώτατος Μάξιμος ὁ πρεσβύτερος, καὶ Ἀρχέλαος διάκονος, οἵτινες ἐφ' ἑκάστης ἡμέρας ἱερουργίας τῷ Θεῷ μετὰ ὕμνων καὶ αἴνων προσεκόμιζον ἐκεῖ. Ὥστε (ὁ μακαριώτατος) Μάξιμος πρεσβύτερος τοσαῦτα θαυμάσια ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐξετέλει, ὥστε εἰσιέναι αὐτὸν πρὸς τὸν ἅγιον Κενσουρῖνον, καὶ παραχρῆμα τὰ δεσμὰ τῶν χειρῶν καὶ τῶν ποδῶν αὐτοῦ διαλυθῆναι. Τότε ἀνοίξας τὸ στόμα αὐτοῦ (ὁ μακαριώτατος) Μάξιμος ὁ πρεσβύτερος εἶπεν πρὸς αὐτὸν καὶ τοὺς φύλακας· Ἀδελφοὶ ἐγκαταλείψατε τοὺς δαίμονας καὶ τὰς προσκαίρους ἡδυπαθείας, καὶ ἐπίγνωτε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν διηνεκῆ βασιλέα, ὃς ἦν πρὸ τῶν αἰώνων, τὸν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς, καὶ τὸν αἰῶνα τοῦτον διὰ πυρός. Διότι ὁ ἡμέτερος αἰὼν παρέρχεται, καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀεὶ ἐστίν, καὶ ὁ αὐτὸς ἔσται. Οἱ δὲ φύλακες εἶπον πρὸς τὸν μακάριον Μάξιμον τὸν πρεσβύτερον· Καὶ τί ποιήσωμεν περὶ τούτου οὗπερ σὺ κηρύττεις, ὃν καὶ ἐπέγνωμεν διὰ τῶν λαληθέντων παρὰ σοῦ, καὶ δι' αὐτῶν γινομένων ἐν τῷ ὀνόματι αὐτοῦ σημείων, ὅτι ἐν τῇ δυνάμει αὐτοῦ, καὶ ταῖς σαῖς εὐχαῖς δεσμὰ διαλύονται; Ἀπεκρίθη πρὸς αὐτοὺς ὁ μακάριος Μάξιμος ὁ πρεσβύτερος καὶ εἶπεν· Ἵνα βαπτισθῇ ὁ καθεὶς ὑμῶν καὶ πιστεύσῃ εἰς Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ τὰ μάταια εἴδωλα ἐγκαταλείψῃ, καὶ μετανοήσῃ· ὅτι ἀγνοοῦντες ἐβλασφημήσατε τὸ ὄνομα αὐτοῦ, διὸ τοὺς ἁγίους ἐβασανίσατε. Τότε ὁμοθυμαδὸν ἅπαντες αὐτῶν, ὅ τε Φῆλιξ, Μάξιμος, Ταυρῖνος, Ἑρκουλιανός, Νεβέριος, Στοράκινος, Μηνᾶς, Κομόδιος, Ἑρμῆς, Μαῦρος, Εὐσέβιος, Ῥωστίκιος, Μονάκριος, Ἀμανδῖνος, Ὀλύμπιος, Κύπριος, καὶ Θεόδωρος ὁ τριβοῦνος ἔβαλον ἑαυτοὺς ἅμα πρὸς τοὺς πόδας τοῦ μακαριωτάτου Μαξίμου τοῦ πρεσβυτέρου, δεόμενοι τοῦ ἀξιωθῆναι αὐτοὺς τοῦ ἁγίου βαπτίσματος. Ὅστις παρ' αὐτὰ κατὰ τὴν εἰωθυῖαν ἀκολουθίαν πάντας ἐκτελέσας, καὶ τὰς μακαρίας Χρυσῆς ἐσθῆτας διακοσμησάσης, καὶ σιτία πρὸς διατροφὴν παρεχούσης, ἐβάπτισεν ἅπαντας εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, εἰδόντες τε λοιπὸν ἐκομίσαντο τὴν χάριν τοῦ παντοκράτορος Θεοῦ. Νυκτὸς δὲ παραγινομένης ὁ μακαριώτατος Κυριακὸς ὁ ἐπίσκοπος τὸ τοῦ Χριστοῦ μύρον χρίσας, ἐσφράγισεν αὐτούς, καὶ κατηχήσας τοῖς τῆς πίστεως λόγοις ἐσφράγισεν ἀπολούσας αὐτούς.

Γ΄. Σκυτεὺς δέ τις ἦν ἐν αὐτῷ τῷ τόπῳ, οὗτινος ὁ υἱὸς ἐν ταύτῃ ὥρᾳ ἦν τεθνηκώς. Παριόντων δὲ τῶν μακαρίων Κυριακοῦ τε καὶ Μαξίμου μετὰ τῆς μακαρίας Χρυσῆς, ἀλλὰ μὲν καὶ τῶν ἁγίων τοῦ

Χριστοῦ στρατιωτῶν, ἔθρηνε ὁ σκυτεὺς ἐπὶ τῷ θανάτῳ τοῦ υἱοῦ αὐτοῦ. Τότε ὁ μακαριώτατος Μάξιμος ὁ πρεσβύτερος ἔφη πρὸς τὸν σκυτέα· Πίστευσον εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν κατενώπιον πάντων ἡμῶν, καὶ σὺ ζήσεις καὶ τὸν υἱόν σου ἀπολήψῃ. Ὁ δὲ μετὰ δακρύων εἶπεν· Εἰς τίνα πιστεύσω; εἰς ὅνπερ ἀπὸ τῆς νεότητός μου μέχρι τοῦ νῦν ἐβλασφήμησα; Μάξιμος (ὁ πρεσβύτερος) εἶπεν· Μεταμελήθητι ἐφ' οἷς ἔπραξας, διότι ὁ Θεὸς ἡμῶν τῶν μετανοούντων ἐστίν, μὴ ἀποδιδοὺς κατὰ τὰς ἁμαρτίας ἡμῶν, ἀλλὰ ποιῶν κατὰ τὸ μέγα αὐτοῦ ἔλεος. Ὁ δὲ σκυτεὺς εἶπεν· Οὐκοῦν βαπτίσατέ με ἐν τῷ ὀνόματι αὐτοῦ, ἵνα πιστεύσω. Τότε ἐβαπτίσθη εἰς τὸ ὄνομα τῆς ἁγίας Τριάδος. Καὶ γενόμενος Χριστιανός, μετὰ τὸ δέξασθαι αὐτὸν τὴν σφραγῖδα τοῦ Χριστοῦ, χαίρων καὶ ἀγαλλιώμενος ἀπήγαγεν αὐτὸν εἰς τὸν υἱὸν αὐτοῦ. Ὅνπερ ὡς ἐθεάσατο ὁ μακαριώτατος Μάξιμος ὁ πρεσβύτερος μετὰ δακρύων ἔφη· Κύριε Ἰησοῦ Χριστέ, ὁ καταξιώσας μορφὴν δούλου ἀναλαβεῖν, ἵνα ἡμᾶς ἀπὸ τῆς τοῦ διαβόλου δουλείας λυτρώσῃς, ἐπίβλεψον ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου, ὅπως ἐπιγνώσηταί σε τὸν ποιητήν, καὶ δημιουργὸν αὐτοῦ. Τότε ὁ μακαριώτατος Κυριακὸς ὁ ἐπίσκοπος εἶπεν· Κύριε, ἐν τῷ σῷ ὀνόματι κάμπτομεν τὰ γόνατα ἡμῶν. Ὡς δὲ ηὔξαντο ἐπιπολύ, ἔφη πάλιν ὁ μακαριώτατος Κυριακός· Κύριε Ἰησοῦ Χριστέ, ὁ διὰ ἔλεος ἄμετρον καὶ τὴν ἀνθρώπων σωτηρίαν σταυρωθεὶς ἐπὶ Ποντίου Πιλάτου, ὁ τὸν Λάζαρον ἐγείρας, καὶ τὸν μονογενῆ υἱὸν τῆς χήρας ζωοποιήσας, δεῖξον καὶ τανῦν τὰ θαυμάσιά σου ἐπὶ τοῦτον τὸν δοῦλόν σου, ἵνα ἐπιγνώσηταί σε Θεὸν ζῶντα καὶ ἀληθινὸν ἐν τῇ παλιγγενεσίᾳ αὐτοῦ, ὅτι δημιουργὸς εἶ τῶν ἁπάντων, καὶ βασιλεύεις εἰς τοὺς αἰῶνας τῶν αἰώνων· καὶ ἐν τῷ πάντας ἀποκριθῆναι τὸ Ἀμήν, ἀνέζησεν ὁ τεθνηκώς, καὶ ἤρξατο λαλεῖν τοιάδε· Ἐγὼ ἑώρακα τὸν Κύριον Ἰησοῦν Χριστὸν ἐπαναστρέφοντά με ἀπὸ τοῦ σκότους εἰς τὸ φῶς. Τότε κατήχησεν αὐτόν, καὶ ἐβάπτισεν εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Κομισάμενος τὴν σφραγῖδα τοῦ Πνεύματος, ὅνπερ καὶ ἐδέξατο ἡ μακαρία Χρυσῆ, καλέσασα τὸ ὄνομα αὐτοῦ Φαυστῖνον, ὄντα ὡς ἐτῶν δώδεκα. Ἐν αὐτῷ οὖν τῷ καιρῷ ἀνεκρίθη τῷ (παρανόμῳ) βασιλεῖ Κλαυδίῳ ὡς ὁ παῖς ὁ τετελευτηκὼς ἀνέστη ἐκ τῶν νεκρῶν διὰ προσευχῆς τῶν μακαρίων ἀνδρῶν, καὶ φησὶν ὁ Κλαύδιος· Τοῦτο οὐκ ἔστιν ἄλλο εἰ μὴ τέχνη μαγική. Καὶ κελεύει κληθῆναι τὸν βικάριον τοῦ ἄστεως Ῥώμης, ὀνόματι Οὔλπιον Ῥώμυλον, ᾧτινι προσέταξε λέγων· Τὴν ἱερόσυλον Χρυσῆν, ἥτις ἀπημαύρωσε τὸ γένος τῆς βασιλικῆς αὐτῆς ἐξουσίας, καὶ μετὰ μάγων τεχνητῶν ἐπιποθεῖ διαπαντὸς εἶναί τε καὶ κατοικεῖν, διαφόροις αὐτὴν τιμωρίαις σὺ σφίγξον ἕως οὗ πεισθεῖσα προσκυνήσειε τοὺς θεοὺς καὶ τὰς θεάς. Καὶ εἰ μὲν πειθομένη, ζήσει· τότε καὶ ἡ γραφὴ ἡ ἐπ' αὐτῇ κυρωθεῖσα ἀπαλειφθήτω. Εἰ δὲ καί τινες εὑρεθήσονται σὺν αὐτῇ ποινκλατίαις, [ποικίλαις αἰκίαις;] αἰκισθήσονται.

ΠΡΑΞΕΙΣ

Α'. Ἐλθὼν (δὲ ὁ δυσσεβέστατος) Οὔλπιος Ῥώμυλος ὁ βικάριος ἐν τῇ πόλει Ὀστησίᾳ, ἐκέλευσε πάντας τοὺς ἁγίους ἐν τῷ δεσμωτηρίῳ ἀσφαλισθῆναι. Τῇ δὲ ἕωθεν ἀναστάς, προσέταξε τὴν μακαρίαν Χρυσῆν παραστῆναι, ᾗτινι οὕτως πως εἶπεν· Ὦ μανία τῆς γοητικῆς τέχνης τῆς ἐν σοὶ ἐπανθούσης, ἵνα ἀπολέσῃς τὴν βασιλικὴν δόξαν, καὶ τὰ γενέσιά σου τὰ λαμπρὰ ἀμαυρώσῃς. Ἡ δὲ μακαρία Χρυσῆ ἀποκριθεῖσα εἶπεν αὐτῷ· Μᾶλλον ἐγὼ ἀπεσκότωσα τοὺς δαίμονας, τοὺς ἀπατῶντας ὑμᾶς, καὶ καταλείψασα τὰ μάταια εἴδωλα τὰ χειροποίητα, ἐπέγνων ἕνα Θεὸν ζῶντα καὶ ἀληθινόν, καὶ τὸν μονογενῆ Υἱὸν αὐτοῦ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὃς ἥξει κρῖναι ζῶντας καὶ νεκρούς, καὶ τὸν πατέρα σου τὸν διάβολον ἅμα τῷ (παρανόμῳ) βασιλεῖ Κλαυδίῳ ἐν σκοτίᾳ κατακρινεῖ. Οὔλπιος Ῥώμυλος βικάριος εἶπεν· Ἐξηπάτηται αὕτη ἐκ τῆς μαγικῆς τέχνης, καὶ λέγει αὐτῇ· Ἐγκατάλειπε λοιπὸν τὰς ματαιότητας ταύτας, καὶ προνόησαι τῆς γενεαλογίας σου. Ἡ δὲ μακαρία Χρυσῆ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ λέγουσα· Ἄθλιε, εἰ εἶδες τὸν δημιουργὸν Θεὸν οὐρανοῦ τε καὶ γῆς, οὐκ ἂν προέφερες ἐκ τοῦ στόματός σου βλασφημίαν. Τηνικαῦτα δὲ ὀργισθεὶς ὁ βικάριος ἐκέλευσεν αὐτὴν ἐν τῇ ἄντυγι ἀναρτηθῆναι. Ἐν δὲ τῷ διασπᾶσθαι αὐτὴν τοῖς νεύροις, προθύμως τε καὶ ὡραιοτάτῳ προσώπῳ ἤρξατο λέγειν· Εὐχαριστῶ σοι, Κύριε Ἰησοῦ Χριστέ, ὅς με ἐκ τοῦ ᾅδου πρὸς τὰ οὐράνια μετέωρα ἠξίωσας κουφισθῆναι. Πρὸς ἣν ὁ βικάριος ἔφη· Ἴδωμεν εἰ ὁ Χριστός σου ἐλθὼν ῥύσεταί σε. Ἀπεκρίθη ἡ μακαρία Χρυσῆ καὶ εἶπεν· Ἐγὼ μὲν ἀξία οὐκ εἰμί, ἀλλ' ἐκεῖνος ὁ καταξιώσας με ἐκ τῆς ἀχλύος τοῦ κόσμου τούτου ῥυσθῆναι, δυνατός ἐστιν καὶ σὲ καὶ τὸν (παράνομόν σου) Κλαύδιον καταλῦσαι. Ἐν δὲ τῷ ταῦτα λέγειν αὐτήν, ἄφνω συνεθλάσθη ἡ ἄντυξ· καὶ κατενεχθεῖσα ἐκεῖθεν ἔστη ὑγειής· ἐκέλευσεν οὖν (ὁ παράνομος) Ῥώμυλος ῥοπάλοις αὐτὴν τύπτεσθαι, ὑπὸ φωνῆς τοῦ κήρυκος λέγοντος· Ἡ ἱερόσυλος Χρυσῆ, βλασφημήσασα τὰς θεάς, καὶ τὸ βασιλεῖον τοῦ κυβερνήτου τῆς ἡμῶν ἐλευθερίας Κλαυδίου βδελυξαμένη, τυπτέσθω. Ἡ δὲ ἁγία παρθένος ἐβόα λέγουσα· Εὐλογητὸς εἶ, Κύριε Ἰησοῦ Χριστέ, ὅνπερ ἤδη ἐγὼ ὁρῶ. Ῥώμυλος βικάριος εἶπεν· Δότε λαμπάδας καιομένας εἰς τὰς πλευρὰς αὐτῆς. Ὡς δὲ προσέφερον αὐτῇ τὰς λαμπάδας, χαίρουσα λαμπρᾷ τῇ φωνῇ καὶ ὡραιοτάτῳ προσώπῳ ἔφη πρὸς τὸν (δυσσεβέστατον) Ῥώμυλον· Ὦ ἀτυχέστατε, οὐκ ἔστιν σοι αἰσχύνη ἐνατενίζειν μέλεσιν σώματος τῆς τε γεννησάσης σε, ἣν κατενώπιόν σου στήσας; Οὔλπιος Ῥώμυλος εἶπεν πρὸς αὐτήν· Ἡ σὴ δυστυχία ταῦτα ἐπιτεύξεται, ἡ ἐγκαταλιποῦσα τοὺς ἀθανάτους ἡμῶν θεούς, καὶ τὴν βασιλικὴν ἐξουσίαν, καὶ ἐπιποθήσασα ταῖς μαγικαῖς τέχναις καταχρανθῆναι. Τότε ὀφθεῖσα ἀπὸ τῆς γῆς ἡμίκαυστος, ἐκέλευσεν αὐτὴν ἐγκατάκλειστον γενέσθαι.

Β'. Καὶ προσέταξε τοὺς μακαρίους ἄνδρας εἰσάγειν, Μάξιμον τὸν πρεσβύτερον, καὶ Ἀρχέλαον τὸν διάκονον, καὶ λέγει πρὸς αὐτούς· Ἵνα τί δι' ὑμῶν βλασφημοῦνται αἱ προσηγορίαι τῶν μεγίστων θεῶν; καὶ ἀποπλανᾶτε τοὺς ἀνθρώπους, ἵνα μὴ πιστεύσωσιν αὐτούς; Ἀπεκρίθη ὁ μακάριος Μάξιμος πρεσβύτερος καὶ εἶπεν· Ἡμεῖς μὲν οὐκ ἀποπλανοῦμεν τοὺς ἀνθρώπους, ἀλλὰ μᾶλλον διὰ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λυτρούμεθα πάντας ἀπὸ τῆς πλάνης τῶν εἰδώλων. Τότε ὀργισθεὶς ὁ (παράνομος) Ῥώμυλος εἶπεν· Οὗτοι μὲν οὖν ἄξιοι θανάτου εἰσίν· καὶ ἐκέλευσε τὸν μακάριον διάκονον Ἀρχέλαον ἀπενεχθῆναι εἰς τὴν καμάραν ἔμπροσθεν τοῦ θεάτρου, κἀκεῖσε κεφαλικὴν τιμωρίαν ὑποστῆναι, καὶ ἐτραχηλοκοπήθη ἐν αὐτῷ τῷ τόπῳ. Τὸν δὲ μακάριον Μάξιμον ἐκέλευσεν βληθῆναι ἐν τῷ δεσμωτηρίῳ. Τότε ὁ μακάριος Εὐσέβιος ὁ πρεσβύτερος συνέλεξε νυκτὸς τὸ σῶμα τοῦ μακαρίου Ἀρχελάου, καὶ τοῦτο κατέθαψεν ἐν τῷ πεδίῳ. Ἔτι μὲν καὶ οἱ στρατιῶται, οἱ διὰ τοῦ μακαρίου Μαξίμου πιστεύσαντες τῷ Χριστῷ, τῷ ὁμοίῳ θανάτῳ ἐτελειώθησαν. Ἀκούσας δὲ ταῦτα ὁ (παράνομος) Ῥώμυλος προσέταξεν ὥστε τοὺς ἁγίους μάρτυρας, Μάξιμον τὸν πρεσβύτερον καὶ Κυριακὸν τὸν ἐπίσκοπον ἐν τῷ δεσμωτηρίῳ τὰς κεφαλὰς ἀποτμηθέντας, τὰ τούτων σώματα ἐν τῇ θαλάσσῃ ῥιφῆναι. Περὶ ὧν ὁ μακάριος Εὐσέβιος ὁ πρεσβύτερος ταῦτα εὑρηκὼς συνέλεξεν ἐπιμελῶς, καὶ πρὸ τῷ αἰγιαλῷ τῆς θαλάσσης ἐν τῷ πεδίῳ πλησίον τῆς Ὀστησίας κατέθαψεν πόλεως. Ἅτινα καὶ κατέθετο ἔγγιστα αὐτῆς ἐν τῇ κρυπτῇ, τῇ πρὸ ἓξ εἰδῶν Αὐγούστων, ἐν τῇ ὁδῷ τῆς Ὀστησίας. Ταυρῖνον δὲ καὶ Ἑρκουλιανὸν ἐν τῷ Πόρτῳ Ῥώμης κατέκρυψεν. Μετὰ τετάρτην τοιγαροῦν ἡμέραν εὗρεν τὰ σώματα τῶν λοιπῶν ἁγίων ἐν τῷ αἰγιαλῷ τῆς θαλάσσης κείμενα, καὶ τὸν μακάριον Θεόδωρον τὸν τριβοῦνον κατέθετο ἐν τῷ τρούλῳ. Ἅμα δὲ τοὺς λοιποὺς πάντας συνέλεξεν, καὶ ταῦτα πλησίον τῶν ἁγίων σωμάτων καὶ συμμαρτύρων Κυριακοῦ τε καὶ Μαξίμου κατέθετο.

Γ'. Μετὰ οὖν ἡμέρας πέντε ἐκέλευσεν ὁ (δυσσεβέστατος) Ῥώμυλος παραστῆναι αὐτῷ τὴν μακαρίαν Χρυσῆν. Ἡ ἁγία ὡς παρέστη τῷ ἡγεμόνι, χαίρουσα εἶπεν αὐτῷ· Ἄθλιε, ἱνατί ἀπόλλεις τὰς ἡμέρας σου; ἐπίγνωθι λοιπὸν τὸν δημιουργόν σου Χριστὸν τὸν Κύριον Θεὸν εἶναι, καὶ μὴ προσκυνήσῃς λίθους ἢ χαλκουργήματα, εἴτε χρυσᾶ εἴτε ἀργυρᾶ· ἀλλὰ προσκύνησον τὸν Κύριόν μου Ἰησοῦν Χριστὸν τὸν ἐσταυρωμένον ἐπὶ Ποντίου Πιλάτου, ὃς ἀνέστη ἐκ τῶν νεκρῶν τῇ τριημέρῳ ταφῇ αὐτοῦ, ἀνῆλθεν εἰς τοὺς οὐρανούς, ὅθεν πάλιν ἥξει κρῖναι ζῶντας καὶ νεκρούς, καὶ τὸν αἰῶνα τοῦτον διὰ πυρός. Ἥτινι ἀποκριθεὶς (ὁ ὠμότατος) Ῥώμυλος ἔφη· Ἀρτίως ὄψει τὸν Χριστόν σου, ἐὰν μὴ θύσῃς τοῖς ἀθανάτοις θεοῖς. Ἡ ἁγία Χρυσῆ εἶπεν αὐτῷ· Καλῶς εἴρηκας σύ, ἐλεεινέ, κἂν ὀψέποτε προήγαγες τὴν ἀλήθειαν ἐκ τοῦ στόματος, λέγων, ὡς ἐὰν μὴ θυσιάσω τοῖς δαιμονίοις, ὄψομαι τὸν Χριστόν μου. Τότε θυμωθεὶς ὁ (δυσσεβέστατος) Ῥώμυλος, διότι

λοιπὸν ἐν ταῖς λέξεσιν αὐτῆς ἡττημένος ἐγεγόνει, ἐκέλευσεν μετὰ λίθων τὰς σιαγόνας αὐτῆς συνθλασθῆναι. Ἡ δὲ ἁγία Χρυσῆ ἐβόα φωνῇ μεγάλῃ λέγουσα· Δόξα σοι, Κύριέ μου Ἰησοῦ Χριστέ, ὅτι ἀξίαν με ἐποίησας μετὰ τῶν δούλων καὶ θεραπαινῶν σου συναριθμηθῆναι. (Ὁ ἀσεβέστατος) Ῥώμυλος λέγει αὐτῇ· Λοιπὸν προνόησαι τὴν γενεαλογίαν σου, καὶ προσκυνήσασα τοῖς θεοῖς ἡμῶν, θῦσον αὐτοῖς, καὶ λάβε σου ἄνδρα κατὰ τὴν γενεάν σου. Πρὸς ὃν πεπαρρησιασμένη ἡ ἁγία παρθένος ἀναβοήσασα λαμπρᾷ τῇ φωνῇ εἶπεν· Ἐγὼ ἤδη ἄνδρα ἔχω τὸν δημιουργὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, ὅνπερ σὺ ἀγνοεῖς εἰδέναι, ἀλλὰ μᾶλλον τοὺς δαίμονας ἐπίστασαι, οἵτινες τὴν καρδίαν σου θυμὸν λυσσώδη ἐπλήρωσαν. Αὐτῇ δὲ τῇ ὥρᾳ ὀργισθεὶς ὁ (παράνομος) Ῥώμυλος ἐκέλευσεν τοῖς ὑπηρέταις αὐτοῦ ταῖς μολιβδίναις σφαίραις τύπτεσθαι αὐτήν. Ἥτις πολυτυπτηθεῖσα μᾶλλον ἐνεδυναμοῦτο. Ἐκέλευσε δὲ πάλιν λίθον μέγαν δεσμευθῆναι κατὰ τοῦ τραχήλου αὐτῆς, καὶ οὕτως κρεμασθῆναι ἐν τῇ θαλάσσῃ. Ἥστινος τὸ ἅγιον σῶμα περιῆλθεν ἕως τοῦ αἰγιαλοῦ, ὅπερ ὁ μακαριώτατος Νόνος ὁ καὶ μετονομασθεὶς Ἱππόλυτος συνήγαγεν, καὶ τοῦτο κατέθαψεν ἐν τῷ ἰδίῳ αὐτῆς χωρίῳ, ἔνθα καὶ κατῴκει, ἔξω τῶν τειχέων τῆς Ὀστησίας πόλεως, τῇ πρὸ ἐννέα Καλανδῶν Σεπτεμβρίων.

Δ'. Τότε οὖν ὁ (παράνομος) βικάριος ἐκράτησεν Σαβινιανόν τινα ἐπιμελητὴν τοῦ τόπου ἐκείνου· καὶ ἤρξατο παρ' αὐτοῦ ἐπιζητεῖν τὰς ὑπάρξεις τῆς μακαρίας Χρυσῆς λέγων· Ἡ ἱερόσυλος Χρυσῆ, ἥτις ἐξελέξατο διὰ τῆς μαγικῆς αὐτῆς τέχνης μᾶλλον τὸν θάνατον ἤπερ τὴν ζωήν, πολὺν ἐκέκτητο πλοῦτον. Τοὺς οὖν θησαυροὺς αὐτῆς καὶ τὰ κόσμια κατενώπιον ἡμῶν φέρων, θῦσον καὶ τοῖς θεοῖς, καὶ ζῆθι ὑποκύπτων καὶ τοῖς προστάγμασι τῶν αὐτοκρατόρων. Σαβινιανὸς εἶπεν· Ἐγὼ πάντοτε ταπεινοφροσύνην ἐδιδάχθην παρὰ τῆς ἁγίας παρθένου Χρυσῆς, ἥτις καὶ ἐδίδαξέν με καθομολογεῖν ἕνα Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν γεννηθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου. Ἐπεὶ χρυσὸς ἡμῖν καὶ ἄργυρος ἢ μαργαρῖται οὐχ ὑπάρχουσιν. Ὁ δὲ (δυσσεβέστατος) Ῥώμυλος ἔφη αὐτῷ· Σύνδραμε σεαυτῷ καὶ τοὺς ἀποκρύφους θησαυροὺς τοῖς αὐτοκράτορσιν ἀπόδος, καὶ θῦσον τοῖς θεοῖς. Σαβινιανὸς εἶπεν· Ἐγὼ μὲν οὐκ εἰμὶ ἄξιος ἵνα ὑπὲρ τῶν ἐμῶν ἁμαρτιῶν τί ποτε ἐπιτεύξομαι, ἀλλ' ὅσον ὁ Κύριός μου καὶ Θεὸς ἐπινεύσας χαρίσασθαι καταξιώσειεν· οὕτω πιστεύω. Ἐπὶ τοῦτο γίνωσκε χρυσὸν ἐπίκηρον μὴ ἔχειν με, μηδὲ βουλὴν τὸ γόνυ κάμψαι τοῖς εἰδώλοις. Ταῦτα καὶ τὰ τούτοις ὅμοια λέγοντος τοῦ μακαρίου Σαβινιανοῦ, ὁ (παράνομος) Ῥώμυλος ἐκέλευσεν τοῖς ὑπηρέταις αὐτοῦ ὅπως μετὰ τῶν μολιβδίνων σφαιρῶν τὸν αὐχένα αὐτοῦ συνθλάσωσι.

Ε'. Τοῦτο δὲ ἀκούσας ὁ μακαριώτατος Ἱππόλυτος ὁ πρεσβύτερος, ἐλθὼν ἔστη ἐνώπιον τοῦ Ῥωμύλου, καὶ λαμπρᾷ τῇ φωνῇ εἶπεν· Ὦ

ἄθλιε, εἰ ἴδῃς Χριστὸν τὸν τοῦ Θεοῦ Υἱόν, οὐκ ἂν οὕτως ἐβασάνισας τοὺς αὐχένας τῶν ὁσίων αὐτοῦ, ὅπως ταπεινωθῶσι τοῖς ματαίοις ὑμῶν εἰδώλοις· ἀλλὰ μᾶλλον σαυτὸν ἐταπείνωσας τῷ κτίστῃ καὶ δημιουργῷ τῶν ἁπάντων καὶ τοῖς αὐτοῦ δούλοις, καὶ οὐχὶ λίθοις ματαίοις, καὶ κώφοις, καὶ ἀψύχοις ὑπέκυψας. Ταῦτα ἀκούσας ὁ (ἀσεβέστατος) Ῥώμυλος ἐθυμώθη σφόδρα, καὶ προσέταξε τοὺς πόδας αὐτοῦ καὶ τὰς χεῖρας δεδεμένον εἰς βόθυνον κατακρημνισθῆναι. Τοῦ οὖν μακαρίου Ἱππολύτου βυθιζομένου ἐν τῷ τείχει εἰς τὸν βόθυνον πόρτον, τὸν ἀναγορευόμενον Πόρτον, ἄφνω φωνὴ ἠκούσθη ὡσεὶ διαστήματος ὥρας μιᾶς καθάπερ νηπίων λεγόντων εὐχαριστίας τῷ Θεῷ. Καὶ ἐν τῷ ταῦτα εἰπεῖν, ἀφῆκεν τὸ πνεῦμα τῷ Κυρίῳ, τῇ προδεκαμιᾶς καλανδῶν Σεπτεμβρίων. Τότε ἔφη ὁ (παράνομος) Ῥώμυλος· Αὕτη ἡ μανία μαγικῆς τέχνης εἶναι διαγινώσκεται.

ϛʹ. Καὶ ἤρξατο μετὰ θυμοῦ βοᾶν καὶ λέγειν· Οὗτος ὁ Σαβινιανὸς ἐθηρεύθη διὰ τῆς μαγικῆς αὐτοῦ τέχνης τῇ φιλαργυρίᾳ, καὶ τῶν χρημάτων ἡδυπαθείᾳ. Τοῦτον ἐν ῥιπῇ καταλύσω ἀπὸ τῆς μανιώδους ὁδοῦ αὐτοῦ εἰ μὴ ταπεινωθήσεται, καὶ θύσῃ τοῖς μεγίστοις ἡμῶν θεοῖς. Τούτων οὖν καὶ τοιούτων λεγόμενος, ἐκέλευσεν αὐτὸν ξύλοις τυπτηθῆναι [τυφθῆναι] ὑπὸ φωνῆς τοῦ κήρυκος λέγοντος· Ἀπόδος τοὺς θησαυροὺς τοῖς αὐτοκράτορσιν ἡμῶν, καὶ ταπεινώθητι τοῖς παντοδυνάμοις θεοῖς, δι' ὧν πηδαλιουχεῖται ἡ σύμπασα ἡμῶν πολιτεία. Ὁ δὲ μακάριος Σαβινιανὸς ἀνοίξας τὸ στόμα αὐτοῦ ἔλεγεν· Εὐχαριστῶ σοι, Κύριέ μου Ἰησοῦ Χριστέ, ὁ καταξιώσας με μετὰ τῶν δούλων σου συγκαταριθμηθῆναι. Ὡς δὲ ἐπιπολὺ ἐτύπτετο, ἑδραῖον ἦν καὶ πρόθυμον τὸ πρόσωπον αὐτοῦ. Τότε θυμωθεὶς (ὁ ἀσεβέστατος) Ῥώμυλος ἐκέλευσεν αὐτὸν ἐν τῷ ἀρμενταρίῳ ἀναρτηθῆναι· καὶ ἐν τῷ διασπασθῆναι αὐτὸν τοῖς νεύροις, καὶ τῆς φωνῆς τοῦ κήρυκος ἐπιβοώσης, αὐτὸς οὐδὲν ἄλλο ἔλεγεν, εἰ μή· Εὐχαριστῶ τῷ Κυρίῳ μου Ἰησοῦ Χριστῷ. Ὁ δὲ βικάριος ἔφη πρὸς τοὺς παρεστῶτας αὐτῷ· Οὗτος μαίνεται, καὶ ἀμέριμνός ἐστιν τῶν μαγικῶν συμβουλιῶν. Καὶ προσέταξεν φλόγαις κατακαῆναι αὐτόν. Ἐν δὲ τῷ προσάγεσθαι τὰς φλόγας ταῖς τοῦ ἁγίου Σαβινιανοῦ πλευραῖς ἤρξατο βοᾶν ὁ (παρανομώτατος) Ῥώμυλος καὶ λέγειν πρὸς αὐτόν· Ἄθλιε, προνόησαι σαυτοῦ, καὶ ἀπόδος τοὺς θησαυρούς, οὓς παρὰ σοὶ ἔγνωμεν εἶναι ἐν ἀποκρύφοις. Ὁ δὲ μακάριος Σαβινιανὸς ὁ μάρτυς τοῦ Χριστοῦ, ηὐχαρίστει τῷ Κυρίῳ λέγων· Κύριε ὁ Θεός μου, λαβὲ τὸ πνεῦμά μου ἀπ' ἐμοῦ. Καὶ τοῦτο εἰπών, ἀφῆκεν ἐν εἰρήνῃ τὸ πνεῦμα· οὗτινος τὸ σῶμα ἐκέλευσεν εἰς φρέαρ ῥιφῆναι. Τῷ αὐτῷ οὖν καιρῷ ἐλθών τις Κόρδιος τοὔνομα πρεσβύτερος, νυκτὸς ἀνείλετο τὸ σῶμα ἐκ τοῦ φρέατος, καὶ συνήρμοσεν αὐτὸ μετὰ τῆς ἁγίας Χρυσῆς ὑπὸ μίαν ἡμέραν πρὸ πέντε Καλανδῶν Φεβρουαρίων, χάριτι, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ*

Τὰ χωρία τῆς Παλαιᾶς Διαθήκης καταριθμοῦνται κατὰ τὸ κείμενον τῶν Οʹ.

Π Ι Ν Α Ξ

ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ 'Αρχιμ. Παντελεήμονος Καρανικόλα)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος.— β) "Οταν ἀπαντᾷ πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾷ περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα. — γ) "Οπου ἀπαντᾷ πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σ ἢ σ-ς αἱ σελίδες δὲν ἔχουν τοὺς στίχους ἠριθμημένους.